ἴσχει οὐ πανταχοῦ. νῦν δ' οὐθεὶς ὤπται παρὰ τοὺς πέντε ἀστέρας· οὗτοι δὲ πολλάκις ἅμα πάντες μετέωροι φαίνονται ὑπὲρ τοῦ ὁρίζοντος· καὶ φανερῶν δ' αὐτῶν ὄντων πρὸς τῷ ἡλίῳ, οὐθὲν ἧττον κομῆται φαίνονται γινόμενοι πολλάκις.
8 8. Ἀλλὰ μὴν οὐδὲ τοῦτο ἀληθές, ὅτι ἐν τῷ πρὸς ἄρκτον τόπῳ γίνεται κομήτης μόνον, ἅμα καὶ τοῦ ἡλίου ὄντος περὶ θερινὰς τροπάς· ὅ τε γὰρ μέγας κομήτης ὁ γενόμενος περὶ τὸν ἐν Ἀχαΐᾳ σεισμὸν καὶ τὴν τοῦ κύματος ἔφοδον ἀπὸ δυσμῶν τῶν ἰσημερινῶν ἀνέσχε, καὶ πρὸς νότον ἤδη πολλοὶ γεγόνασιν. ἐπὶ δ' ἄρχοντος Ἀθήνῃσιν Εὐκλέους τοῦ Μόλωνος ἐγένετο κομήτης ἀστὴρ πρὸς ἄρκτον μηνὸς γαμηλιῶνος περὶ τροπὰς ὄντος τοῦ ἡλίου χειμερινάς· καίτοι τοσοῦτον ἀνακλα-
9 σθῆναι καὶ αὐτοὶ τῶν ἀδυνάτων φασίν. 9. Κοινὸν δὲ καὶ τούτοις καὶ τοῖς τὴν σύναψιν λέγουσι πρῶτον μὲν ὅτι καὶ τῶν ἁπλανῶν λαμβάνουσι κόμην τινές· καὶ τοῦτ' οὐ μόνον Αἰγυπτίοις πιστεῦσαι δεῖ, καίτοι κἀκεῖνοί φασιν, ἀλλὰ καὶ ἡμεῖς ἐφεωράκαμεν· τῶν γὰρ ἐν τῷ ἰσχίῳ τοῦ κυνὸς ἀστήρ τις ἔσχε κό-

cum etiam ad alias regiones demigret, comam autem non ubique videntibus praebere queat. Atqui nullus praeter quinque planetas apparuit, qui saepenumero coniunctim supra horizonte conspiciuntur. Et non solum cum omnes apparent, sed etiam cum alii cernuntur, alii prope solem latent, non secus cometae saepe apparent. 8. At neque hoc recte se habet, in sola versus septentrionem regione oriri cometam, quo tempore sol circa aestivum solstitium moveatur. Magnus enim ille cometa circa terrae motum, qui Achaiam devastavit circaque inundationem, ab occasu aequinoctiali exortus est, et austrum versus multi iam apparuerunt. Deinde archonte Athenis Euclee, Molonis filio, cometes mense gamelione conspectus est, sole circa hibernum solstitium versante et ex tanta distantia visum posse reflecti, ipsi illi negandum esse consentiunt. 9. Hisce autem et illis, qui de coniunctione cogitant, communis est objectio, etiam fixa sidera cum coma apparere. Quod non solum Aegyptiis credamus oportet (etenim illi quoque tradunt), sed ipsi vidimus. Astrorum enim in coxa canis comam habuit aliquis,

μην, ἀμαυρὰν μέντοι· ἀτενίζουσι μὲν γὰρ εἰς αὐτὸν ἀμυδρὸν ἐγίνετο τὸ φέγγος, παραβλέπουσι δ' ἠρέμα τὴν ὄψιν πλεῖον. 10. Πρὸς δὲ τούτοις ἅπαντες οἱ καθ' ἡμᾶς ὠμιέναι ἄνευ 10 δύσεως ἠφανίσθησάν ἐν τῷ ὑπὲρ τοῦ ὁρίζοντος τόπῳ ἀπομαρανθέντες κατὰ μικρὸν οὕτως, ὥστε μήτε ἑνὸς ἀστέρος ὑπολειφθῆναι σῶμα μήτε πλειόνων, ἐπεὶ καὶ ὁ μέγας ἀστὴρ περὶ οὗ πρότερον ἐμνήσθημεν, ἐφάνη μὲν χειμῶνος ἐν πάγοις καὶ αἰθρίαις ἀφ' ἑσπέρας, ἐπὶ Ἀστείου ἄρχοντος, καὶ τῇ μὲν πρώτῃ οὐκ ὤφθη ὡς προδεδυκὼς τοῦ ἡλίου, τῇ δ' ὑστεραίᾳ ὤφθη· ὅσον ἐνδέχεται γὰρ ἐλάχιστον ὑπελείφθη καὶ εὐθὺς ἔδυ· τὸ δὲ φέγγος ἀπέτεινε μέχρι τοῦ τρίτου μέρους τοῦ οὐρανοῦ οἷον ἅλμα, διὸ καὶ ἐκλήθη ὁδός. ἐπανῆλθε δὲ μέχρι τῆς ζώνης τοῦ Ὡρίωνος καὶ ἐνταῦθα διελύθη. 11. Καίτοι 11 Δημόκριτός γε προσπεφιλονείκηκε τῇ δόξῃ τῇ αὐτοῦ· φησὶ γὰρ ὤφθαι διαλυομένων τῶν κομητῶν ἀστέρας τινάς. τοῦτο δ' οὐχ ὁτὲ μὲν ἔδει γίνεσθαι, ὁτὲ δ' οὔ, ἀλλ' ἀεί. πρὸς δὲ τούτοις καὶ οἱ Αἰγύπτιοί φασι καὶ τῶν πλανήτων καὶ πρὸς αὐτοὺς καὶ

quamvis vix sensibilem. Iis enim, qui aciem illud sidus adspiciendo intenderunt, exiguum lumen, quod si remisere, splendidius apparuit. 10. Deinceps omnes, quotquot apud nos conspecti sunt, anteaquam occiderunt, in loco supra horizontem evanuerunt, splendore sensim sensimque ita labefactato, ut neque unius sideris neque plurium siderum corpus relinqueretur; nam magnum etiam illud, cuius paulo ante mentionem fecimus, sidus apparuit quidem gelu serenoque caelo ab occasura parte, archonte Asteo et cum prima die non conspiceretur, quia sole prior occidebat, posteriore apparuit ita, ut minime quantum fieri potuit spatio relinqueretur confestimque occideret. Splendorem vero ad tertiam usque caeli partem, quasi saltu diffudit, quapropter via appellabatur. Rediit autem ad zonam usque Orionis ibique dilutus est. 11. Atqui Democritus suam confirmari sententiam contendit. Ait enim dilutis cometis cerni sidera quaedam. Quod nequaquam aliquando fieri debebat, aliquando non fieri: sed semper. Accedit, Aegyptios confirmare, quod planetarum et inter se et cum fixis

πρὸς τοὺς ἀπλανεῖς γίνεσθαι συνόδους, καὶ αὐτοὶ ἑωράκαμεν τὸν ἀστέρα τὸν τοῦ Διὸς τῶν ἐν τοῖς διδύμοις συνελθόντα τινὶ δὶς ἤδη καὶ ἀφανίσαντα, ἀλλ' οὐ κομήτην γενόμενον.
12 12. Ἔτι δὲ καὶ ἐκ τοῦ λόγου φανερόν· οἱ γὰρ ἀστέρες κἂν εἰ μείζους κἂν ἐλάττους φαίνωνται, ἀλλ' ὅμως ἀδιαίρετοί γε καθ' ἑαυτοὺς εἶναι δοκοῦσιν. ὥσπερ οὖν καὶ εἰ ἦσαν ἀδιαίρετοι, ἁψάμενοι οὐθὲν ἂν ἐποίησαν μέγεθος, οὕτω καὶ ἐπειδὴ οὐκ εἰσὶ μὲν φαίνονται δὲ ἀδιαίρετοι, καὶ συνελθόντες οὐθὲν φανοῦν-
13 ται μείζους τὸ μέγεθος ὄντες. 13. Ὅτι μὲν οὖν αἱ λεγόμενοι περὶ αὐτῶν αἰτίαι ψευδεῖς οὖσαι τυγχάνουσιν, εἰ μὴ διὰ πλειόνων, ἀλλὰ καὶ διὰ τούτων ἱκανῶς δῆλόν ἐστιν.

1 VII. Ἐπεὶ δὲ περὶ τῶν ἀφανῶν τῇ αἰσθήσει νομίζομεν ἱκανῶς ἀποδεδεῖχθαι κατὰ τὸν λόγον, ἐὰν εἰς τὸ δυνατὸν ἀναγάγωμεν, ἐκ τῶν νῦν φαινομένων ὑπολάβοι τις ἂν ὧδε περὶ τούτων μάλιστα συμβαίνειν. ὑπόκειται γὰρ ἡμῖν τοῦ κόσμου τοῦ περὶ τὴν γῆν, ὅσον ὑπὸ τὴν ἐγκύκλιόν ἐστι φοράν, εἶναι τὸ πρῶτον μέρος ἀναθυμίασιν ξηρὰν καὶ θερμήν.
2. Αὕτη δὲ αὐτή τε καὶ τοῦ συνεχοῦς ὑπ' αὐτὴν ἀέρος ἔτι

coniunctiones fiant, cuius rei exemplum ipsi vidimus. Iovis enim sidus Geminorum stellae cuidam bis convenisse eamque occultasse, sed nullum deinceps apparuisse cometam. 12. Praeterea ipsa ratione ineptam esse hanc sententiam patet. Stellae enim, sive maiores apparent, sive minores, singulae tamen quaevis individuae videntur. Itaque ut, si essent individuae, cum sese contingerent, nullam efficerent maiorem magnitudinem, sic, cum non sint individuae, sed videantur, nullam congredientes maiorem magnitudinem referent. 13. Causas igitur cometarum hucusque propositas falsas esse, si non pluribus, his saltem satis constat.

Cap. VII. Cum earum rerum, quae sensibus percipi nequeunt, rationes satis probabiliter redditas esse arbitremur, si ad id, quod esse potest, eas reduxerimus, ex iis, quae nunc sese offerunt, existimetur aliquis rem ita sese habere. Positum enim nobis est mundi, qui circa terram orbiculari motui subest, primam partem vapore esse repletam sicco et calido. 2. Is vero

πολὺ συμπεριάγεται περὶ τὴν γῆν ὑπὸ τῆς φορᾶς καὶ τῆς κινήσεως τῆς κύκλῳ· φερομένη δὲ καὶ κινουμένη τοῦτον τὸν τρόπον, ἢ ἂν τύχῃ εὔκρατος οὖσα, πολλάκις ἐκπυροῦται, διό φαμεν γίνεσθαι καὶ τὰς τῶν σποράδων ἀστέρων διαδρομάς. 3. Ὅταν οὖν εἰς τὴν τοιαύτην πύκνωσιν ἐμπέσῃ διὰ τὴν τῶν 3
ἄνωθεν κίνησιν ἀρχὴ πυρώδης, μήτε οὕτω πολλὴ λίαν ὥστε ταχὺ καὶ ἐπὶ πολὺ ἐκκάειν, μήθ' οὕτως ἀσθενὴς ὥστ' ἀποσβεσθῆναι ταχύ, ἀλλὰ πλείων καὶ ἐπὶ πολύ, ἅμα δὲ κάτωθεν συμπίπτῃ ἀναβαίνειν εὔκρατον ἀναθυμίασιν, ἀστὴρ τοῦτο γίνεται κομήτης, ὅπως ἂν τὸ ἀναθυμιώμενον τύχῃ ἐσχηματισμένον· ἐὰν μὲν γὰρ πάντῃ ὁμοίως, κομήτης, ἐὰν δ' ἐπὶ μῆκος, καλεῖται πωγωνίας. 4. Ὥσπερ δ' ἡ τοιαύτη φορὰ ἀστέρος 4
φορὰ δοκεῖ εἶναι, οὕτω καὶ ἡ μονὴ ἡ ὁμοία ἀστέρος μονὴ δοκεῖ εἶναι. παραπλησίον γὰρ τὸ γινόμενον οἷον εἴ τις εἰς ἀχύρων θημῶνα καὶ πλῆθος ὤσειε δαλόν, ἢ πυρὸς ἀρχὴν ἐμβάλοι μικράν· φαίνεται γὰρ ὁμοία καὶ ἡ τῶν ἀστέρων διαδρο-

ipse, simulque magna aëris pars ei continua, circa terram volvitur vi conversionis et, quae orbe fit, lationis. Circumlata vero et hac ratione mota, saepenumero eo loco, quo temperatam esse contigerit, incenditur: unde etiam fixarum stellarum discursus effici contendimus. 3. Quando igitur in eius modi condensam materiam inciderit, propter corporum superne latorum motum, principium quoddam igneum, neque tantum, ut celeriter ingentem incensionem provocet, neque tam invalidum, ut cito exstinguatur, sed longe lateque patens, simulque ex inferis regionibus temperatum vaporem adscendere contigerit, cometa fit, quoad vapor qualemcunque figuram sortiatur [vario nomine adfectus]. Quodsi enim supra comam habet crinita; quodsi infra in longitudinem extensam, barbata appellatur.*) 4. Quemadmodum vero eius modi motio sideris esse videtur, ita et statio sideris similis est stationi. Neque absimile est, si quis in magnum palearum acervum facem aut aliud quidpiam ignis exiguum principium iniiciat. Videntur enim stellarum

*) Vide Commentarium.

μὴ τούτῳ· ταχὺ γὰρ διὰ τὴν εὐφυΐαν τοῦ ὑπεκκαύματος διαδίδωσιν ἐπὶ μῆκος. εἰ δὴ τοῦτο διαμείνειε καὶ μὴ καταμαρανθείη διελθόν, ᾗ μάλιστα ἐπύκνωσε τὸ ὑπέκκαυμα, γένοιτ' ἂν ἀρχὴ τῆς φορᾶς ἡ τελευτὴ τῆς διαδρομῆς· τοιοῦτον ὁ κομήτης ἐστὶν ἀστήρ, ὥσπερ διαδρομὴ ἀστέρος ἔχων ἐν αὑτῷ πέρας καὶ ἀρχήν. 5. Ὅταν μὲν οὖν ἐν αὐτῷ τῷ κάτω τόπῳ ἡ ἀρχὴ τῆς συστάσεως ᾖ, καθ' ἑαυτὸν φαίνεται ὁ κομήτης· ὅταν δ' ὑπὸ τῶν ἄστρων τινός, ἢ τῶν ἀπλανῶν ἢ τῶν πλανήτων, ὑπὸ τῆς κινήσεως συνιστῆται ἡ ἀναθυμίασις, τότε κομήτης γίνεται τούτων τις· οὐ γὰρ πρὸς αὐτοῖς ἡ κόμη γίνεται τοῖς ἄστροις, ἀλλ' ὥσπερ αἱ ἅλῳ περὶ τὸν ἥλιον φαίνονται καὶ τὴν σελήνην παρακολουθοῦσαι, καίπερ μεθισταμένων τῶν ἄστρων, ὅταν οὕτως ᾖ πεπυκνωμένος ὁ ἀὴρ ὥστε τοῦτο γίνεσθαι τὸ πάθος ὑπὸ τὴν τοῦ ἡλίου πορείαν, οὕτω καὶ ἡ κόμη τοῖς ἄστροις οἷον ἅλως ἐστίν. 6. Πλὴν ἡ μὲν γίνεται δι' ἀνάκλασιν τοιαύτη τὴν χρόαν, ἐκεῖ δ' ἐπ' αὐτῶν τὸ χρῶμα φαινόμενόν ἐστιν· ὅταν μὲν οὖν κατ' ἀστέρα γένηται ἡ τοιαύτη σύγκρισις, τὴν αὐτὴν ἀνάγκη φαίνεσθαι φορὰν κινούμενον τὸν

transcursus huic phaenomeno similes, cum celeriter propter aptam igniarii naturam in longitudinem extendatur. Qui si permanerent, neque in ipso transitu extabescerent, ipsius lationis initium foret transcursus finis, quando alicubi incensionis materia condensetur. Tale igitur quiddam cometae sidus est, stellae transcursus, qui in se ipso initium habeat atque finem. 5. Quod si igitur in ipso infero loco concretionis principium deprehenditur, per se apparet cometa: cum vero sub stella quadam aut fixa aut erratica vi revolutionis vapor concrescit, tunc ipsarum stellarum aliqua in cometam mutari videtur. Nequaquam enim prope ipsa sidera fit coma, sed quemadmodum halones circa solem lunamque apparent, easque, quamvis locum mutent, insequuntur, siquidem ita condensus est aër, ut affectio illa infra solis orbem efficiatur, ita coma etiam sideribus quasi halo contingit. 6. Nec differunt nisi quod haec coloris particeps fit propter reflexionem: ibi vero in ipsis color apparet. Quando igitur ad sidus fit talis

κομήτην ἥνπερ φέρεται ὁ ἀστήρ· ὅταν δὲ συστῇ καθ' αὑτόν, τότε ὑπολειπόμενοι φαίνονται. τοιαύτη γὰρ ἡ φορὰ τοῦ κόσμου τοῦ περὶ τὴν γῆν. 7. Τοῦτο γὰρ μάλιστα μηνύει μὴ 7
εἶναι ἀνάκλασίν τινα τὸν κομήτην, ὡς ἄλῳ ἐν ὑπεκκαύματι καθαρῷ πρὸς αὐτὸν τὸν ἀστέρα γινομένην, καὶ μὴ ὡς λέγουσιν οἱ περὶ Ἱπποκράτην, πρὸς τὸν ἥλιον, ὅτι καὶ καθ' αὑτὸν γίνεται κομήτης πολλάκις καὶ πλεονάκις, ἢ περὶ τῶν ὁρισμένων τινὰς ἀστέρων. 8. Περὶ μὲν οὖν τῆς ἅλω τὴν αἰτίαν 8
ὕστερον ἐροῦμεν· περὶ δὲ τοῦ πυρώδη τὴν σύστασιν αὐτῶν εἶναι, τεκμήριον χρὴ νομίζειν ὅτι σημαίνουσι γινόμενοι οἱ πλείους πνεύματα καὶ αὐχμούς· δῆλον γὰρ ὅτι γίνονται διὰ τὸ πολλὴν εἶναι τὴν τοιαύτην ἔκκρισιν, ὥστε ξηρότερον ἀναγκαῖον εἶναι τὸν ἀέρα, καὶ διακρίνεσθαι καὶ διαλύεσθαι τὸ διατμίζον ὑγρὸν ὑπὸ τοῦ πλήθους τῆς θερμῆς ἀναθυμιάσεως, ὥστε μὴ συνίστασθαι ῥᾳδίως εἰς ὕδωρ· σαφέστερον δ' ἐροῦμεν καὶ περὶ τούτου τοῦ πάθους, ὅταν καὶ περὶ πνευμάτων λέγειν ᾖ καιρός.
9. Ὅταν μὲν οὖν πυκνοὶ καὶ πλείους φαίνωνται, καθάπερ λέ- 9
γομεν, ξηροὶ καὶ πνευματώδεις γίνονται οἱ ἐνιαυτοὶ ἐπιδήλως·

concretio, necesse est eandem viam ferri videatur cometa, quam ipsum sidus: quando vero per se concreverit, tunc derelinqui videtur. Talis enim est motio mundi, qui circa terram est. 7. Quod autem cometa non fiat reflexione, neque sicuti halones in sincero illo succensionis fomite ad ipsum sidus, neque, quemadmodum contendit Hippocrates, reflexione ad solem, quam maxime illo probatur argumento, quod saepenumero per se ac saepius quam circa certa quaedam sidera oritur. 8. At de halone infra disseremus: igneam vero esse cometarum concretionem documento esse potest etiam illud, quod plerique cum oriuntur ventos aestusque significant. Patet enim fieri eos idcirco, quia larga eius modi concretionis copia habetur ita, ut aër siccior esse debeat, et humidus vapor sicci vaporis ubertate ita secernatur et diluatur, ut non facile in aquam consistere queat. Disertius autem de hoc quoque phaenomeno dicemus, cum de ventis disserendi occasio nobis oblata erit. 9. Cum igitur densi et copiosi apparent, anni conditio, uti diximus, aperte

ὅταν δὲ σπανιώτεροι καὶ ἀμαυρότεροι τὸ μέγεθος, ὁμοίως μὲν οὐ γίνεται τὸ τοιοῦτον, οὐ μὴν ἀλλ' ὡς ἐπὶ τὸ πολὺ γίνεταί τις ὑπερβολὴ πνεύματος ἢ κατὰ χρόνον ἢ κατὰ μέγεθος, ἐπεὶ καὶ ὅτε ὁ ἐν Αἰγὸς ποταμοῖς ἔπεσε λίθος ἐκ τοῦ ἀέρος, ὑπὸ πνεύματος ἀρθεὶς ἐξέπεσε μεθ' ἡμέραν· ἔτυχε δὲ καὶ τότε
10 κομήτης ἀστὴρ γενόμενος ἀφ' ἑσπέρας. 10. Καὶ περὶ τὸν μέγαν ἀστέρα τὸν κομήτην ξηρὸς ἦν ὁ χειμὼν καὶ βόρειος καὶ τὸ κῦμα δι' ἐναντίωσιν ἐγίνετο πνευμάτων· ἐν μὲν γὰρ τῷ κόλπῳ βορέας κατεῖχεν, ἔξω δὲ νότος ἔπνευσε μέγας. ἔτι δ' ἐπ' ἄρχοντος ἐγένετο Νικομάχου Ἀθήνησιν ὀλίγας ἡμέρας κομήτης περὶ τὸν ἰσημερινὸν κύκλον, οὐκ ἀφ' ἑσπέρας ποιησάμενος τὴν ἀνατολήν, ἔφ' ᾧ τὸ περὶ Κόρινθον πνεῦμα
11 γενέσθαι συνέπεσεν. 11. Τοῦ δὲ μὴ γίνεσθαι πολλοὺς μηδὲ πολλάκις κομήτας, καὶ μᾶλλον ἐκτὸς τῶν τροπικῶν ἢ ἐντός, αἴτιος ἥ τε τοῦ ἡλίου καὶ ἡ τῶν ἀστέρων κίνησις, οὐ μόνον ἐκκρίνουσα τὸ θερμόν, ἀλλὰ καὶ διακρίνουσα τὸ συνιστάμενον· μάλιστα δ' αἴτιον ὅτι τὸ πλεῖστον εἰς τὴν τοῦ γάλακτος ἀθροίζεται χώραν.

sicca et ventosa est, cum vero rariores et debilioris magnitudinis, non aeque tale existit, at nihilo secius nimia quaedam venti vis animadvertitur, aut secundum temporis aut vehementiae quantitatem. Unde factum est, ut qui apud Aegos potamos lapis ex aëre deciderit, venti violentia sublatus interdiu sit delapsus, cum eodem tempore cometa in occasura caeli parte conspiceretur. 10. Et quo anno magnum illud cometae sidus apparuit, sicca erat et aquilonia hiems ipsaque inundatio ventorum oppositorum pugna provocata est. In sinu enim aquilo, extra sinum vehemens auster obtinebat. Praeterea archonte Athenis Nicomacho per paucos dies cometa in vicinia circuli aequinoctialis apparuit, qui non ab occidente oriebatur et sub quo procellam circa Corinthum fieri contigit. 11. Causa denique cur neque multi neque saepe cometae appareant, et tunc extra tropicos magis, quam intra, solis astrorumque est motus, cuius vi non solum calor secernitur, sed etiam, quod concrevit, dissipatur; potissima autem, quia plurima copia in lacteum orbem cogitur.

VIII. Ὅπως δὲ καὶ διὰ τίν' αἰτίαν γίνεται καὶ τί ἐστι τὸ 1
γάλα, λέγωμεν ἤδη· προδιέλθωμεν δὲ καὶ περὶ τούτου τὰ παρὰ
τῶν ἄλλων εἰρημένα πρῶτον. 2. Τῶν μὲν οὖν καλουμένων 2
Πυθαγορείων φασί τινες ὁδὸν εἶναι ταύτην οἱ μὲν τῶν ἐκπε-
σόντων τινὸς ἄστρων κατὰ τὴν λεγομένην ἐπὶ Φαέθοντος φο-
ράν, οἱ δὲ τὸν ἥλιον τοῦτον τὸν κύκλον φέρεσθαί ποτέ φασιν·
οἷον οὖν διακεκαῦσθαι τὸν τόπον τοῦτον ἢ τι τοιοῦτον ἄλλο
πεπονθέναι πάθος, ὑπὸ τῆς φορᾶς αὐτοῦ. 3. Ἄτοπον δὲ τὸ 3
μὴ συννοεῖν ὅτι εἴπερ τοῦτ' ἦν τὸ αἴτιον, ἔδει καὶ τὸν τῶν
ζῳδίων κύκλον οὕτως ἔχειν καὶ μᾶλλον· ἅπαντα γὰρ ἐν αὐτῷ
φέρεται τὰ πλανώμενα καὶ οὐχ ὁ ἥλιος μόνος. δῆλος δ' ἡμῖν
ἅπας ὁ κύκλος· ἀεὶ γὰρ αὐτοῦ φανερὸν ἡμικύκλιον τῆς νυκτός.
ἀλλὰ πεπονθὸς οὐδὲν φαίνεται τοιοῦτον, πλὴν εἴ τι συνάπτει
μόριον αὐτοῦ πρὸς τὸν τοῦ γάλακτος κύκλον. 4. Οἱ δὲ 4
περὶ Ἀναξαγόραν καὶ Δημόκριτον φῶς εἶναι τὸ γάλα λέγουσιν
ἄστρων τινῶν· τὸν γὰρ ἥλιον ὑπὸ τὴν γῆν φερόμενον οὐχ ὁ-
ρᾶν ἔνια τῶν ἄστρων. ὅσα μὲν οὖν περιορᾶται ὑπ' αὐτοῦ, τού-

* Cap. VIII. Quomodo et quas ob causas fiat et quid sit lactei circuli phaenomenon dicere aggrediamur, postquam hoc etiam loco quid alii ante nos disseruere, recensuimus. 2. Eorum qui Pythagoraei vocantur, alii circulum lacteum iter esse contendunt sideris cuiusdam de coelo eo tempore, quo Phaëthon detrusus dicatur, delapsi, alii solem hoc circulo olim esse circumlatum dicunt, unde quasi combustus sit ille locus aut simili modo affectus istius sideris revolutione. 3. Atqui inepti sunt, qui non intelligant, quando vera haec esset phaenomeni causa, necesse esse, zodiacus etiam pari modo et magis etiam sese ita habeat; omnia enim in eo versantur errantia astra, neque solus sol. Apparet autem totus nobis circulus: quavis enim nocte dimidiam eius partem conspicere licet. Sed nihil eius modi passus esse videtur, nisi ubi quaedam eius particula lacteum circulum attigerit. 4. Anaxagoras et Democritus lactem siderum quorundam lucem esse aiunt. Solem enim sub terra volventem nonnulla astra non adspicere. Quotquot igitur ab ipso cernantur, eorum lumen non animadverti (impediri

των μὲν οὐ φαίνεσθαι τὸ φῶς (κωλύεσθαι γὰρ ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων)· ὅσοις δ' ἀντιφράττει ἡ γῆ ὥστε μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἡλίου τὸ τούτων οἰκεῖον φῶς φασὶν εἶναι τὸ γάλα.
5 *5. Φανερὸν δ' ὅτι καὶ τοῦτ' ἀδύνατον· τὸ μὲν γὰρ γάλα ἀεὶ τὸ αὐτὸ ἐν τοῖς αὐτοῖς ἐστὶν ἄστροις (φαίνεται γὰρ μέγιστος ὢν κύκλος), ὑπὸ δὲ τοῦ ἡλίου ἀεὶ ἕτερα τὰ οὐχ ὁρώμενα διὰ τὸ μὴ ἐν ταὐτῷ μένειν τόπῳ· ἔδει οὖν μεθισταμένου τοῦ ἡλίου μεθίστασθαι καὶ τὸ γάλα· νῦν δ' οὐ φαίνεται τοῦτο*
6 *γινόμενον. 6. Πρὸς δὲ τούτοις, εἰ καθάπερ δείκνυται ἐν τοῖς περὶ ἀστρολογίαν θεωρήμασιν, οὕτως ἔχει καὶ τό τε τοῦ ἡλίου μέγεθος μεῖζόν ἐστιν ἢ τὸ τῆς γῆς καὶ τὸ διάστημα πολλαπλασίως μεῖζον τὸ τῶν ἄστρων πρὸς τὴν γῆν ἢ τὸ τοῦ ἡλίου, καθάπερ τὸ τοῦ ἡλίου πρὸς τὴν γῆν ἢ τὸ τῆς σελήνης, οὐκ ἂν πόρρω που ἀπὸ τῆς γῆς ὁ κῶνος ὁ ἀπὸ τοῦ ἡλίου συμβάλλοι τὰς ἀκτῖνας, οὐδ' ἂν ἡ σκιὰ πρὸς τοῖς ἄστροις εἴη τῆς γῆς ἡ καλουμένη νύξ. ἀλλ' ἀνάγκη πάντα τὸν ἥλιον τὰ ἄστρα*
7 *περιορᾶν, καὶ μηθενὶ τὴν γῆν ἀντιφράττειν αὐτῶν. 7. Ἔτι δ' ἐστὶ τρίτη τις ὑπόληψις περὶ αὐτοῦ· λέγουσι γάρ τινες ἀνά-*

enim, quominus id fiat splendore solis radiorum) eorum vero quibuscunque terra obversetur, ita ut a solis radiis tangi nequeant, peculiare lumen esse lactem. 5. Patet autem hanc causam non magis esse probabilem. Lac enim semper in eorundem siderum vicinia apparet (est enim maximus orbis), cum vero sol non in eodem maneat loco alia semper et alia ab ipso non adspiciuntur. Sole igitur moto, lacteus etiam moveatur orbis necesse foret, quod tamen longe secùs se habet. 6. Quibus accedit, quod, si verum est quod in theorematis astronomicis docuimus, solis magnitudinem excedere terrae et intervallum terram inter et sidera longe superare intervallum ad solem usque, quemadmodum sol amplius distet a terra, quam luna, non procul a terra conus radiorum solis coiret neque terrae umbra, quam noctem solent appellare ad astra usque porrigeretur. Sed necesse est omnia sidera solis patere radiis neque eorum ulli obstare terram. 7. Est vero etiam tertia quaedam de lacte opinio. Aiunt enim nonnulli visum nostrum ad solem reflecti

κλασιν εἶναι τὸ γάλα τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον, ὥσπερ καὶ τὸν ἀστέρα τὸν κομήτην. 8. Ἀδύνατον δὲ καὶ τοῦτο. 8
εἰ μὲν γὰρ τό τε ὁρῶν ἠρεμοίη καὶ τὸ ἔνοπτρον καὶ τὸ ὁρώμενον ἅπαν, ἐν τῷ αὐτῷ σημείῳ τοῦ ἐνόπτρου τὸ αὐτὸ φαίνοιτ' ἂν μέρος τῆς ἐμφάσεως· εἰ δὲ κινοῖτο τὸ ἔνοπτρον καὶ τὸ ὁρώμενον ἐν τῷ αὐτῷ μὲν ἀποστήματι πρὸς τὸ ὁρῶν καὶ ἠρεμοῦν, πρὸς ἄλληλα δὲ μήτε ἰσοταχῶς μήτ' ἐν τῷ αὐτῷ ἀεὶ διαστήματι, ἀδύνατον τὴν αὐτὴν ἔμφασιν ἐπὶ τοῦ αυτοῦ εἶναι μέρους τοῦ ἐνόπτρου. 9. Τὰ δ' ἐν τῷ τοῦ γάλακτος κύ- 9
κλῳ φερόμενα ἄστρα κινεῖται καὶ ὁ ἥλιος πρὸς ὃν ἡ ἀνάκλασις μενόντων ἡμῶν, καὶ ὁμοίως καὶ ἴσον πρὸς ἡμᾶς ἀπέχοντα, αὐτῶν δ' οὐκ ἴσον· ὁτὲ μὲν γὰρ μέσων νυκτῶν ὁ δελφὶς ἐπιτέλλει, ὁτὲ δ' ἑωθεν, τὰ δὲ μόρια τοῦ γάλακτος τὰ αὐτὰ μένει ἐν ἑκάστῳ· καίτοι οὐκ ἔδει, εἰ ἦν ἔμφασις, ἀλλὰ μὴ ἐν αὐτοῖς τι ἦν τοῦτο τὸ πάθος τοῖς τόποις. 10. Ἔτι δὲ νύκτωρ ἐν ὕ- 10
δατι καὶ τοιούτοις ἐνόπτροις τὸ μὲν γάλα ἐμφαίνεται θεωροῦσιν, τὸ δὲ τὴν ὄψιν ἀνακλᾶσθαι πρὸς τὸν ἥλιον πῶς δυνα-

eodemque modo fieri lacteum orbem, quo cometarum sidus. 8. Quod non magis fieri potest. Quodsi enim speculum, oculus et res quae sub conspectum cadit, quiete manent, in eodem speculi puncto eadem imaginis pars conspicitur: si vero moventur speculum et res conspecta ita, ut eodem quidem intervallo distent ab oculo immobili, utraque vero neque pari celeritate neque ita, ut eodem semper intervallo absint altera ab altero, fieri nequit, ut eadem imago in eadem speculi parte conspiciatur. 9. Sidera vero in lacteo orbe comprehensa moventur aeque ac sol, ad quem lumen reflectitur, nobis quiete manentibus, parique a nobis intervallo, inter se vero alio atque alio. Interdum enim circa mediam noctem delphinus exoritur, interdum mane, vicinae vero lactis partes in utroque exortu eaedem manent, quod tamen fieri non posset, si imago esset lac, neque vero affectio quaedam ipsi loco, in quo cernitur, propria. 10. Huc accedit, quod noctu in aqua, aliisque eius modi speculis, lac videntibus apparet, quod quo tandem modo fieri potest, quando visus ad solem reflectitur? Lacteum igitur orbem ne-

τόν; ὅτι μὲν οὔτε ὁδὸς τῶν πλανήτων οὐδενὸς οὔτε φῶς
ἐστι τῶν μὴ ὁρωμένων ἄστρων οὔτ' ἀνάκλασις, ἐκ τούτων
φανερόν. σχεδὸν δὲ ταῦτ' ἐστὶ τά γε μέχρι τοῦ νῦν παραδε-
11 δομένα παρὰ τῶν ἄλλων. 11. Ἡμεῖς δὲ λέγωμεν ἀναλαβόντες
τὴν ὑποκειμένην ἀρχὴν ἡμῖν· εἴρηται γὰρ πρότερον ὅτι τὸ
ἔσχατον τοῦ λεγομένου ἀέρος δύναμιν ἔχει πυρός, ὥστε τῇ κι-
νήσει διακρινομένου τοῦ ἀέρος ἀποκρίνεσθαι τοιαύτην σύστασιν
12 οἵαν καὶ τοὺς κομήτας ἀστέρας εἶναί φαμεν. 12. Τοιοῦτον
δὴ δεῖ νοῆσαι γινόμενον ὅπερ ἐπ' ἐκείνων, ὅταν μὴ αὐτὴ
καθ' αὑτὴν γένηται ἡ τοιαύτη ἔκκρισις, ἀλλ' ὑπό τινος τῶν
ἄστρων ἢ τῶν ἐνδεδεμένων ἢ τῶν πλανωμένων· τότε γὰρ οὗ-
τοι φαίνονται κομῆται διὰ τὸ παρακολουθεῖν αὐτῶν τῇ φορᾷ
ὥσπερ τῷ ἡλίῳ τὴν τοιαύτην σύγκρισιν, ἀφ' ἧς διὰ τὴν ἀνά-
κλασιν τὴν ἄλω φαίνεσθαί φαμεν, ὅταν οὕτω τύχῃ κεκραμέ-
13 νος ὁ ἀήρ. 13. Ὃ δὴ καθ' ἕνα συμβαίνει τῶν ἀστέρων, τοῦτο
δεῖ λαβεῖν γινόμενον περὶ ὅλον τὸν οὐρανὸν καὶ τὴν ἄνω φο-
ρὰν ἅπασαν· εὔλογον γάρ, εἴπερ ἡ ἑνὸς ἄστρου κίνησις, καὶ
τὴν τῶν ἁπάντων ποιεῖν τι τοιοῦτον καὶ ἐκπιπίζειν. καὶ πρὸς

que iter esse planetae cuiusdam, aut lumen astrorum, quae conspici nequeant, aut denique reflexionem, ex hisce apparet. Haec autem fere sunt, quae ad hanc usque diem ab aliis sunt proposita. 11. Nos vero age retractemus principia, quibus supra usi sumus. Diximus enim ultimam partem aëris, quem vocare solent, facultate igni proxime accedere, ita ut aëre vi motus discreto, talis secernatur discretio, qualem crinita sidera esse diximus. 12. Tale igitur quiddam, quale in illis, fieri censeamus necesse est, quando non per se eius modi discretio segregatur, sed a sidere quodam aut fixo aut errante. Tunc enim illi apparent cometae, cum stellarum lationem sequitur quemadmodum solem talis secretio, cuius ope propter reflexionem, aëre ita constituto, halonem apparere dicimus. 13. Idem igitur, quod circa unum sidus fieri contingit, in toto caelo universaque supera latione fieri accipiamus oportet. Rationi enim consentaneum est, si unius cuiusdam sideris motus flammam provocat, omnium coniunctam idem efficere, praesertim illo in loco, ubi

τούτοις ἔτι καθ' ὃν τόπον πυκνότατα καὶ πλεῖστα καὶ μέγιστα τυγχάνουσιν ὄντα τῶν ἄστρων. 14. Ὁ μὲν οὖν τῶν ζῳδίων 14
διὰ τὴν τοῦ ἡλίου φορὰν καὶ τὴν τῶν πλανήτων διαλύει τὴν τοιαύτην σύστασιν, διόπερ οἱ πολλοὶ τῶν κομητῶν ἐκτὸς γίνονται τῶν τροπικῶν. ἔτι δ' οὔτε περὶ ἥλιον οὔτε περὶ σελήνην γίνεται κόμη· θᾶττον γὰρ διακρίνουσιν ἢ ὥστε συστῆναι τοιαύτην σύγκρισιν. 15. Οὗτος δ' ὁ κύκλος ἐν ᾧ τὸ γάλα 15
φαίνεται τοῖς ὁρῶσιν, ὅ τε μέγιστος ὢν τυγχάνει καὶ τῇ θέσει κείμενος οὕτως ὥστε πολὺ τοὺς τροπικοὺς ὑπερβάλλειν. 16. Πρὸς δὲ τούτοις ἄστρων ὁ τόπος πλήρης ἐστὶ τῶν τε με- 16
γίστων καὶ λαμπροτάτων, καὶ ἔτι τῶν σποράδων καλουμένων (τοῦτο δ' ἐστὶ καὶ τοῖς ὄμμασιν ἰδεῖν φανερόν), ὥστε διὰ ταῦτα συνεχῶς καὶ ἀεὶ ταύτην πᾶσαν ἀθροίζεσθαι τὴν σύγκρισιν. 17. Σημεῖον δέ· καὶ γὰρ αὐτοῦ τοῦ κύκλου πλεῖον τὸ φῶς 17
ἐστὶν ἐν θατέρῳ ἡμικυκλίῳ τῷ τὸ δίπλωμα ἔχοντι· ἐν τούτῳ γὰρ πλείω καὶ πυκνότερά ἐστιν ἄστρα ἢ ἐν θατέρῳ, ὡς οὐ δι' ἑτέραν τιν' αἰτίαν γινομένου τοῦ φέγγους ἢ διὰ τὴν τῶν ἄστρων φοράν· εἰ γὰρ ἔν τε τῷ κύκλῳ τούτῳ γίνεται ἐν ᾧ

prae cacteris conferta, plurima et maxima sidera reperiuntur. 14. Zodiacus igitur propter solis planetarumque motum eius modi secretionem dissolvit, quam ob causam cometarum etiam plurimi extra tropicos apparent: neque enim praeterea circa solem neque circa lunam coma deprehenditur. Citius enim dissolvunt, quam ut consistere queat secretio. 15. Circulus hic, in quo lac videntibus apparet, et maximus esse contingit et situ suo ita locatus, ut tropicos longe excedat. 16. Praeterea stellis locus repletus est et maximis et lucidissimis aliisque quam plurimis, quae certo nomine carent (sparsae vocantur), quod oculis etiam videre licet, ita ut continuo semperque omnis discretio queat coacervari. 17. Cuius rei indicium est, quod maximum orbis lactei iubar in altera illa caeli parte cernatur, qua bifurcatio lactis comprehenditur, in qua etiam plura et densiora astra exsistunt, quam in altera, ita ut nullam aliam splendor originem habeat, nisi astrorum motum. Quodsi enim in illo ipso circulo fit, in quo plurima astra reperiuntur et in

τὰ πλεῖστα κεῖται τῶν ἄστρων, καὶ αὐτοῦ τοῦ κύκλου ἐν ᾧ μᾶλλον φαίνεται καταπεπυκνῶσθαι καὶ μεγέθει καὶ πλήθει ἀστέρων, ταύτην εἰκὸς ὑπολαβεῖν οἰκειοτάτην αἰτίαν εἶναι τοῦ
18 πάθους. 18. Θεωρείσθω δ' ὅ τε κύκλος καὶ τὰ ἐν αὐτῷ ἄστρα ἐκ τῆς ὑπογραφῆς· τοὺς δὲ σποράδας καλουμένους οὕτω μὲν εἰς τὴν σφαῖραν οὐκ ἔστι τάξαι διὰ τὸ μηδεμίαν διὰ τέλους ἔχειν φανερὰν ἕκαστον θέσιν, εἰς δὲ τὸν οὐρανὸν ἀναβλέπου-
19 σίν ἐστι δῆλον. 19. Ἐν μόνῳ γὰρ τούτῳ τῶν κύκλων τὰ μεταξὺ πλήρη τοιούτων ἀστέρων ἐστίν, ἐν δὲ τοῖς ἄλλοις διαλείπει φανερῶς, ὥστ' εἴπερ καὶ περὶ τοῦ φαίνεσθαι κομήτας ἀποδεχόμεθα τὴν αἰτίαν ὡς εἰρημένην μετρίως, καὶ περὶ
20 τοῦ γάλακτος τὸν αὐτὸν ὑποληπτέον τρόπον ἔχειν. 20. Ὅ γὰρ ἐκεῖ περὶ ἕνα ἐστὶ πάθος ἡ κόμη, τοῦτο περὶ κύκλον τινὰ συμβαίνει γίνεσθαι τὸ αὐτό, καὶ ἔστι τὸ γάλα, ὡς εἰπεῖν οἷον ὁριζόμενον, ἡ τοῦ μεγίστου διὰ τὴν ἔκκρισιν κύκλου κόμη. διὸ καθάπερ εἴπομεν πρότερον, οὐ πολλοὶ οὐδὲ πολλάκις γίνονται κομῆται, διὰ τὸ συνεχῶς ἀποκεκρίσθαι τε καὶ ἀποκρίνεσθαι καθ' ἑκάστην περίοδον εἰς τοῦτον τὸν τόπον ἀεὶ τὴν τοιαύτην

illa ipsa circuli parte in qua maxime conferta cernuntur, quae magnitudine et frequentia stellarum pollent, ea, quam diximus, causa maxime phaenomeno congrua censenda est. 18. Orbis autem et quae in eo exsistunt astra in adpicta tabula conspici possunt, in quam, quae sparsae vocantur, stellas referre non licebat, cum nulla certum et qui distincte apparcat locum occupet, quod cuivis caelum intuenti patet. 19. In hoc enim uno caelestium circulorum siderum intervalla eius modi stellis referta sunt, quod in reliquis caeli plagis non aperte patet, ita ut, si non prorsus inepte de cometarum origine disseruimus, idem de lactei circuli explicatione iudicandum sit. 20. Cum enim coma ibi unum sidus afficeretur, nunc idem phaenomenon in toto quodam circulo deprehenditur, unde si lacteum orbem quasi definire vellemus, diceremus esse eum maximi circuli comam secretione provocatam. Quare, quemadmodum supra diximus, neque multi neque saepe cometae apparent idcirco, quia continuo cumulata est et cumulatur unaquaevis caeli re-

σύστασιν. 21. Περὶ μὲν οὖν τῶν γινομένων ἐν τῷ περὶ τὴν 21
γῆν κόσμῳ τῷ συνεχεῖ ταῖς φοραῖς εἴρηται, περί τε τῆς διαδρομῆς τῶν ἄστρων καὶ τῆς ἐκπιμπραμένης φλογός, ἔτι περί τε κομητῶν καὶ τοῦ καλουμένου γάλακτος· σχεδὸν γάρ εἰσι τοσαῦτα τὰ πάθη τὰ φαινόμενα περὶ τὸν τόπον τοῦτον.

IX. Περὶ δὲ τοῦ τῇ θέσει μὲν δευτέρου τόπου μετὰ τοῦ- 1
τον, πρώτου δὲ περὶ τὴν γῆν λέγωμεν· οὗτος γὰρ κοινὸς ὕδατός τε τόπος καὶ ἀέρος καὶ τῶν συμβαινόντων περὶ τὴν ἄνω γένεσιν αὐτοῦ. λεπτέον δὲ καὶ τούτων τὰς ἀρχὰς καὶ τὰς αἰτίας πάντων ὁμοίως. 2. Ἡ μὲν οὖν ὡς κινοῦσα καὶ κυρία 2
καὶ πρώτη τῶν ἀρχῶν ὁ κύκλος ἐστίν, ἐν ᾧ φανερῶς ἡ τοῦ ἡλίου φορὰ διακρίνουσα καὶ συγκρίνουσα τῷ γίνεσθαι πλησίον ἢ πορρώτερον αἰτία τῆς γενέσεως καὶ τῆς φθορᾶς ἐστίν. μενούσης δὲ τῆς γῆς, τὸ περὶ αὐτὴν ὑγρὸν ὑπὸ τῶν ἀκτίνων καὶ ὑπὸ τῆς ἄλλης τῆς ἄνωθεν θερμότητος ἀτμιδούμενον φέρεται ἄνω· 3. Τῆς δὲ θερμότητος ἀπολιπούσης τῆς ἀναγούσης αὐ- 3
τό, καὶ τῆς μὲν διασκεδαννυμένης πρὸς τὸν ἄνω τόπον, τῆς

volutione in hunc locum istius modi secretio. 21. Quae igitur in illa mundi terram ambientis parte fiunt, quae superis motibus contigua est, iam disseruimus: tam de stellarum transcursibus, quam de flamma incensa, praeterea de cometis et de lacteo, qui vocatur orbe. Haec enim fere sunt phaenomena, quae isto in loco apparent.

Cap. IX. Iam de altera, quae illam excipit, regione, positione quidem secunda, prima autem prope terram disseramus, quae aquae cum aëre communis, eorumque est sedes, quae circa generationem eius in supero loco accidunt: Horum quoque causae et principia eodem modo explanandae sunt. 2. Principium igitur movens, potissimum illud et princeps, orbis est, in quo solis motus secretionibus et concretionibus manifesto ortus interitusque provocat maiore sua aut vicinia aut distantia. Terram vero immobilem qui circumdat humor, ope radiorum solis reliquique superne caloris in vaporem conversus sursum tollitur. 3. Quem quum deinde calor deserat, qui sursum evexerat, altera illius parte in superiorem locum dispersa, altera

δὲ καὶ σβεννυμένης διὰ τὸ μετεωρίζεσθαι πορρώτερον εἰς τὸν ὑπὲρ τῆς γῆς ἀέρα, συνίσταται πάλιν ἡ ἀτμὶς ψυχομένη διά τε τὴν ἀπόλειψιν τοῦ θερμοῦ καὶ τὸν τόπον, καὶ γίνεται ὕδωρ ἐξ ἀέρος· γενόμενον δὲ φέρεται πάλιν πρὸς τὴν γῆν.
4 4. Ἔστι δ' ἡ μὲν ἐξ ὕδατος ἀναθυμίασις ἀτμίς, ἡ δ' ἐξ ἀέρος εἰς ὕδωρ νέφος· ὁμίχλη δὲ νεφέλης περίττωμα τῆς εἰς ὕδωρ συγκρίσεως. διόπερ σημεῖον μᾶλλόν ἐστιν εὐδίας ἢ ὑδάτων.
5 οἷον γάρ ἐστιν ἡ ὁμίχλη νεφέλη ἄγονος. 5. Γίνεται δὲ κύκλος οὗτος μιμούμενος τὸν τοῦ ἡλίου κύκλον· ἅμα γὰρ ἐκεῖνος εἰς τὰ πλάγια μεταβάλλει καὶ οὗτος ἄνω καὶ κάτω. καὶ δεῖ νοῆσαι τοῦτον ὥσπερ ποταμὸν ῥέοντα κύκλῳ ἄνω καὶ κά-
6 τω, κοινὸν ἀέρος καὶ ὕδατος. 6. Πλησίον μὲν γὰρ ὄντος τοῦ ἡλίου ὁ τῆς ἀτμίδος ἄνω ῥεῖ ποταμός, ἀφισταμένου δὲ ὁ τοῦ ὕδατος κάτω. καὶ τοῦτ' ἐνδελεχὲς ἐθέλει γίνεσθαι κατά γε τὴν τάξιν· ὥστ' εἴπερ ἠνίττοντο τὸν ὠκεανὸν οἱ πρότερον, τάχ' ἂν τοῦτον τὸν ποταμὸν λέγοιεν τὸν κύκλῳ ῥέοντα περὶ τὴν
7 γῆν. 7. Ἀναγομένου δὲ τοῦ ὑγροῦ ἀεὶ διὰ τὴν τοῦ θερμοῦ δύναμιν καὶ πάλιν φερομένου κάτω διὰ τὴν ψύξιν πρὸς

exstincta propterea, quod procul a terrae superficie in aërem, qui supra terram est, sublimis effertur, vapor frigefactus iterum consistit, tum propter caloris defectionem, tum propter loci naturam, et aqua gignitur ex aëre, et ubi genita est, rursus ad terram defertur. 4. Quod vero aquae gignitur exhalatione, vapor est: quod aëris in aquam reditu, nubes; nubisque eius, quae in aquam concrevit, excrementum, nebula. Unde serenitatis magis, quam aquarum est indicium nebula, cum quasi infecunda sit nubes. 5. Orbis autem ille imitatur solis orbem: simul enim cum hoc ad latera discedit, sursum effertur et deorsum deprimitur. Atque comparandus est flumini in orbem sursum deorsum fluenti, communi aëris et aquae. 6. Cum enim propius sol accedit, sursum adscendit vaporis flumen; ubi in longinqua discedit, ima petit aquae flumen, idque indesinenter secundum certum quendam ordinem fieri solet, ita ut quem veteres oceanum commenti sunt, hoc dicas flumen, quod terrae orbem circumfluat. 7. Humore continuo sursum elato, vi ca-

τὴν γῆν, οἰκείως τὰ ὀνόματα τοῖς πάθεσι κεῖται καί τισι διαφοραῖς αὐτῶν. ὅταν μὲν γὰρ κατὰ μικρὰ φέρηται, ψακάδες, ὅταν δὲ κατὰ μείζω μόρια, ὑετὸς καλεῖται.

X. Ἐκ δὲ τοῦ καθ' ἡμέραν ἀτμίζοντος ὅσον ἂν μὴ μετεωρισθῇ δι' ὀλιγότητα τοῦ ἀνάγοντος αὐτὸ πυρὸς πρὸς τὸ ἀναγόμενον ὕδωρ, πάλιν καταφερόμενον ὅταν ψυχθῇ νύκτωρ, καλεῖται δρόσος καὶ πάχνη. 2. Πάχνη μὲν ὅταν ἡ ἀτμὶς παγῇ πρὶν εἰς ὕδωρ συγκριθῆναι πάλιν (γίνεται δὲ χειμῶνος καὶ μᾶλλον ἐν χειμερινοῖς τόποις), δρόσος δ' ὅταν συγκριθῇ εἰς ὕδωρ ἡ ἀτμίς, καὶ μήθ' οὕτως ἔχῃ ἡ ἀλέα, ὥστε ξηρᾶναι τὸ ἀναχθέν, μήθ' οὕτω [τὸ] ψῦχος ὥστε παγῆναι τὴν ἀτμίδα αὐτὴν διὰ τὸ ἢ τὸν τόπον ἀλεεινότερον ἢ τὴν ὥραν εἶναι. 3. Γίνεται γὰρ ἡ δρόσος ἐν εὐδίᾳ καὶ ἐν τοῖς εὐδιεινοτέροις τόποις, ἡ δὲ πάχνη, καθάπερ εἴρηται, τοὐναντίον· δῆλον γὰρ ὡς ἡ ἀτμὶς θερμότερον ὕδατος (ἔχει γὰρ τὸ ἀνάγον ἔτι πῦρ), ὥστε πλείονος ψυχρότητος αὐτὴν δεῖσθαι. 4. Γίνεται δ' ἄμφω αἰθρίας τε καὶ νηνεμίας· οὔτε γὰρ ἀναχθήσε-

loris rursusque vi refrigerationis ad terram relapso, nomina singulis affectionibus eorumque nonnullis differentiis propria imposita sunt: quando enim exiguis guttulis delabitur aqua, stillicidia fiunt, quando uberiore copia imber appellatur.

Cap. X. Illius vaporis, qui interdiu gignitur, quicquid propter ignis, qui eum tollat, exiguam aquae sublatae respectu copiam in sublime non fertur, quando rursus delabitur noctuque refrigeratur, ros et pruina appellatur. 2. Pruina sicubi vapor congelatur, priusquam in aquam concrevit (fit autem frigida anni tempestate et frigidioribus in locis), ros cum vapor in aquam concreverit, neque aut tantus sit calor, ut sublatum resiccare queat, aut tantum frigus, ut ipse vapor congeletur, quia aut locus aut tempestas sit temperatior. 3. Gignitur enim ros potissimum calidis temporibus et locis, pruina vero, ut diximus, frigidis. Perspicuum autem est, vaporem aqua esse calidiorem, cum ignem, qui sursum evexerat, adhuc contineat, ita ut maiore opus sit frigore, ut congeletur. 4. Utraque fit sereno caelo et malacia: neque enim quidquam sursum fer-

ται μὴ οὔσης αἰθρίας, οὔτε συστῆναι δύναιτ' ἂν ἀνέμου πνέοντος. σημεῖον δ' ὅτι γίνεται ταῦτα διὰ τὸ μὴ πόρρω μετεωρίζεσθαι τὴν ἀτμίδα· ἐπὶ γὰρ τοῖς ὄρεσιν οὐ γίνεται πάχνη.
5. Αἰτία δὲ μία μὲν αὕτη, ὅτι ἀνάγεται ἐκ τῶν κοίλων καὶ ἐφύδρων τόπων, ὥστε καθάπερ φορτίον φέρουσα πλέον ἢ ἀνάγουσα θερμότης ἢ καθ' αὑτήν, οὐ δύναται μετεωρίζειν ἐπὶ πολὺν τόπον αὐτὸ τοῦ ὕψους, ἀλλ' ἐγγὺς ἀφίησι πάλιν· ἑτέρα δ' ὅτι καὶ ῥεῖ μάλιστα ὁ ἀὴρ ῥέων ἐν τοῖς ὑψηλοῖς, ὃς διαλύει τὴν τοιαύτην σύστασιν. 6. Γίνεται δ' ἡ δρόσος παντα-
6 χοῦ νοτίοις οὐ βορείοις, πλὴν ἐν τῷ Πόντῳ. ἐκεῖ δὲ τοὐναντίον. [βορείοις μὲν γὰρ γίνεται, νοτίοις δ' οὐ γίνεται]. αἴτιον δ' ὁμοίως ὥσπερ ὅτι εὐδίας μὲν γίνεται, χειμῶνος δ' οὔ· ὁ μὲν γὰρ νότος εὐδίαν ποιεῖ, ὁ δὲ βορέας χειμῶνα· ψυχρὸς γάρ, ὥστ' ἐκ τοῦ χειμῶνος τῆς ἀναθυμιάσεως σβέννυσι τὴν
7 θερμότητα. 7. Ἐν δὲ τῷ Πόντῳ ὁ μὲν νότος οὐχ οὕτως ποιεῖ εὐδίαν, ὥστε γίνεσθαι ἀτμίδα, ὁ δὲ βορέας διὰ τὴν ψυχρότητα ἀντιπεριϊστὰς τὸ θερμὸν ἀθροίζει, ὥστε πλεῖον ἀτμί-

tur, caelo nubibus tecto, neque concrescere potest ventis spirantibus. Quod autem harum originis causa sit, quia [in regiones] non procul [a terrae superficie remotas] eductus sit [vapor], exinde patet, quod in montibus nunquam pruina deprehenditur. 5. Cuius rei altera causa haec est, quod ex cavis udisque locis vapor adscendit ita, ut qui sursum pellit calor cum maiore pondere utatur, quam quod ferre queat, cum non ad sublimem locum tollere possit sed prope terram rursus omittat: altera deinde, quod in altioribus locis aër, qui eius modi concretionem dissolvit, maxime fluere solet. 6. Fit autem ros ubique australibus ventis, non borealibus, praeterquam in Ponto, ubi contrarium evenit [ut borealibus quidem fiat, australibus non fiat]. Eadem autem huius phaenomeni causa est [quam supra tetigimus], ut calida tempestate fiat, frigida non fiat. Auster enim calidus est, boreas brumalis frigidusque adeo, ut vi frigoris vaporis calorem exstinguat. 7. In Ponto auster nullum calorem generat talem, ut vapor fieri possit: aquilo contra frigore undequaque circumstans calorem colligit tantum, ut maior fiat eva-

ζειν μᾶλλον. 8. Πολλάκις δὲ τοῦτο καὶ ἐν τοῖς ἔξω τόποις 8
ἰδεῖν γινόμενον ἔστιν· ἀτμίζειν γὰρ τὰ φρέατα βορείοις μᾶλλον
ἢ νοτίοις. ἀλλὰ τὰ μὲν βόρεια σβέννυσι πρὶν συστῆναί τι πλῆ-
θος, ἐν δὲ τοῖς νοτίοις ἐᾶται ἀθροίζεσθαι ἡ ἀναθυμίασις.

XI. Αὐτὸ δὲ τὸ ὕδωρ οὐ πήγνυται, καθάπερ ἐν τῷ περὶ 1
τὰ νέφη τόπῳ· κεῖθεν γὰρ τρία φοιτᾷ σώματα συνιστάμενα
διὰ τὴν ψύξιν, καὶ ὕδωρ καὶ χιὼν καὶ χάλαζα· τούτων δὲ τὰ
μὲν δύο ἀνάλογον καὶ διὰ τὰς αὐτὰς αἰτίας γίνεται τοῖς κάτω,
διαφέροντα τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι.
2. Χιὼν γὰρ καὶ πάχνη ταὐτόν, καὶ ὑετὸς καὶ δρόσος, ἀλλὰ 2
τὸ μὲν πολὺ τὸ δ' ὀλίγον· ὁ μὲν γὰρ ὑετὸς ἐκ πολλῆς ἀτμί-
δος γίνεται ψυχομένης· τούτου δ' αἴτιον ὅ τε τόπος πολὺς καὶ
ὁ χρόνος ὧν, ἐν ᾧ συλλέγεται καὶ ἐξ οὗ. τὸ δ' ὀλίγον ἡ δρό-
σος· ἐφήμερος γὰρ ἡ σύστασις καὶ ὁ τόπος μικρός· δηλοῖ
δ' ἥ τε γένεσις οὖσα ταχεῖα καὶ βραχὺ τὸ πλῆθος. 3. Ὁμοί- 3
ως δὲ καὶ πάχνη καὶ χιών· ὅταν γὰρ παγῇ τὸ νέφος, χιών
ἐστιν, ὅταν δ' ἡ ἀτμίς, πάχνη. διὸ ἢ ὥρας ἢ χώρας ἐστὶση-
μεῖον ψυχρᾶς· οὐ γὰρ ἂν ἐπήγνυτο ἔτι πολλῆς ἐνούσης θερ-

poratio. 8. Quod etiam in locis extra Pontum saepe videre licet, ut vaporis largior copia provocetur aquilonibus, quam austris. Aquilones vero exstinguunt prius quam maior copia concrescere queat, austri flantes vaporem colligi sinunt.

Cap. XI. Aqua vero ipsa nusquam concrescit, quemadmodum in nubium regione. Inde enim tria descendunt corpora, propter frigus concreta, aqua, nix et grando. Quarum duo eadem ratione et easdem propter causas fiunt, quam quae infra, neque differunt nisi maiore aut minore copia. 2. Nix enim et pluvia cum pruina et rore congruunt, sed illae copia abundant, hae deficiunt. Pluvia enim fit multo vapore refrigerato, cuius rei causa est, abundantia loci et temporis, in quibus colligitur. Copia longe inferior est ros, qui unius diei exiguo in loco est concretio, quod patet ex celeri ortu et exigua multitudine. 3. Eodem iure pruina convenit cum nive. Quando enim nubes congelatur, nix fit: quando vapor, pruina; quapropter aut regionis aut tempestatis frigidae est indicium. Nisi enim frigus

μότητος, εἰ μὴ ἐπεκράτει τὸ ψῦχος. ἐν γὰρ τῷ νέφει ἔτι ἔνεστι πολὺ τὸ θερμὸν τὸ ὑπόλοιπον τοῦ ἐξατμίσαντος ἐκ τῆς
4 γῆς τὸ ὑγρὸν πυρός. 4. Χάλαζα δ' ἐκεῖ μὲν γίνεται, ἐν δὲ τῷ πλησίον τῆς γῆς ἀτμίζοντι τοῦτ' ἐλλείπει· καθάπερ γὰρ εἴπομεν, ὡς μὲν ἐκεῖ χιών, ἐνταῦθα γίνεται πάχνη, ὡς δ' ἐκεῖ ὑετός, ἐνταῦθα δρόσος· ὡς δ' ἐκεῖ χάλαζα, ἐνταῦθα οὐκ ἀνταποδιδωσι τὸ ὅμοιον. τὸ δ' αἴτιον εἰποῦσι περὶ χαλάζης ἔσται δῆλον.

1 XII. Δεῖ δὲ λαβεῖν ἅμα καὶ τὰ συμβαίνοντα περὶ τὴν γένεσιν αὐτῆς, τά τε μὴ πλανῶντα καὶ τὰ δοκοῦντ' εἶναι παρά λογα. ἔστι μὲν γὰρ ἡ χάλαζα κρύσταλλος, πήγνυται δὲ τὸ ὕδωρ τοῦ χειμῶνος· αἱ δὲ χάλαζαι γίνονται ἔαρος μὲν καὶ μετοπώρου μάλιστα, εἶτα καὶ τῆς ὀπώρας, χειμῶνος δ' ὀλιγάκις,
2 καὶ ὅταν ἧττον ᾖ ψῦχος. 2. Καὶ ὅλως δὲ γίνονται χάλαζαι μὲν ἐν τοῖς εὐδιεινοτέροις τόποις, αἱ δὲ χιόνες ἐν τοῖς ψυχροτέροις· ἄτοπον δὲ καὶ τὸ πήγνυσθαι ὕδωρ ἐν τῷ ἄνω τόπῳ· οὔτε γὰρ παγῆναι δυνατὸν πρὶν γενέσθαι ὕδωρ, οὔτε τὸ ὕδωρ

evicisset, ne cum multus quidem infuisset adhuc calor, foret conglaciatus. In nube enim multum superest caloris, qui e terra humidum vaporem protraxerat. 4. Grando illic quidem progenitur: at deficit in regione terrae superficiei vicina vaporibus repleta. Sicuti enim diximus, uti illic nix, hic pruina: uti illic pluvia, hic ros: ut vero illic grando, hic nihil simile reperitur. Cuius rei causa nobis patebit de grandine disserentibus.

Cap. XII. Inter ea quae circa eius ortum eveniunt et ea sumenda sunt, quae extra omnem dubitationem posita sunt et quae praeter rationem esse videntur. Est enim grando glacies. Atqui congelatur aqua brumali tempore; grandines contra decidunt vere praesertim et autumno, deinde etiam in fine aestatis, hyeme autem raro nec nisi cum debilius sit frigus. 2. Omnino deinde grandines fiunt in calidioribus regionibus, nives autem in frigidioribus. Ineptum vero est, aquam conglaciari in sublimi loco, cum neque queat consistere, priusquam in aquam sit redacta, neque aqua ullum temporis spatium

οὐδένα χρόνον οἷόν τε μένειν μετέωρον ὄν. 3. Ἀλλὰ μὴν οὐδ' 3
ὥσπερ αἱ ψακάδες ἄνω μὲν ὀχοῦνται διὰ μικρότητα, ἐνδιατρί-
ψασαι δ' ἐπὶ τοῦ ἀέρος, ὥσπερ καὶ ἐπὶ τοῦ ὕδατος γῆ καὶ
χρυσὸς διὰ μικρομέρειαν πολλάκις ἐπιπλέουσιν, οὕτως ἐπὶ τοῦ
ἀέρος τὸ ὕδωρ, συνελθόντων δὲ πολλῶν μικρῶν μεγάλαι κα-
ταφέρονται ψακάδες. 4. Τοῦτο γὰρ οὐκ ἐνδέχεται γενέσθαι 4
ἐπὶ τῆς χαλάζης· οὐ γὰρ συμφύεται τὰ πεπηγότα ὥσπερ τὰ
ὑγρά. δῆλον οὖν ὅτι ἄνω τοσοῦτον ὕδωρ ἔμεινεν· οὐ γὰρ ἂν
ἐπάγη τοσοῦτον. 5. Τοῖς μὲν οὖν δοκεῖ τοῦ πάθους αἴτιον 5
εἶναι τούτου καὶ τῆς γενέσεως, ὅταν ἀπωσθῇ τὸ νέφος εἰς τὸν
ἄνω τόπον μᾶλλον ὄντα ψυχρὸν διὰ τὸ λήγειν ἐκεῖ τὰς ἀπὸ
τῆς γῆς τῶν ἀκτίνων ἀνακλάσεις, ἐλθὸν δ' ἐκεῖ πήγνυσθαι τὸ
ὕδωρ. διὸ καὶ θέρους μᾶλλον καὶ ἐν ταῖς ἀλεεινοτέραις χώραις
γίνεσθαι τὰς χαλάζας, ὅτι ἐπὶ πλεῖον τὸ θερμὸν ἀνωθεῖ ἀπὸ
τῆς γῆς τὰς νεφέλας. 6. Συμβαίνει δ' ἐν τοῖς σφόδρα ὑψη- 6
λοῖς ἥκιστα γίνεσθαι χαλάζας· καίτοι ἔδει, ὥσπερ καὶ τὴν
χιόνα ὁρῶμεν ἐπὶ τοῖς ὑψηλοῖς μάλιστα γινομένην. 7. Ἔτι 7
δὲ πολλάκις ὤπται νέφη φερόμενα σὺν ψόφῳ πολλῷ παρ' αὐ-

sublime manere. 3. At neque, ut stillae supra vehuntur ob parvitatem in aëre versatae (quemadmodum enim terrae aurique exiguae particulae aquae saepe innatant, ita aëri aqua), multarumque coëuntium magna develiuntur stillicidia, ita in grandine fieri potest. 4. Nequaquam enim coalescunt, quae gelu concreverant, quemadmodum humida. Patet igitur tantam aquae copiam in supero loco permansisse: neque enim tanta fuisset conglaciata. 5. Nonnullis igitur videtur phaenomeno eiusque origini causa subesse, quod nubes in superiorem locum protrudatur eumque frigidiorem, quippe in quo radiorum a terra reflexiones desinant, ubi simulac advenerit, congeletur, ideircoque aestate potius et in calidioribus locis grandines fieri, cum calor quo intensior eo longinquius nubes sursum pellat. 6. Atqui in locos valde editos minime grandinem delabi constat: quod quidem fieri debebat, quemadmodum nivem etiam in montibus creberrimam fieri videmus. 7. Praeterea saepenumero nubes apparent ingenti strepitu prope terram delatae

τὴν τὴν γῆν, ὥστε φοβερὸν εἶναι τοῖς ἀκούουσι καὶ ὁρῶσιν
8 ὡς ἐσομένου τινὸς μείζονος. 8. Ὅτε δὲ καὶ ἄνευ ψόφου τοιούτων ὀφθέντων νεφῶν χάλαζα γίνεται πολλὴ καὶ τὸ μέγεθος ἄπιστος, καὶ τοῖς σχήμασιν οὐ στρογγύλη, διὰ τὸ μὴ πολὺν χρόνον γίνεσθαι τὴν φορὰν αὐτῆς ὡς πλησίον τῆς πήξεως
9 γενομένης τῆς γῆς, ἀλλ' οὐχ ὥσπερ ἐκεῖνοί φασιν. 9. Ἀλλὰ μὴν ἀναγκαῖον ὑπὸ τοῦ μάλιστ' αἰτίου τῆς πήξεως μεγάλας γίνεσθαι χαλάζας· κρύσταλλος γὰρ ἡ χάλαζα, καὶ τοῦτο παντὶ δῆλον. μεγάλαι δ' εἰσὶν αἱ τοῖς σχήμασι μὴ στρογγύλαι. τοῦτο δὲ σημεῖον τοῦ παγῆναι πλησίον τῆς γῆς. αἱ γὰρ φερόμεναι πόρρωθεν διὰ τὸ φέρεσθαι μακρὰν περιθραυόμεναι γίνονται
10 τό τε σχῆμα περιφερεῖς καὶ τὸ μέγεθος ἐλάττονς. 10. Ὅτι μὲν οὖν οὐ τῷ ἀπωθεῖσθαι εἰς τὸν ἄνω τόπον τὸν ψυχρὸν
11 ἡ πῆξις συμβαίνει, δῆλον. 11. Ἀλλ' ἐπειδὴ ὁρῶμεν ὅτι γίνεται ἀντιπερίστασις τῷ θερμῷ καὶ ψυχρῷ ἀλλήλοις, διὸ ἔν τε ταῖς ἀλέαις ψυχρὰ τὰ κάτω τῆς γῆς καὶ ἀλεεινὰ ἐν τοῖς πάγοις, τοῦτο δεῖ νομίζειν καὶ ἐν τῷ ἄνω γίνεσθαι τόπῳ, ὥστ'

ita, ut terrorem incutiant audientibus et adspicientibus, tamquam si maius quidpiam adesset. 8. Interdum etiam absque clangore apparentibus eius modi nubibus grando frequens delabitur incredibilis fere magnitudinis, minime rotunda idcirco forma, quia non diuturno tempore defertur, cum in vicinia terrae congelata sit, neque quemadmodum illi aiunt [in regione procul a terrae superficie remota]. 9. Necessarium est ab eo, quod maxime congelationis causa est, magnas procreari grandines. Glaciem enim esse grandinem, cuivis intelligitur. At magnae sunt, quae rotundam formam non induunt. Indeque argumentum desumitur in vicinia terrae eas conglaciari. Quae enim ex longinquo delabuntur propter diuturnum casum undique corrasae et formam induunt rotundam et exigua fruuntur magnitudine. 10. Quod igitur non inde congelatio efficiatur, quia in superiorem locum eumque frigidiorem nubes protudatur, apparet. 11. Cum verò videamus calorem et frigus sese undique coërcere, quapropter subterranea loca calidis tempestatibus frigida et frigidis calida reperiuntur, idem in superiore loco

ἐν ταῖς ἀλεεινοτέραις ὥραις ἀντιπεριϊστάμενον εἴσω τὸ ψυχρὸν διὰ τὴν κύκλῳ θερμότητα ὁτὲ μὲν ταχὺ ὕδωρ ἐκ τοῦ νέφους ποιεῖ, ὁτὲ δὲ χάλαζαν. 12. Διὸ καὶ αἱ ψακάδες πολὺ μείζους 12
ἐν ταῖς ἀλεειναῖς γίνονται ἡμέραις ἢ ἐν τῷ χειμῶνι, καὶ ὕδατα λαβρότερα· λαβρότερα μὲν γὰρ λέγεται, ὅταν ἀθροώτερα, ἀθροώτερα δὲ διὰ τὸ τάχος τῆς πυκνώσεως. 13. Τοῦτο δὲ 13
γίνεται αὐτὸ τοὐναντίον ἢ ὡς Ἀναξαγόρας λέγει· ὁ μὲν γὰρ ὅταν εἰς τὸν ψυχρὸν ἀέρα ἐπανέλθῃ φησὶ τοῦτο πάσχειν, ἡμεῖς δ' ὅταν εἰς τὸν θερμὸν κατέλθῃ, καὶ μάλιστα, ὅταν μάλιστα. ὅταν δ' ἔτι μᾶλλον ἀντιπεριστῇ ἐντὸς τὸ ψυχρὸν ὑπὸ τοῦ ἔξω θερμοῦ, ὕδωρ ποιῆσαν ἔπηξε καὶ γίνεται χάλαζα. συμβαίνει δὲ τοῦτο, ὅταν θᾶττον ᾖ ἡ πῆξις ἢ ἡ τοῦ ὕδατος φορὰ ἡ κάτω. 14. Εἰ γὰρ φέρεται μὲν ἐν τοσῷδε χρόνῳ, ἡ 14
δὲ ψυχρότης σφοδρὰ οὖσα ἐν ἐλάττονι ἔπηξεν, οὐθὲν κωλύει μετέωρον ὂν παγῆναι, ἐὰν ἡ πῆξις ἐν ἐλάττονι γίνηται χρόνῳ τῆς κάτω φορᾶς. 15. Καὶ ὅσῳ δ' ἂν ἐγγύτερον καὶ ἀθροω- 15
τέρα γένηται ἡ πῆξις, τά τε ὕδατα λαβρότερα γίνεται καὶ αἱ

evenire censemus necesse est, ita ut calidiore tempore frigus ab ambiente calore undique conclusum interdum celeriter aquam ex nube eliciat, interdum grandinem. 12. Quapropter stillicidia calidis diebus multo maiora esse solent, quam brumae tempore, et aquae largior copia. Largiores enim sunt, quando magis coacervatae, coacervatae vero propter condensationis celeritatem. 13. Quod prorsus contrario evenit modo, quam Anaxagoras voluit. Is enim quando in frigidum aërem adscendat, nubem hac effici ratione contendebat, nos vero quando in calidum descendat ac maxime cum maxime. Quando vero adhuc magis a calore ambiente introrsum frigus compressum fuerit, mox ubi aquam genuit, in glaciem convertit et grandinem efficit. Quod evenit, quotiescunque rapidior est congelatio, quam aquae delapsus. 14. Quodsi enim delabitur tantillo tempore, frigus vero intensum breviore temporis spatio conglaciat, nihil prohibet, quominus sublime in glaciem convertatur, quando congelatio breviore fiat tempore, quam deorsum latio. 15. Et quo propior et magis collecta fiat congelatio, eo maiore impetu

ψακάδες καὶ αἱ χάλαζαι μείζους διὰ τὸ βραχὺν φέρεσθαι τόπον. καὶ οὐ πυκναὶ αἱ ψακάδες αἱ μεγάλαι πίπτουσι διὰ τὴν
16 αὐτὴν αἰτίαν. 16. Ἧττον δὲ τοῦ θέρους γίνεται ἢ ἔαρος καὶ μετοπώρου, μᾶλλον μέντοι ἢ χειμῶνος, ὅτι ξηρότερος ὁ ἀὴρ τοῦ θέρους· ἐν δὲ τῷ ἔαρι ἔτι ὑγρός, ἐν δὲ τῷ μετοπώρῳ
17 ἤδη ὑγραίνεται. 17. Γίνονται δέ ποτε, καθάπερ εἴρηται, καὶ τῆς ὀπώρας χάλαζαι διὰ τὴν αὐτὴν αἰτίαν. συμβάλλεται δ' ἔτι πρὸς τὴν ταχυτῆτα τῆς πήξεως καὶ τὸ προτεθερμάνθαι τὸ
18 ὕδωρ. θᾶττον γὰρ ψύχεται. 18. Διὸ πολλοὶ ὅταν τὸ ὕδωρ ψῦξαι ταχὺ βουληθῶσιν, εἰς τὸν ἥλιον τιθέασι πρῶτον, καὶ οἱ περὶ τὸν Πόντον ὅταν ἐπὶ τοῦ κρυστάλλου σκηνοποιῶνται πρὸς τὰς τῶν ἰχθύων θήρας (θηρεύουσι γὰρ διακόπτοντες τὸν κρύσταλλον), ὕδωρ θερμὸν περιχέουσι τοῖς καλάμοις διὰ τὸ θᾶττον πήγνυσθαι· χρῶνται γὰρ τῷ κρυστάλλῳ, ὥσπερ τῷ
19 μολίβδῳ, ἵν' ἠρεμῶσιν οἱ κάλαμοι. 19. Θερμὸν δὲ γίνεται ταχὺ τὸ συνιστάμενον ὕδωρ ἔν τε ταῖς χώραις καὶ ταῖς ὥραις ταῖς ἀλεεινοῖς. γίνεται δὲ καὶ περὶ τὴν Ἀραβίαν καὶ Αἰθιοπίαν τοῦ θέρους τὰ ὕδατα καὶ οὐ τοῦ χειμῶνος, καὶ ταῦτα ῥαγ-

aquae delabuntur stillaeque et maiores grandines idcirco, quia per breve tantum spatium feruntur. Stillaeque magnae eaeque non condensae propter eandem rationem delabuntur. 16. Rarior autem fit aestate quam vere et autumno, imprimis vero hieme, quamvis frequentior quam hieme, quia siccior aër aestate, vero humidus: autumno etiam humescit. 17. Fiunt etiam grandines, sicuti diximus, in fine aestatis eaeque eadem de causa. Ad congelationis celeritatem aliquid confert, aquam antea esse calefactam. 18. Quapropter multi, qui aquam celeriter volunt refrigerare, ipsius solis radiis exponunt: et qui circa Pontum in glacie tentoria construunt, piscium ut incumbant venatui (venantur enim glacie perfracta), calidam aquam arundini infundunt, ut citius congeletur. Utuntur enim glacie, tamquam plumbo, ut immotae arundines consistant. 19. Quae autem regionibus et temporibus calidis aqua concrescit, ea cito incalescit. Delabuntur etiam in Arabia et Aethiopia pluviae aestate, non bruma eaeque vehementiores: et plus semel una eademque

δαῖα, καὶ τῆς αὐτῆς ἡμέρας πολλάκις, διὰ τὴν αὐτὴν αἰτίαν. 20. Ταχὺ γὰρ ψύχεται τῇ ἀντιπεριστάσει, ἣ γίνεται διὰ τὸ 20 ἀλεεινὴν εἶναι τὴν χώραν ἰσχυρῶς. περὶ μὲν οὖν ὑετοῦ καὶ δρόσου καὶ νιφετοῦ καὶ πάχνης καὶ χαλάζης, διὰ τίν' αἰτίαν γίνεται καὶ τίς ἡ φύσις αὐτῶν ἐστίν, εἰρήσθω τοσαῦτα.

XIII. Περὶ δ' ἀνέμων καὶ πάντων πνευμάτων, ἔτι δὲ 1 ποταμῶν καὶ θαλάττης λέγωμεν, πρῶτον καὶ περὶ τούτων προαπορήσαντες πρὸς ἡμᾶς αὐτούς· ὥσπερ γὰρ καὶ περὶ ἄλλων, οὕτω καὶ περὶ τούτων οὐθὲν παρειλήφαμεν λεγόμενον τοιοῦτον, ὃ μὴ κἂν ὁ τυχὼν εἴποιεν. 2. Εἰσὶ δέ τινες 2 οἳ φασι τὸν καλούμενον ἀέρα, κινούμενον μὲν καὶ ῥέοντα ἄνεμον εἶναι, συνιστάμενον δὲ τὸν αὐτὸν τοῦτον πάλιν νέφος καὶ ὕδωρ, ὡς τῆς αὐτῆς φύσεως οὔσης ὕδατος καὶ πνεύματος καὶ τὸν ἄνεμον εἶναι κίνησιν ἀέρος. 3. Διὸ καὶ 3 τῶν σοφῶς βουλομένων λέγειν τινὲς ἕνα φασὶν ἄνεμον εἶναι πάντας τοὺς ἀνέμους, ὅτι συμπέπτωκε καὶ τὸν ἀέρα τὸν κινούμενον ἕνα καὶ τὸν αὐτὸν εἶναι πάντα, δοκεῖν δὲ διαφέρειν οὐθὲν διαφέροντα διὰ τοὺς τόπους ὅθεν ἂν τυγχάνῃ ῥέον ἑκάστοτε, παραπλησίως λέγοντες, ὥσπερ ἂν εἴ τις οἴοιτο καὶ τοὺς

die, propter eandem causam. 20. Cito enim refrigeratur propter antiperistasin, quae fit ob ingentem regionis calorem. Pluviae igitur et roris et ningoris et pruinae et grandinis, quae sint causae ac natura, hucusque disseruimus.

Cap. XIII. De ventis cunctisque flatibus, praeterea de fluviis marique disseramus, postquam hac quoque de re dubitationes nostras proposuerimus. Quemadmodum enim de reliquis, neque de hac re quidquam accepimus disputatum, quod non quivis dicere posset. 2. Sunt autem nonnulli, qui dicant aërem, qui ita vocatur, quando moveatur et fluat, esse ventum, quando rursus consistat, nubem et pluviam, ita ut aqua flatusque eiusdem essent naturae, ideoque ventum esse aëris motum. 3. Quare qui non inepte loqui volebant, omnes ventos unum esse ventum dixerunt, quia accidat aërem motum unum esse prorsus eundemque et videri differre, quamvis nihil differat, secundum locos, unde quivis adfluere videatur flatus; non ab-

4 ποταμοὺς πάντας ἕνα ποταμὸν εἶναι. 4. Διὸ βέλτιον οἱ πολ-
λοὶ λέγουσιν ἄνευ ζητήσεως τῶν μετὰ ζητήσεως οὕτω λεγόν-
5 των. 5. Εἰ μὲν γὰρ ἐκ μιᾶς ἀρχῆς ἅπαντες ῥέουσι, κἀκεῖ τὰ
πνεύματα τὸν αὐτὸν τρόπον, τάχ' ἄν τι λέγοιεν οἱ λέγοντες
οὕτως· εἰ δ' ὁμοίως ἐνταῦθα κἀκεῖ, δῆλον ὅτι τὸ κόμιψευμα
ἂν εἴη τοῦτο ψεῦδος, ἐπεὶ τοῦτόγε προσήκουσαν ἔχει σκέψιν,
τί τ' ἐστὶν ὁ ἄνεμος, καὶ γίνεται πῶς, καὶ τί τὸ κινοῦν, καὶ
ἡ ἀρχὴ πόθεν αὐτῶν, καὶ πότερον ἄρ' ὥσπερ ἐξ ἀγγείου δεῖ
λαβεῖν ῥέοντα τὸν ἄνεμον, καὶ μέχρι τούτου ῥεῖν, ἕως ἂν κε-
νωθῇ τὸ ἀγγεῖον, οἷον ἐξ ἀσκῶν ἀφιέμενον, ἢ καθάπερ καὶ
6 οἱ γραφεῖς γράφουσιν, ἐξ αὐτῶν τὴν ἀρχὴν ἀφιέντας. 6. Ὁ-
μοίως δὲ καὶ περὶ τῆς τῶν ποταμῶν γενέσεως δοκεῖ τισιν ἔχειν·
τὸ γὰρ ἀναχθὲν ὑπὸ τοῦ ἡλίου ὕδωρ πάλιν ὑόμενον ἀθροι-
σθὲν ὑπὸ γῆν ῥεῖν οἷον ἐκ κοιλίας μεγάλης, ἢ πάντας ἐκ μιᾶς
ἢ ἄλλον ἄλλης· καὶ οὐ γίνεσθαι ὕδωρ οὐθέν, ἀλλὰ τὸ συλ-
λεχθὲν ἐκ τοῦ χειμῶνος εἰς τὰς τοιαύτας ὑποδοχάς, τοῦτο
7 γίνεσθαι τὸ πλῆθος τῶν ποταμῶν. 7. Διὸ καὶ μείζους ἀεὶ
τοῦ χειμῶνος ῥεῖν ἢ τοῦ θέρους, καὶ τοὺς μὲν ἀενάους εἶναι,

simili ratione, qua quis arbitrari queat, omnia flumina unum esse flumen. 4. Idcirco meliora proferre solet vulgus absque disquisitione, quam qui disquirendo talia extorserunt. 5. Quodsi enim omnes ex uno eodemque fonte fluerent et flatus eadem ratione, fortasse aliquid dixissent, qui ita dixere: sin vero pari ratione id non fiat, illud scitamentum nihili esse patet, cum apte dubitetur, quid sit ventus, quo modo fiat, quid sit movens, unde eius initium et utrum, quemadmodum ex vase ventus effluere sit dicendus et eousque donec vas inane sit factum (tamquam ex utribus profluens, aut quemadmodum etiam pictores ventos describere solent, ex se ipsis initium emittentes), an secus. 6. Non absimiliter de fluminum ortu nonnullis res sese habere videtur. Aquam enim a sole sublatam, imbribus deinde collectam sub terram profluere, tamquam ex magno cavo, ita ut omnes fluvii aut ex uno, aut alter ex altero prodeant. Neque generari ullam aquam sed brumae vi collectam in eius modi receptacula fluminum provocare copiam. 7. Quam ob rem maiori

τοὺς δ' οὐκ ἀενάους· ὅσων μὲν γὰρ διὰ τὸ μέγεθος τῆς κοιλίας πολὺ τὸ συλλεγόμενον ὕδωρ ἐστίν, ὥστε διαρκεῖν καὶ μὴ προαναλίσκεσθαι πρὶν ἐπελθεῖν τὸ ὄμβριον ἐν τῷ χειμῶνι πάλιν, τούτους μὲν ἀενάους εἶναι διὰ τέλους, ὅσοις δ' ἐλάττους αἱ ὑποδοχαί, τούτους δὲ δι' ὀλιγότητα τοῦ ὕδατος φθάνειν ξηραινομένους πρὶν ἐπελθεῖν τὸ ἐκ τοῦ οὐρανοῦ, κενουμένου τοῦ ἀγγείου. 8. Καίτοι φανερόν, εἴ τις βούλεται ποιήσας οἷον 8
ὑποδοχὴν πρὸ ὀμμάτων τῷ καθ' ἡμέραν ὕδατι ῥέοντι συνεχῶς νοῆσαι τὸ πλῆθος· ὑπερβάλλοι γὰρ ἂν τῷ μεγέθει τὸν τῆς γῆς ὄγκον ἢ οὐ πολὺ ἂν ἐλλείποι τὸ δεχόμενον πᾶν τὸ ῥέον ὕδωρ εἰς τὸν ἐνιαυτόν. 9. Ἀλλὰ δῆλον, ὅτι συμβαίνει καὶ 9
πολλὰ ταῦτα πολλαχῇ τῆς γῆς· οὐ μὴν ἀλλ' ἄτοπον εἴ τις μὴ νομίζοι διὰ τὴν αὐτὴν αἰτίαν ὕδωρ ἐξ ἀέρος γίνεσθαι δι' ἥνπερ ὑπὲρ γῆς καὶ ἐν τῇ γῇ. ὥστ' εἴπερ κἀκεῖ διὰ ψυχρότητα συνίσταται ὁ ἀτμίζων ἀὴρ εἰς ὕδωρ, καὶ ὑπὸ γῆς ἐν τῇ γῇ ψυχρότητος τὸ αὐτὸ τοῦτο δεῖ νομίζειν συμβαίνειν, καὶ γίνεσθαι μὴ μόνον τὸ ἀποκεκριμένον ὕδωρ ἐν αὐτῇ καὶ τοῦτο ῥεῖν, ἀλλὰ καὶ γίνεσθαι συνεχῶς. 10. Ἔτι δὲ τοῦ μὴ γινομέ- 10

etiam impetu incedere fluvios hieme quam aestate, et alios esse perennes, alios intermittentes: quibus enim propter alvei magnitudinem magna aquae collectae copia suppetat, ita ut sufficiat, neque desinat priusquam imbres brumales redeant, esse perennes et continuos: quibus vero minora sint receptacula, illos propter exiguam aquae copiam exsiccari, anteaquam de caelo aqua vase eximanito suppetat. 8. Atqui patet hoc, si quis velit, receptaculo ante oculos facto, omnem quae tota die continuo delabitur aquam computare. Terrae enim magnitudinem aut excederet aut ipsa non longe esset inferior aquae totum per annum delapsa copia et recepta. 9. Manifestum vero est eius modi multa pluribus terrae locis evenire. Et ineptus profecto foret, qui non arbitraretur eadem de causa aquam ex aëre procreari in terra, qua supra terram, ita ut, siquidem ibi vi frigoris aër vaporibus repletus in aquam consistat, idem vi frigoris, quod in terra reperiatur, fieri censeamus necesse sit, secerni tantum aquam in illa et fluere, sed id quoque fieri con-

νον, ἀλλ' ὑπάρχοντος ὕδατος καθ' ἡμέραν μὴ τοιαύτην εἶναι τὴν ἀρχὴν τῶν ποταμῶν, οἷον ὑπὸ γῆν λίμνας τινὰς ἀποκεκριμένας, καθάπερ ἔνιοι λέγουσιν, ἀλλ' ὁμοίως ὥσπερ καὶ ἐν τῷ ὑπὲρ γῆς τόπῳ μικραὶ συνιστάμεναι ῥανίδες, καὶ πάλιν αὖται ἑτέραις, τέλος μετὰ πλήθους καταβαίνει τὸ ῥέον ὕδωρ, οὕτω καὶ ἐν τῇ γῇ ἐκ μικρῶν συλλείβεσθαι τὸ πρῶτον καὶ εἶναι οἷον πιδώσης εἰς ἓν τῆς γῆς τὰς ἀρχὰς τῶν ποτα-
11 μῶν. 11. Δηλοῖ δ' αὐτὸ τὸ ἔργον· οἱ γὰρ τὰς ὑδραγωγίας ποιοῦντες ὑπονόμοις καὶ διώρυξι συνάγουσιν, ὥσπερ ἂν ἰδιούσης τῆς γῆς ἀπὸ τῶν ὑψηλῶν. διὸ καὶ τὰ ῥεύματα τῶν ποταμῶν ἐκ τῶν ὀρῶν φαίνεται ῥέοντα, καὶ πλεῖστοι καὶ μέγιστοι ποταμοὶ ῥέουσιν ἐκ τῶν μεγίστων ὀρῶν. ὁμοίως δὲ καὶ αἱ κρή-
12 ναι αἱ πλεῖσται ὄρεσι καὶ τόποις ὑψηλοῖς γειτνιῶσιν. 12. Ἐν δὲ τοῖς πεδίοις ἄνευ ποταμῶν ὀλίγαι γίνονται πάμπαν. οἱ γὰρ ὀρεινοὶ καὶ ὑψηλοὶ τόποι, οἷον σπόγγος πυκνὸς ἐπικρεμάμενος, κατὰ μικρὰ μὲν πολλαχῇ δὲ διαπιδῶσι καὶ συλλείβουσι τὸ ὕ-
13 δωρ. 13. Δέχονται γὰρ τοῦ κατιόντος ὕδατος πολὺ πλῆθος (τί γὰρ διαφέρει κοίλην καὶ ὑπτίαν ἢ πρηνῆ τὴν περιφέρειαν

tinuo. 10. Si praeterea aqua non fit in dies, sed iam exstat, nullum esse tale fluviorum principium, quales secretos quosdam lacus subterraneos, quemadmodum nonnulli contendunt; sed veluti supra terram exiguae guttae concrescunt eaeque rursus coëunt cum aliis, ut denique larga copia aquae imbre descendat, ita etiam in terra ex parvis primum colligi ac fluviorum esse principia, terra tamquam in unum stillante. 11. Res autem ipsa hoc indicat. Qui enim aquaeductus faciunt, congregant eam cuniculis et suffossionibus, terra ab excelsis quasi sudorem mittente. Quamobrem fluminum fluxus ex montibus videntur delabi et maxima flumina ex maximis iugis defluunt. Eodem modo etiam fontes plurimi montibus excelsisque locis propinqui sunt, in planitie vero saepenumero inveniuntur absque fluminibus. 12. Montosa enim et edita loca, quasi spongia suspensa paulatim quidem sed multis in locis stillant et colligunt aquam. 13. Recipiunt enim delabentis aquae magnam copiam (quid enim refert cavusne sit et supinus an pronus ambitus et devexus? utroque

εἶναι καὶ κυρτήν; ἀμφοτέρως γὰρ τὸν ἴσον ὄγκον περιλήψεται σώματος) καὶ τὴν ἀνιοῦσαν ἀτμίδα ψύχουσι καὶ συγκρίνουσι πάλιν εἰς ὕδωρ. 14. Διόπερ καθάπερ εἴπομεν, οἱ μέγιστοι 14
τῶν ποταμῶν ἐκ τῶν μεγίστων φαίνονται ῥέοντες ὀρῶν. δῆλον δ' ἐστὶ τοῦτο θεωμένοις τὰς τῆς γῆς περιόδους· ταύτας γὰρ ἐκ τοῦ πυνθάνεσθαι παρ' ἑκάστων οὕτως ἀνέγραψαν, ὅσων μὴ συμβέβηκεν αὐτόπτας γενέσθαι τοὺς λέγοντας. 15. Ἐν 15
μὲν οὖν τῇ Ἀσίᾳ πλεῖστοι μὲν ἐκ τοῦ Παρνασσοῦ καλουμένου φαίνονται ῥέοντες ὄρους καὶ μέγιστοι ποταμοί, τοῦτο δ' ὁμολογεῖται πάντων εἶναι μέγιστον ὄρος τῶν πρὸς τὴν ἕω τὴν χειμερινήν· ὑπερβάντι γὰρ ἤδη τοῦτο φαίνεται ἡ ἔξω θάλαττα, ἧς τὸ πέρας οὐ δῆλον τοῖς ἐντεῦθεν. 16. Ἐκ μὲν οὖν 16
τούτου ῥέουσιν ἄλλοι τε ποταμοὶ καὶ ὁ Βάκτρος καὶ ὁ Χοάσπης καὶ ὁ Ἀράξης· τούτου δ' ὁ Τάναϊς ἀποσχίζεται μέρος ὢν εἰς τὴν Μαιῶτιν λίμνην. ῥεῖ δὲ καὶ ὁ Ἰνδὸς ἐξ αὐτοῦ, πάντων τῶν ποταμῶν ῥεῦμα πλεῖστον. 17. Ἐκ δὲ τοῦ Καυ- 17
κάσου ἄλλοι τε ῥέουσι πολλοὶ καὶ κατὰ πλῆθος καὶ κατὰ μέγεθος ὑπερβάλλοντες, καὶ ὁ Φᾶσις· ὁ δὲ Καύκασος μέγιστον

enim modo parem corporis molem recipiet), et adscendentem vaporem refrigerant inque aquam rursus convertunt. 14. Quapropter, uti diximus, maximi fluvii ex maximis montibus defluere videntur, quod cuivis patet, qui terrarum circuitus inspiciat: quae enim narrantes suis oculis conspicere non licuit, ea a singulis interrogando descripserunt. 15. Itaque in Asia plurima maximaque flumina de Parnaso qui dicitur monte defluere videntur, qui maximus montium esse videtur versus ortum hibernum sitorum. Quem si quis transgressus est, exterius mare apparet, cuius termini illius regionis incolis non liquent. 16. Ex hoc igitur monte praeter alia flumina et Bactrus et Choaspes et Araxes defluunt, abs quo tamquam particula Tanais abscinditur, qui in Maeotin paludem effunditur. Fluit praeterea Indus ex ipso, omnium amnium maximus. 17. Ex Caucaso praeter alia quaedam tum copia tum magnitudine insignia, etiam Phasis delabitur. Caucasus vero maximus est inter montes versus ortum aestivalem sitos, tam amplitudine quam

ὄρος τῶν πρὸς τὴν ἕω τὴν θερινήν ἐστι καὶ πλήθει καὶ ὕψει.
18 18. Σημεῖον δὲ τοῦ μὲν ὕψους ὅτι ὁρᾶται καὶ ἀπὸ τῶν καλουμένων βαθέων καὶ εἰς τὴν λίμνην εἰσπλεόντων, ἔτι δ' ἡλιοῦται τῆς νυκτὸς αὐτοῦ τὰ ἄκρα μέχρι τοῦ τρίτου μέρους ἀπό τε τῆς ἕω καὶ πάλιν ἀπὸ τῆς ἑσπέρας· τοῦ δὲ πλήθους, ὅτι πολλὰς ἔχον ἕδρας, ἐν αἷς ἔθνη τε κατοικεῖ πολλὰ καὶ λίμνας εἶναί φασι μεγάλας, ἀλλ' ὅμως πάσας τὰς ἕδρας εἶναί φασι
19 φανερὰς μέχρι τῆς ἐσχάτης κορυφῆς. 19. Ἐκ δὲ τῆς Πυρήνης (τοῦτο δ' ἐστὶν ὄρος πρὸς δυσμὴν ἰσημερινὴν ἐν τῇ Κελτικῇ) ῥέουσιν ὅ τε Ἴστρος καὶ ὁ Ταρτησός. οὗτος μὲν οὖν ἔξω στηλῶν, ὁ δ' Ἴστρος δι' ὅλης τῆς Εὐρώπης εἰς τὸν Εὔξεινον πόν-
20 τον. 20. Τῶν δ' ἄλλων ποταμῶν οἱ πλεῖστοι πρὸς ἄρκτον ἐκ τῶν ὀρῶν τῶν Ἀρκυνίων. ταῦτα δὲ καὶ ὕψει καὶ πλήθει μέγιστα περὶ τὸν τόπον τοῦτόν ἐστιν. ὑπ' αὐτὴν δὲ τὴν ἄρκτον ὑπὲρ τῆς ἐσχάτης Σκυθίας αἱ καλούμεναι Ῥῖπαι, περὶ ὧν τοῦ μεγέθους λίαν εἰσὶν οἱ λεγόμενοι λόγοι μυθώδεις· ῥέουσι δ' οὖν οἱ πλεῖστοι καὶ μέγιστοι μετὰ τὸν Ἴστρον τῶν ἄλλων ποταμῶν
21 ἐντεῦθεν, ὡς φασιν. 21. Ὁμοίως δὲ καὶ περὶ τὴν Λιβύην οἱ

altitudine. 18. Et altitudinis quidem indicium est, quod ex loco, qui *βαθέα Πόντου* vocatur, et ab iis cernitur, qui paludem nave intrant: praeterea cacumen eius ad tertiam usque noctis partem inde a mane et rursus inde a vespere a sole illustratur. Amplitudinis vero, quod quamvis multas habeat sedes, in quibus gentes habitant multae, et magnas reperiri paludes contendunt, ad extremum tamen usque cacumen omnes hasce sedes conspicuas esse dicunt. 19. Ex Pyrenaeo autem monte, qui in Celtorum terra versus occasum aequinoctialem situs est, Ister defluunt et Tartessus, quorum posterior extra columnas, Ister vero qui totam perfluit Europam in Euxinum effunditur Pontum. 20. Reliquorum amnium plurimi septentrionem versus ex montibus Hercyniis, qui illius regionis amplissimi et altissimi sunt montes. Sub ipsis autem trionibus, trans extremam Scythiam, Rhipaei qui vocantur montes exsistunt, de quibus valde fabulosae narrationes circumferuntur. Inde igitur plurima et reliquorum, praeter Danubium, maxima

μὲν ἐκ τῶν Αἰθιοπικῶν ὀρῶν ὅ τε Αἰγὼν καὶ ὁ Νύσις, οἱ δὲ μέγιστοι τῶν διωνομασμένων, ὅ τε Χρεμέτης καλούμενος, ὃς εἰς τὴν ἔξω ῥεῖ θάλατταν, καὶ τοῦ Νείλου τὸ ῥεῦμα τὸ πρῶτον, ἐκ τοῦ Ἀργυροῦ καλουμένου ὄρους. 22. Τῶν δὲ περὶ 22
τὸν Ἑλληνικὸν τόπον ὁ μὲν Ἀχελῷος ἐκ Πίνδου, καὶ ὁ Ἴναχος ἐντεῦθεν, ὁ δὲ Στρυμὼν καὶ Νέστος καὶ ὁ Ἕβρος ἅπαντες τρεῖς ἐκ τοῦ Σκόμβρου· πολλὰ δὲ ῥεύματα καὶ ἐκ τῆς Ῥοδόπης ἐστίν. 23. Ὁμοίως δὲ καὶ τοὺς ἄλλους ποταμοὺς εὕροι 23
τις ἂν ῥέοντας· ἀλλὰ μαρτυρίου χάριν τούτους εἴπομεν. ἐπεὶ καὶ ὅσοι αὐτῶν ῥέουσιν ἐξ ἑλῶν, τὰ ἕλη ὑπ' ὄρη κεῖσθαι συμβαίνει πάντα σχεδὸν ἢ τόπους ὑψηλοὺς ἐκ προσαγωγῆς. 24. Ὅτι 24
μὲν οὖν οὐ δεῖ νομίζειν οὕτω γίνεσθαι τὰς ἀρχὰς τῶν ποταμῶν ὡς ἐξ ἀφωρισμένων κοιλιῶν, φανερόν· οὔτε γὰρ ἂν ὁ τόπος ἱκανὸς ἦν ὁ τῆς γῆς ὡς εἰπεῖν, ὥσπερ οὐδ' ὁ τῶν νεφῶν, εἴπερ τὸ ὂν ἔδει ῥεῖν μόνον, ἀλλὰ μὴ τὸ μὲν ἀπήει, τὸ δ' ἐγίνετο, ἀλλ' ἀεὶ δὴ ἀπὸ ὄντος ἐταμιεύετο· 25. Τό τε ὑπὸ τοῖς 25
ὄρεσιν ἔχειν τὰς πηγὰς μαρτυρεῖ διότι τῷ συρρεῖν ἐπ' ὀλίγον

flumina defluere affirmant. 21. Idem in Africa accidit, in qua ex Aethiopiae montibus Aegon et Nysis, maxima vero eorum, quae nomina acceperunt, et Chremetes, qui vocatur et in exterum mare fluit, et Nili principium ex argenteis montibus delabuntur. 22. Eorum vero, quae in Graecia, Achelous ex Pindo, indeque Inachus: Strymon autem et Nestus et Hebrus, omnes tres ex Scombro. Multi praeterea fluvii in Rhodope nascuntur. 23. Neque aliter etiam reliquos amnes aliquis fluentes deprehendat: sed nos exempli gratia hos tantum recensuimus. Si qui enim ex paludibus fluunt, ex eius modi fluunt, quae fere omnes sub montibus aut in locis editis sensimque adsurgentibus sitae sunt. 24. Apparet igitur non ita de fluminum ortibus esse censendum, quasi ex alveis quibusdam definitis nascantur. neque enim terrae locus, ut ita dicam, sufficeret, ut neque nubium, si eam, quae iam exsistit copiam fluere oporteret, neque altera pars defluueret, altera oriretur, sed semper ex ea, quae adesset, dispensatio fieret. 25. Quod item amnes ad montium radices fontes habeant, id ipsum testa-

καὶ κατὰ μικρὸν ἐκ πολλῶν νοτίδων διαδίδωσιν ὁ τόπος καὶ
26 γίνονται οὕτως αἱ πηγαὶ τῶν ποταμῶν. 26. Οὐ μὴν ἀλλὰ
καὶ τοιούτους εἶναι τόπους ἔχοντας πλῆθος ὕδατος, οἷον λί-
μνας, οὐδὲν ἄτοπον, πλὴν οὐ τηλικαύτας, ὥστε τοῦτο συμβαί-
νειν οὐθὲν μᾶλλον, ἢ εἴ τις οἴοιτο τὰς φανερὰς εἶναι πηγὰς
τῶν ποταμῶν· σχεδὸν γὰρ ἐκ κρηνῶν οἱ πλεῖστοι ῥέουσιν.
27 27. Ὅμοιον οὖν τὸ κείνας καὶ τὸ ταύτας νομίζειν εἶναι τὸ
σῶμα τὸ τοῦ ὕδατος πᾶν. ὅτι δ' εἰσὶ τοιαῦτα φάραγγες καὶ
διαστάσεις τῆς γῆς, δηλοῦσιν οἱ καταπινόμενοι τῶν ποταμῶν·
συμβαίνει δὲ τοῦτο πολλαχοῦ τῆς γῆς, οἷον τῆς μὲν Πελο-
28 ποννήσου πλεῖστα τοιαῦτα περὶ τὴν Ἀρκαδίαν ἐστίν. 28. Αἴ-
τιον δὲ διὰ τὸ ὀρεινὴν οὖσαν μὴ ἔχειν ἐκροὰς ἐκ τῶν κοιλιῶν
εἰς θάλατταν· πληρούμενοι γὰρ οἱ τόποι καὶ οὐκ ἔχοντες ἔκρυ-
σιν αὐτοὶ εὑρίσκονται τὴν δίοδον εἰς βάθος, ἀποβιαζομένου
29 τοῦ ἄνωθεν ἐπιόντος ὕδατος. 29. Περὶ μὲν οὖν τὴν Ἑλλάδα
μικρὰ τοιαῦτα παντελῶς ἐστι γινόμενα. ἀλλ' ἥ γε ὑπὸ τὸν Καύ-
κασον λίμνη, ἣν καλοῦσιν οἱ ἐκεῖ θάλατταν, φανερά. αὕτη
γὰρ ποταμῶν πολλῶν καὶ μεγάλων εἰσβαλλόντων οὐκ ἔχουσα

tur, quoniam lacus aquam propterea distribuit, quod tenui quodam fluxu paulatim ex multis guttulis confluit. Atque hoc sane modo amnium fontes oriuntur. 26. Nec tamen absurdum est, eiusmodi esse loca, quae veluti stagna, aquarum multitudinem contineant, quamquam non ea capacitate, ut hoc nihilo magis eveniat, quam si quis fluviorum fontes perspicuos esse arbitretur. Fere enim e fontibus plurimi effluunt. 27. Perinde igitur fuerit hos atque illos universum aquae esse corpus existimare. Terrae autem cavernas eiusmodi esse et hiatus, ea quae absorbentur flumina declarant: quod quidem multis terrae locis accidit, ut in Peloponneso, in Arcadia, plurima huius generis habentur. 28. Cuius rei causa est, quod cum montosa sit, ex alveis in mare effluxum non habet. Repleta enim loca illa neque effluxum habentia, sibi transitum in ima inveniunt, vim afferente aqua ea, quae desuper delabitur. 29. In Hellado sane perpauca omnino huius modi eveniunt. At vero Caucaso monti lacus subiectus est, quem accolae mare nominant. Multorum

ἔκρουν φανερὸν ἐκδίδωσιν ὑπὸ γῆν κατὰ Κοραξούς, περὶ τὰ καλούμενα βάθεα τοῦ Πόντου· ταῦτα δ' ἐστὶν ἄπειρόν τι τῆς θαλάττης βάθος· οὐθεὶς γοῦν πώποτε καθιεὶς ἐδυνήθη πέρας εὑρεῖν. 30. Ταύτῃ δὴ πόρρω τῆς γῆς σχεδὸν περὶ τριακόσια 30 στάδια, πότιμον ἀναδίδωσι ὕδωρ ἐπὶ πολὺν τόπον, οὐ συνεχῇ δέ, ἀλλὰ τρισσαχῇ· καὶ περὶ τὴν Λιγυστικὴν οὐκ ἐλάττων τοῦ Ῥοδανοῦ καταπίνεταί τις ποταμός, καὶ πάλιν ἀναδίδωσι κατ' ἄλλον τόπον· ὁ δὲ Ῥοδανὸς ποταμὸς ναυσιπέρατός ἐστιν.

XIV. Οὐκ ἀεὶ δ' οἱ αὐτοὶ τόποι τῆς γῆς οὔτ' ἔννγροί 1 εἰσιν οὔτε ξηροί, ἀλλὰ μεταβάλλουσι κατὰ τὰς τῶν ποταμῶν γενέσεις καὶ τὰς ἀπολείψεις. διὸ καὶ τὰ περὶ τὴν ἤπειρον μεταβάλλει καὶ τὴν θάλατταν, καὶ οὐκ ἀεὶ τὰ μὲν γῆ τὰ δὲ θάλαττα διατελεῖ πάντα τὸν χρόνον, ἀλλὰ γίνεται θάλαττα μὲν ὅπου χέρσος, ἔνθα δὲ νῦν θάλαττα, πάλιν ἐνταῦθα γῆ. 2. Κατὰ 2 μέντοι τινὰ τάξιν νομίζειν χρὴ ταῦτα γίνεσθαι καὶ περίοδον. ἀρχὴ δὲ τούτων καὶ αἴτιον ὅτι καὶ τῆς γῆς τὰ ἐντός, ὥσπερ τὰ σώματα τὰ τῶν φυτῶν καὶ ζώων ὑγρὸν ἔχει καὶ γῆρας.

enim, qui in ipsum influunt, effluxum manifestum non habens, terram subit, ac per Coraxos erumpit circiter loca Ponti, quae *βαθέα* appellantur. Haec autem immensa quaedam sunt maris altitudo. nullus enim unquam immissus [funis] terminum invenire potuit. 30. Illic igitur longe a terra, trecentis circiter stadiis, dulcis aqua per longum tractum redditur non continenter quidem, sed tribus locis. Quin etiam in Liguria, non minor Rhodano fluvius quidem absorbetur (fluvius autem navigabilis Rhodanus est) et rursus alio in loco emergit.

Cap. XIV. Non semper autem eadem terrae loca aquosa sunt, vel arida, sed pro fluminum ortu ac defectione mutantur. Quamobrem mutatio etiam fit inter continentem et mare, nec semper loca haec terra, illa mare omni tempore permanent. Sed ubi terra erat, nunc mare est, et ubi nunc mare est, rursus erit terra. 2. Quamquam ordine quodam ac periodo fieri ista censendum est. Horum autem principium et causa est, quod terrae interiora, quemadmodum et stirpium et animalium corpora, vigentem statum et senectam habent.

3 3. Πλὴν ἐκείνοις μὲν οὐ κατὰ μέρος ταῦτα συμβαίνει πάσχειν,
ἀλλ' ἅμα πᾶν ἀκμάζειν καὶ φθίνειν ἀναγκαῖον, τῇ δὲ γῇ τοῦτο
4 γίνεται κατὰ μέρος διὰ ψύξιν καὶ θερμότητα. 4. Ταῦτα μὲν
οὖν αὔξεται καὶ φθίνει διὰ τὸν ἥλιον καὶ τὴν περιφοράν, διὰ
δὲ ταῦτα καὶ τὴν δύναμιν τὰ μέρη τῆς γῆς λαμβάνει διαφέ-
ρουσαν, ὥστε μέχρι τινὸς ἔνυδρα δύναται διαμένειν, εἶτα ξη-
ραίνεται καὶ γηράσκει πάλιν· ἕτεροι δὲ τόποι βιώσκονται καὶ
5 ἔνυδροι γίνονται κατὰ μέρος. 5. Ἀνάγκη δὲ τῶν μὲν τόπων
γινομένων ξηροτέρων τὰς πηγὰς ἀφανίζεσθαι, τούτων δὲ συμ-
βαινόντων τοὺς ποταμοὺς πρῶτον μὲν ἐκ μεγάλων μικρούς,
εἶτα τέλος γίνεσθαι ξηρούς, τῶν δὲ ποταμῶν μεθισταμένων
καὶ ἔνθεν μὲν ἀφανιζομένων ἐν ἄλλοις δ' ἀνὰ λόγον γινομέ-
6 νων μεταβάλλειν τὴν θάλατταν. 6. Ὅπου μὲν γὰρ ἐξωθου-
μένη ὑπὸ τῶν ποταμῶν ἐπλεόναζεν ἀπιοῦσα, ξηρὰν ποιεῖν ἀ-
ναγκαῖον, ὅπου δὲ τοῖς ῥεύμασι πληθύνουσα ἐξηραίνετο προσ-
7 χουμένη, πάλιν ἐνταῦθα λιμνάζειν. 7. Ἀλλὰ διὰ τὸ γίνεσθαι
πᾶσαν τὴν φυσικὴν τὴν περὶ γῆν γένεσιν ἐκ προσαγωγῆς καὶ
ἐν χρόνοις παμμήκεσι πρὸς τὴν ἡμετέραν ζωήν, λανθάνει ταῦτα

3. Sed hoc interest, quod illis non per partes eius modi affectus usu veniunt, sed universum simul corpus et vigere et senescere necesse est, terrae autem ob calorem et frigus, per partes hoc evenit. 4. Ac illa quidem vi solis et conversionis augescunt et imminuuntur, ex quibus etiam terrae partes vim differentem accipiunt. Quare ad aliquod usque tempus humida possunt permanere, deinde exsiccantur et rursus senescunt. Alia autem loca reviviscunt, et per partes humida redduntur. 5. Cum autem loca sicciora evadunt, fontes evanescant necesse est: idque cum evenerit, flumina ex ingentibus primum exigua fieri, tum ad extremum siccescere: fluminibus vero loco mutatis, et hic quidem exsiccatis, alibi ratione simili genitis, mare mutari. 6. Eum enim locum, in quo fluminum impulsu redundabat, cum recedit, siccum relinquat necesse est: ubi vero fluxionibus abundans terra adaggerata exsiccatum est, ibi rursus stagnare. 7. Sed quoniam omnis, quae ad terram pertinet generatio, sensim et longissima ad nostram vitam temporum

γινόμενα, καὶ πρότερον ὅλων τῶν ἐθνῶν ἀπώλειαι γίνονται καὶ φθοραὶ πρὶν μνημονευθῆναι τὴν τούτων μεταβολὴν ἐξ ἀρχῆς εἰς τέλος. 8. Μέγισται μὲν οὖν φθοραὶ γίνονται καὶ τάχισται 8
ἐν τοῖς πολέμοις, ἄλλαι δὲ νόσοις, αἱ δ' ἀφορίαις, καὶ ταύταις αἱ μὲν μεγάλαι, αἱ δὲ κατὰ μικρόν, ὥστε λανθάνουσι τῶν γε τοιούτων ἐθνῶν καὶ αἱ μεταναστάσεις διὰ τὸ τοὺς μὲν λείπειν τὰς χώρας, τοὺς δ' ὑπομένειν μέχρι τούτου μέχριπερ ἂν μηκέτι δύνηται τρέφειν ἡ χώρα πλῆθος μηδέν. 9. Ἀπὸ 9
τῆς πρώτης οὖν ὑπολείψεως εἰς τὴν ἐσχάτην εἰκὸς γίνεσθαι χρόνους μακρούς, ὥστε μηθένα μνημονεύειν, ἀλλὰ σωζομένων ἔτι τῶν ὑπομενόντων ἐπιλελῆσθαι διὰ χρόνου πλῆθος. τὸν αὐτὸν δὲ τρόπον χρὴ νομίζειν καὶ τοὺς κατοικισμοὺς λανθάνειν πότε πρῶτον ἐγένοντο τοῖς ἔθνεσιν ἑκάστοις εἰς τὰ μεταβάλλοντα καὶ γινόμενα ξηρὰ ἐξ ἑλωδῶν καὶ ἐνύδρων. 10. Καὶ γὰρ 10
ἐνταῦθα κατὰ μικρὸν ἐν πολλῷ γίνεται χρόνῳ ἡ ἐπίδοσις, ὥστε μὴ μνημονεύειν τίνες πρῶτον καὶ πότε καὶ πῶς ἐχόντων ἦλθον τῶν τόπων, οἷον συμβέβηκε καὶ περὶ τὴν Αἴγυπτον. 11. Καὶ 11

serie efficiatur, fieri hoc nos latet, ac prius integrae gentes perduntur atque intereunt, quam ut horum a principio ad finem mutatio memoria ulla comprehendi possit. 8. Ac maximi quidem et celerrimi interitus in bellis fiunt, alii in morbis victumque penuria et in his alii magni, alii paulatim. Quocirca et huius modi gentium migrationes ignorantur, propterea quod alii regionem deserant, alii eousque permaneant, quod nullam amplius multitudinem alere regio valeat. 9. Inter primam igitur et ultimam migrationem longum temporis spatium intercedat verisimile est: quo quidem fit, ut nemo meminerit: quin si ii, qui remanserunt, superstites vivant, illorum memoria temporis longitudine deleta sit. Eodem modo existimandum est tempus latere, quo inhabitari primum ea loca coeperint, quae mutata fuerunt, et ex aquosis et palustribus arida reddita. 10. Illa enim paulatim multo in tempore ampliantur, ut nulla sit memoria, quinam primi et quo tempore et qua locorum conditione ea intrassent, quemadmodum et in Aegypto evenit. 11. Hic enim locus siccior semper fieri, totaque regio Nili flu-

γὰρ οὗτος ἀεὶ ξηρότερος ὁ τόπος φαίνεται γινόμενος καὶ πᾶσα ἡ χώρα τοῦ ποταμοῦ πρόσχωσις οὖσα τοῦ Νείλου, διὰ δὲ τὸ κατὰ μικρὸν ξηραινομένων τῶν ἑλῶν τοὺς πλησίον εἰσοικίζε-
12 σθαι τὸ τοῦ χρόνου μῆκος ἀφῄρηται τὴν ἀρχήν. 12. Φαίνεται δ' οὖν καὶ τὰ στόματα πάντα, πλὴν ἑνὸς τοῦ Κανωβικοῦ, χειροποίητα καὶ οὐ τοῦ ποταμοῦ ὄντα, καὶ τὸ ἀρχαῖον ἡ Αἴγυπτος Θῆβαι καλούμεναι. δηλοῖ δὲ καὶ Ὅμηρος, οὕτω πρόσφατος ὢν ὡς εἰπεῖν πρὸς τὰς τοιαύτας μεταβολάς. ἐκείνου γὰρ τοῦ τόπου ποιεῖται μνείαν, ὡς οὔπω Μέμφιος οὔσης ἢ
13 ὅλης ἢ οὐ τηλικαύτης. τοῦτο δ' εἰκὸς οὕτω συμβαίνειν· οἱ γὰρ κάτωθεν τόποι τῶν ἄνωθεν ὕστερον ᾠκίσθησαν. 13. Ἑλώδεις γὰρ ἐπὶ πλείω χρόνον ἀναγκαῖον εἶναι τοὺς ἐγγύτερον τῆς προσχώσεως διὰ τὸ λιμνάζειν ἐν τοῖς ἐσχάτοις ἀεὶ μᾶλλον.
14 μεταβάλλει δὲ τοῦτο καὶ πάλιν εὐθηνεῖ. 14. Ξηραινόμενοι γὰρ οἱ τόποι ἔρχονται εἰς τὸ καλῶς ἔχειν, οἱ δὲ πρότερον εὐκραεῖς ὑπερξηραινόμενοι τότε γίνονται χείρους· ὅπερ συμβέβηκε τῆς Ἑλλάδος καὶ περὶ τὴν Ἀργείων καὶ Μυκηναίων χώραν.
15 15. Ἐπὶ μὲν γὰρ τῶν Τρωϊκῶν ἡ μὲν Ἀργεία διὰ τὸ ἑλώδης

minis adluvie videtur concreta. Sed quia paludibus siccescentibus a finitimis paulatim incoli coeperunt, longinquitas temporis initium obliteravit. 12. Itaque ostia omnia uno Canobico excepto manu facta, non fluminis videntur. Quin etiam antiquitus, quae Thebae appellabantur, erat Aegyptus: id quod Homerus etiam docet, qui non adeo multo post eius modi mutationes exstitit. Huius enim loci mentionem facit, tamquam Memphis aut omnino non esset, aut certe non tanta. Hoc vero ita accidisse verisimile est. Humilia enim loca posterius, quam edita incoli coeperunt. 13. Quandoquidem necesse est ea loca, quae concretioni ex alluvie propiora sunt, cum in extremis semper locis magis stagnent, diutius palustria remanere. 14. Id autem mutatur et rursus in melius evadit: quippe cum in meliorem statum ea, quae exsiccantur loca redigantur, et quae prius temperata erant, cum nimis siccescant, deteriora fiant. Quod Graeciae, Argivorum Mycenaeorumque regioni contigit. 15. Troicis enim temporibus Argiva, propterea quod palustris

εἶναι ὀλίγους ἐδύνατο τρέφειν, ἡ δὲ Μυκηναία καλῶς εἶχεν (διὸ ἐντιμοτέρα ἦν), νῦν δὲ τοὐναντίον διὰ τὴν εἰρημένην αἰτίαν. ἡ μὲν γὰρ ἀργὴ γέγονε καὶ ξηρὰ πάμπαν, τῆς δὲ τὰ τότε διὰ τὸ λιμνάζειν ἀργὰ νῦν χρήσιμα γέγονεν. 16. Ὥσπερ 16
οὖν ἐπὶ τούτου τοῦ τόπου συμβέβηκεν ὄντος μικροῦ, ταὐτὸ δεῖ νομίζειν τοῦτο συμβαίνειν καὶ περὶ μεγάλους τόπους καὶ χώρας ὅλας. 17. Οἱ μὲν οὖν βλέποντες ἐπὶ μικρὸν αἰτίαν 17
οἴονται τῶν τοιούτων εἶναι παθημάτων τὴν τοῦ ὅλου μεταβολὴν ὡς γινομένου τοῦ οὐρανοῦ. διὸ καὶ τὴν θάλατταν ἐλάττω γίνεσθαί φασιν ὡς ξηραινομένην, ὅτι πλείους φαίνονται τόποι τοῦτο πεπονθότες νῦν ἢ πρότερον. 18. Ἔστι δὲ τούτων τὸ 18
μὲν ἀληθὲς τὸ δ' οὐκ ἀληθές· πλείους μὲν γάρ εἰσιν οἱ πρότερον ἔνυδροι, νῦν δὲ χερσεύοντες, οὐ μὴν ἀλλὰ καὶ τοὐναντίον· πολλαχῇ γὰρ σκοποῦντες εὑρήσουσιν ἐπελήλυθυῖαν τὴν θάλατταν. 19. Ἀλλὰ τούτου τὴν αἰτίαν οὐ τὴν τοῦ κόσμου 19
γένεσιν οἴεσθαι χρή· γελοῖον γὰρ διὰ μικρὰς καὶ ἀκαριαίας μεταβολὰς κινεῖν τὸ πᾶν, ὁ δὲ τῆς γῆς ὄγκος καὶ τὸ μέγεθος

esset, paucos alere poterat, Mycenaea vero bene affecta erat, ob eamque causam in maiori pretio habebatur. Nunc autem contrarium evenit ob eam quam diximus causam. 16. Illa enim sterilis facta est, et prorsus sicca. Huius vero, quae tunc quia stagnabant, sterilia erant, utilia nunc reddita sunt. 16. Quod igitur parvo illo in loco accidit, idem et in magnis locis, et integris regionibus evenire putandum est. 17. Qui igitur parum considerant, universi mutationem, quasi coelum ortum sit, harum affectionum causam esse arbitrantur. Quamobrem mare etiam quasi exsiccetur imminui inquiunt, quod plura nunc, quam antea, ita affecta loca cernantur. 18. Est autem hoc partim quidem verum, partim falsum. Complura enim sunt, quae cum ante aquosa essent, continenti nunc terra gaudent: sed contra etiam res habet. Qui enim animadvertunt, multis in locis effusum mare deprehendent. 19. Cuius rei causam mundi ortum arbitrari non debemus. Ridiculum enim est, ob parvas levesque mutationes universum mutare. Moles autem ac magnitudo terrae, nihil certe est ad

20 οὐθέν ἐστι δή που πρὸς τὸν ὅλον οὐρανόν. 20. Ἀλλὰ πάντων τούτων αἴτιον ὑποληπτέον, ὅτι γίνεται διὰ χρόνων εἱμαρμένων, οἷον ἐν ταῖς κατ' ἐνιαυτὸν ὥραις χειμιών, οὕτω περιόδου
21 τινὸς μεγάλης μέγας χειμιὼν καὶ ὑπερβολὴ ὄμβρων. 21. Αὕτη δ' οὐκ ἀεὶ κατὰ τοὺς αὐτοὺς τόπους, ἀλλ' ὥσπερ ὁ καλούμενος ἐπὶ Δευκαλίωνος κατακλυσμός· καὶ γὰρ οὗτος περὶ τὸν Ἑλληνικὸν ἐγένετο μάλιστα τόπον, καὶ τούτου περὶ τὴν Ἑλ-
22 λάδα τὴν ἀρχαίαν. 22. Αὕτη δ' ἐστὶν ἡ περὶ Δωδώνην καὶ τὸν Ἀχελῷον· οὗτος γὰρ πολλαχοῦ τὸ ῥεῦμα μεταβέβληκεν· ᾤκουν γὰρ οἱ Σελλοὶ ἐνταῦθα καὶ οἱ καλούμενοι τότε μὲν
23 Γραικοί, νῦν δ' Ἕλληνες. 23. Ὅταν οὖν δὴ γένηται τοιαύτη ὑπερβολὴ ὄμβρων, νομίζειν χρὴ ἐπὶ πολὺν χρόνον διαρκεῖν, καὶ ὥσπερ νῦν τοῦ τοὺς μὲν ἀενάους εἶναι τῶν ποταμῶν, τοὺς δὲ μή, οἱ μέν φασιν αἴτιον εἶναι τὸ μέγεθος τῶν ὑψηλῶν τόπων καὶ τὴν πυκνότητα καὶ ψυχρότητα αὐτῶν (οὗτοι γὰρ πλεῖστον καὶ δέχονται ὕδωρ καὶ στέγουσι καὶ ποιοῦσιν. ὅσοις δὲ μικραὶ αἱ ἐπικεκράμεναι συστάσεις τῶν ὀρῶν ἢ σομφαὶ καὶ λιθώδεις καὶ ἀργιλώδεις, τούτους δεῖ προαπολείπειν), οὕτως

universum caelum. 20. Sed horum omnium causam censere debemus, quod per tempora fato constituta, uti hiems anniversariis temporibus, ita magno quodam temporum circuitu hiems magna fiat immensaque aquarum pluvia. 21. Et illa quidem non in iisdem semper locis, sed talis qualis eluvio, quae Deucalionis nominatur. Haec enim per Graeciam potissimum pervasit, atque adeo per veterem illam Graeciam. 22. Haec circa Dodonem et Acheloum sita est; quo saepenumero cursum mutavit. Ibi enim Selli habitabant et qui Graeci appellabantur, nunc autem Hellenes. 23. Cum igitur eius modi imbrium vis magna fuerit, censenda est in multum tempus sufficere. Et quemadmodum quod alia flumina perennia sint, alia non sint, alii quidem antrorum subterraneorum vastitatem causam esse inquiunt, nos vero editorum locorum magnitudinem eorumque densitatem et frigus (quandoquidem illi plurimum aquae et excipiunt et continent et gignunt, et quibus montes exigui aut fungosi et lapidei atque argilosi

οἴεσθαι δεῖ τότε, ἐν οἷς ἂν γένηται ἡ τοιαύτη τοῦ ὑγροῦ φορὰ οἷον ἀενάους ποιεῖν τὰς ὑγρότητας τῶν τόπων μᾶλλον. 24. Τῷ χρόνῳ δὲ ταῦτα ξηραίνεται [γινόμενα] μᾶλλον, θάτερα δ' ἐλάττω [τὰ ἔρυδρα], ἕως ἂν ἔλθῃ πάλιν ἡ καταβολὴ τῆς περιόδου τῆς αὐτῆς. 25. Ἐπεὶ δ' ἀνάγκη τοῦ ὅλου γίνεσθαι μέν τινα μεταβολήν, μὴ μέντοι γένεσιν καὶ φθοράν, εἴπερ μένει τὸ πᾶν, ἀνάγκη, καθάπερ ἡμεῖς λέγομεν, μὴ τοὺς αὐτοὺς ἀεὶ τόπους ὑγρούς τ' εἶναι θαλάττῃ καὶ ποταμοῖς καὶ ξηρούς. δηλοῖ δὲ τὸ γινόμενον. 26. Οὓς γάρ φαμεν ἀρχαιοτάτους εἶναι τῶν ἀνθρώπων Αἰγυπτίους, τούτων ἡ χώρα πᾶσα γεγονυῖα φαίνεται καὶ οὖσα τοῦ ποταμοῦ ἔργον. καὶ τοῦτο κατά τε τὴν χώραν αὐτῶν ὁρῶντι δῆλόν ἐστι καὶ τὰ περὶ τὴν ἐρυθρὰν θάλατταν τεκμήριον ἱκανόν. 27. Ταύτην γὰρ τῶν βασιλέων τις ἐπειράθη διορύττειν (οὐ γὰρ μικρὰς εἶχεν ἂν αὐτοῖς ὠφελείας πλωτὸς ἅπας ὁ τόπος γενόμενος· λέγεται δὲ πρῶτος Σέσωστρις ἐπιχειρῆσαι τῶν παλαιῶν), ἀλλ' εὗρεν ὑψηλοτέραν οὖσαν τὴν θάλατταν τῆς γῆς· διὸ ἐκεῖνός τε πρότερον καὶ Δαρεῖος ὕστερον ἐπαύσατο διορύττων, ὅπως μὴ διαφθαρῇ

suspensi sunt, eos prius deficere necesse est), ita putandum est, in quae loca ea aquarum copia ceciderit, eam illorum humores veluti perennes efficere. 24. Haec autem tempore magis siccescere cernuntur: illa, quandoquidem aquosa sunt, minus, quoad eiusdem circuitus constitutio redierit. 25. Quoniam autem necesse est, universi quandam mutationem fieri, non tamen ortum et interitum, siquidem universum permanet, idcirco oportet, quemadmodum diximus, non eadem semper loca mari, et fluminibus humida esse et sicca. Id quod eventu indicatur. 26. Aegyptiorum enim, quos hominum vetustissimos esse dicimus, regio omnis facta ac fluminis opus videtur, idque regionem ipsam intuenti perspicuum est, atque etiam ex mari rubro coniici satis potest. 27. Hoc enim rex quidam perfodere tentavit, propterea quod totus ille tractus navigabilis redditus, magnas illi attulisset utilitates. Primus autem veterum Sesostris agressus id fuisse fertur. Sed mare terra altius invenit. Quocirca ille primum, tum Darius fodere destitit, ne admixto

28 τὸ ῥεῦμα τοῦ ποταμοῦ συμμιγείσης τῆς θαλάττης. 28. Φανερὸν οὖν ὅτι θάλαττα πάντα μία ταῦτα συνεχὴς ἦν. διὸ καὶ τὰ περὶ τὴν Λιβύην τὴν Ἀμμωνίαν χώραν ταπεινότερα φαίνεται καὶ κοιλότερα παρὰ λόγον τῆς κάτωθεν χώρας· δῆλον γὰρ ὡς ἐγχώσεως μὲν γενομένης ἐγένοντο λίμνη καὶ χέρσος, χρόνου δὲ γενομένου τὸ ἐναπολειφθὲν καὶ λιμνάσαν ὕδωρ ξηρανθέν ἐστιν
29 ἤδη φρυῦδον. 29. Ἀλλὰ μὴν καὶ τὰ περὶ τὴν Μαιῶτιν λίμνην ἐπιδέδωκε τῇ προσχώσει τῶν ποταμῶν τοσοῦτον, ὥστε πολλῷ ἐλάττω μεγέθει πλοῖα νῦν εἰσπλεῖν πρὸς τὴν ἐργασίαν ἢ ἔτος ἑξηκοστόν· ὥστ' ἐκ τούτου ῥᾴδιον ἀναλογίσασθαι ὅτι καὶ τὸ πρῶτον, ὥσπερ αἱ πολλαὶ τῶν λιμνῶν, καὶ αὕτη ἔργον ἐστὶ τῶν ποταμῶν, καὶ τὸ τελευταῖον πᾶσαν ἀνάγκη γενέσθαι
30 ξηράν. 30. Ἔτι δ' ὁ Βόσπορος ἀεὶ μὲν ῥεῖ διὰ τὸ προσχοῦσθαι, καὶ ἔστιν ἔτι ταῦτα καὶ τοῖς ὄμμασιν ἰδεῖν ὅν τινα συμβαίνει τρόπον· ὅτε γὰρ ἀπὸ τῆς Ἀσίας ἠόνα ποιήσειεν ὁ ῥοῦς, τὸ ὀπίσθεν λίμνη ἐγίνετο μικρὰ τὸ πρῶτον, εἶτ' ἐξηράνθη, μετὰ δὲ τοῦτο ἄλλη ἀπὸ ταύτης ἠὼν καὶ λίμνη ἀπ' αὐτῆς. καὶ τοῦτο ἀεὶ οὕτω συνέβαινεν ὁμοίως· τούτου δὲ γι-

mari fluminis fluxus corrumperetur. 28. Palam igitur est, omnia haec mare unum continuum fuisse. Quod etiam causa est, cur Ammonia Africae regio demissior, et magis cava, quam inferioris tractus ratio postulat. Constat enim adaggeratione veluti facta stagna et terram exstitisse, ac procedente tempore aquam eam, quae intercepta fuerat et stagnaverat, exsiccatam iam prorsus evanuisse. 29. Quin etiam ad Maeoticam paludem tanta accessio, fluviorum adaggeratione facta est, ut multo minora navigia lucri gratia illam nunc ingrediantur, quam sexaginta abhinc annos: quocirca ex hac ipsa re facile est ratione colligere, illam ut multos quoque alios, fluminum opus initio fuisse, ac tandem necesse esse, ut universus exsiccetur. 30. Praeterea et Bosporus semper quidem fluit ob adaggerationem, idque ipsis quoque oculis quoniam pacto factum sit, licet perspicere. Cum enim fluxus ex Asia littus efficeret, id quod a tergo remanebat, lacus primum exiguus fiebat, deinde exsiccabatur: post vero, ex eo aliud littus et lacus exsistebat: idque ad hunc

νομένου πολλάκις ἀνάγκη προϊόντος τοῦ χρόνου ὥσπερ ποταμὸν γενέσθαι, τέλος δὲ καὶ τοῦτον ξηρόν. 31. Φανερὸν τοί- 31
νυν, ἐπεὶ ὅ τε χρόνος οὐχ ὑπολείπει καὶ τὸ ὅλον ἀΐδιον, ὅτι οὔτε ὁ Τάναϊς ποταμὸς οὔτε ὁ Νεῖλος ἀεὶ ἔρρει, ἀλλ' ἦν ποτὲ ξηρὸς ὁ τόπος ὅθεν ῥέουσι· τὸ γὰρ ἔργον ἔχει αὐτῶν πέρας, ὁ δὲ χρόνος οὐκ ἔχει. ὁμοίως δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁρμόσει ποταμῶν λέγειν. 32. Ἀλλὰ μὴν εἴπερ οἱ ποταμοὶ 32
γίνονται καὶ φθείρονται καὶ μὴ ἀεὶ οἱ αὐτοὶ τόποι τῆς γῆς ἔνυδροι καὶ τὴν θαλάττην ἀνάγκη μεταβάλλειν ὁμοίως· τῆς δὲ θαλάττης τὰ μὲν ἀπολειπούσης τὰ δ' ἐπιούσης ἀεὶ φανερὸν ὅτι τῆς πάσης γῆς οὐκ ἀεὶ τὰ αὐτὰ τὰ μέν ἐστι θάλαττα, τὰ δ' ἤπειρος, ἀλλὰ μεταβάλλει τῷ χρόνῳ πάντα. 33. Διότι μὲν 33
οὖν οὐκ ἀεὶ ταὐτὰ οὔτε χερσεύεται τῆς γῆς οὔτε πλωτά ἐστι, καὶ διὰ τίν' αἰτίαν ταῦτα συμβαίνει εἴρηται· ὁμοίως δὲ καὶ διὰ τί οἱ μὲν ἀέναοι, οἱ δ' οὔ τῶν ποταμῶν εἰσίν.

modum semper evenit. Hoc autem saepius facto necesse est temporis progressu, veluti flumen evadere, quod tandem etiam exsiccabitur. 31. Quoniam igitur neque tempus unquam desinit et universum sempiternum est, constat neque Tanaim, neque Nilum semper defluxisse, sed locum unde fluunt aliquando siccum fuisse. Eorum enim opus terminum habet, tempus non habet. Eodem autem modo et de aliis fluminibus dicere convenit. 32. Atque si flumina oriuntur et intereunt nec eadem semper loca humecta sunt et aquosa, mare identidem mutetur necesse est. Cumque mare alia loca semper deserat, alia invadat, perspicuum est, non easdem universae terrae partes, semper alias mare esse, alias continentem, verum tempore omnia mutari. 33. Quam igitur ob causam non eaedem semper terrae partes aut siccae sunt aut navigabiles, eodemque modo cur fluminum alia perennia sint, alia non sint, dictum est.

ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ Β.

—p. 353, a. Bekker— —p. 338, F. Casaub.—

1 I. Περὶ δὲ θαλάττης, καὶ τίς ἡ φύσις αὐτῆς, καὶ διὰ
τίν' αἰτίαν ἁλμυρὸν τοσοῦτόν ἐστιν ὕδατος πλῆθος, ἔτι δὲ
2 περὶ τῆς ἐξ ἀρχῆς γενέσεως λέγωμεν. 2. Οἱ μὲν οὖν ἀρχαῖοι
καὶ διατρίβοντες περὶ τὰς θεολογίας ποιοῦσιν αὐτῆς πηγάς, ὡς
αὐτοῖς ὦσιν ἀρχαὶ καὶ ῥίζαι γῆς καὶ θαλάττης· τραγικώτερον
γὰρ οὕτω καὶ σεμνότερον ὑπέλαβον ἴσως εἶναι τὸ λεγόμενον,
ὡς μέγα τι τοῦ παντὸς τοῦτο μόριον ὄν· καὶ τὸν λοιπὸν οὐ-
ρανὸν ὅλον περὶ τοῦτον συστῆναι τὸν τόπον καὶ τούτου χάριν,
3 ὡς ὄντα τιμιώτατον καὶ ἀρχήν. 3. Οἱ δὲ σοφώτεροι τὴν ἀν-
θρωπίνην σοφίαν ποιοῦσιν αὐτῆς γένεσιν· εἶναι γὰρ τὸ πρῶ-
τον ὑγρὸν ἅπαντα τὸν περὶ τὴν γῆν τόπον, ὑπὸ δὲ τοῦ ἡλίου
ξηραινόμενον τὸ μὲν διατμίσαν πνεύματα καὶ τροπὰς ἡλίου

Cap. I. De mari, quae sit eius natura, et quam ob causam tanta aquae copia sit salsa, praetereaque de prima eius generatione disseramus. 2. Itaque veteres illi, qui divina tractavere, fontes illi tribuunt, ut sibi essent initia radicesque terrae marisque. Sic enim tragicae dignitati propius magisque venerandum, quod dicerent, esse arbitrabantur, tamquam universi illud non exigua esset particula: omnemque mundi reliquam partem hunc ambire locum, quem eius rei gratia dignissimum et quasi principium quoddam censebant. 3. Qui vero humani sapientia magis sunt versati, generationem eius faciunt: fuisse enim primitus humidum omnem circa terram locum, a sole vero exsiccatum, et a vaporibus flatus, solisque et lunae con-

καὶ σελήνης φασὶ ποιεῖν, τὸ δὲ λειφθὲν θάλαττταν εἶναι· διὸ καὶ ἐλάττω γίνεσθαι ξηραινομένην οἴονται καὶ τέλος ἔσεσθαί ποτε πᾶσαν ξηράν. 4. Ἔνιοι δ' αὐτῶν θερμαινομένης φασὶν 4 ὑπὸ τοῦ ἡλίου τῆς γῆς οἷον ἱδρῶτα γίνεσθαι, διὸ καὶ ἁλμυρὰν εἶναι· καὶ γὰρ ὁ ἱδρὼς ἁλμυρός. 5. Οἱ δὲ τῆς ἁλμυρότητος 5 αἰτίαν τὴν γῆν εἶναί φασιν· καθάπερ γὰρ τὸ διὰ τῆς τέφρας ἠθούμενον ἁλμυρὸν γίνεται, τὸν αὐτὸν τρόπον καὶ ταύτην ἁλμυρὰν εἶναι μιχθείσης αὐτῇ τοιαύτης γῆς. ὅτι μὲν οὖν πηγὰς θαλάττης ἀδύνατον εἶναι διὰ τῶν ὑπαρχόντων ἤδη θεωρεῖν δεῖ. 6. Τῶν γὰρ περὶ τὴν γῆν ὑδάτων τὰ μὲν ῥυτὰ τυγχάνει ὄντα 6 τὰ δὲ στάσιμα. τὰ μὲν οὖν ῥυτὰ πάντα πηγαῖα· περὶ δὲ τῶν πηγῶν εἰρήκαμεν πρότερον, ὅτι δεῖ νοεῖν οὐχ ὥσπερ ἐξ ἀγγείου ταμιευόμενον τὴν ἀρχὴν εἶναι πηγήν, ἀλλ' εἰς ἓν ἀεὶ γινόμενον καὶ συρρέον ἁπαντᾷ πρώτην. 7. Τῶν δὲ στασίμων τὰ μὲν 7 συλλογιμαῖα καὶ ὑποστάσεις, οἷον τὰ τελμιατιαῖα καὶ ὅσα λιμνώδη, πλήθει καὶ ὀλιγότητι διαφέροντα, τὰ δὲ πηγαῖα. ταῦτα δὲ πάντα χειρόκμητα, λέγω δ' οἷον τὰ φρεατιαῖα καλούμενα·

versiones provocatos esse dicunt: quod reliquum sit, mare esse. Quocirca etiam diminui opinantur et exsiccari, ita ut tota denique sicca sit futura. 4. Quorum etiam nonnulli terrae a sole calefactae quasi sudorem esse censent, quapropter etiam salsa sit: sudor enim salsus. 5. Alii autem salsedinis causam terram esse perhibent. Quemadmodum enim, quae per cineres colatur aqua salsa fiat, ita mare quoque salsum esse volunt propter admixtam sibi eius modi terram. Mare autem fontes habere non posse, iam patet ex iis, quae hucusque disseruimus. 6. Aquae enim, quae circa terram deprehenduntur, aut fluunt, aut stagnant, quarum illae, quae fluunt, omnes ex fontibus manant, quos supra diximus intelligendos esse tamquam principia, ex quibus non uti ex vase aqua promatur, sed in quae primum ea aqua, quae continuo fit et confluit, concurrat. 7. Stagnantium aquarum aliae sunt collectitiae ac subsidentes, quales sunt paludosae omnes et lacustres, copia maiore vel minore differentes, aliae fontanae eaeque omnes arte factae, scilicet quae putcales nuncupantur. Omnium enim fontes, unde fluunt, in editiore

8 πάντων γὰρ ἀνωτέρω δεῖ τὴν πηγὴν εἶναι τῆς ῥύσεως. 8. Διὸ τὰ μὲν αὐτόματα ῥεῖ τὰ κρηναῖα καὶ ποταμιαῖα, ταῦτα δὲ τέχνης προσδεῖται τῆς ἐργασομένης. αἱ μὲν οὖν διαφοραὶ τοιαῦ-
9 ται καὶ τοσαῦται τῶν ὑδάτων. 9. Τούτων δ' οὕτω διωρισμέ-νων ἀδύνατον πηγὰς εἶναι τῆς θαλάττης· ἐν οὐδετέρῳ γὰρ τούτων οἷόν τ' εἶναι τῶν γενῶν αὐτήν. οὔτε γὰρ ἀπόρρυτός ἐστιν οὔτε χειροποίητος, τὰ δὲ πηγαῖα πάντα τούτων θάτερον πέπονθεν· αὐτόματον δὲ στάσιμον τοσοῦτον πλῆθος οὐδὲν ὁ-
10 ρῶμεν πηγαῖον γινόμενον. 10. Ἔτι δ' ἐπεὶ πλείους εἰσὶ θάλατται πρὸς ἀλλήλας οὐ συμμιγνύουσαι κατ' οὐδένα τόπον, ὧν ἡ μὲν ἐρυθρὰ φαίνεται κατὰ μικρὸν κοινωνοῦσα πρὸς τὴν ἔξω στηλῶν θάλατταν, ἡ δ' Ὑρκανία καὶ Κασπία κεχωρισμέ-ναι τε ταύτης καὶ περιοικούμεναι κύκλῳ, ὥστ' οὐκ ἂν ἐλάν-
11 θανον αἱ πηγαί, εἰ κατά τινα τόπον αὐτῶν ἦσαν. 11. Ῥέουσα δ' ἡ θάλαττα φαίνεται κατὰ τὰς στενότητας, εἴ που διὰ τὴν περιέχουσαν γῆν εἰς μικρὸν ἐκ μεγάλου συνάγεται πελάγους διὰ τὸ ταλαντεύεσθαι δεῦρο κἀκεῖσε πολλάκις· τοῦτο δ' ἐν μὲν πολλῷ πλήθει θαλάττης ἄδηλον. ᾗ δὲ διὰ τὴν στενότητα τῆς

quodam loco sint necesse est. 8. Quamobrem aliae sponte sua fluunt, ut fontanae et fluviatiles, aliae manu egent artifice. Tot igitur talesque aquarum sunt differentiae. 9. Quibus omnibus hac ratione definitis, impossibile est, maris esse fontes: nulli enim harum aquarum generi potest accenseri, cum neque effluidum sit, neque manu factum, omnesque fontanae aquae alterutrum patiantur. Quae autem sponte sua exsistat stagnantem aquam tantae copiae nullam ex fonte manare videmus. 10. Quibus accedit, quod praeterea plura sunt maria inter se nulla parte cohaerentia, quorum rubrum quidem videtur paululum communicare cum mari extra columnas sito, Hyrcanum vero et Caspium et ab hoc prorsus distincta ac segregata et circumcirca undequaque habitata sunt, ita ut si quo in loco ipsorum existerent fontes, minime latere potuissent. 11. Videtur autem fluere mare in angustiis, si qua ob terrae ambientis viciniam ex alto in fretum coartatur, cum ultro citroque saepenumero libretur. Quod in aperto mari observari nequit, ubi

γῆς ὀλίγον ἐπέχει τόπον, ἀναγκαῖον τὴν ἐν τῷ πελάγει μικρὰν ταλάντωσιν ἐκεῖ φαίνεσθαι μεγάλην. 12. Ἡ δ' ἐντὸς Ἡρα- 12
κλείων στηλῶν ἅπασα κατὰ τὴν τῆς γῆς κοιλότητα ῥεῖ, καὶ τῶν ποταμιῶν τὸ πλῆθος· ἡ μὲν γὰρ Μαιῶτις εἰς τὸν Πόντον ῥεῖ, οὗτος δ' εἰς τὸν Αἰγαῖον. πάντα δ' ἤδη τὰ τούτων ἔξω πελάγη ἧττον ποιεῖ τοῦτ' ἐπιδήλως. 13. Ἐκείνοις δὲ διά 13
τε τὸ τῶν ποταμιῶν πλῆθος συμβαίνει τοῦτο (πλείους γὰρ εἰς τὸν Εὔξεινον ῥέουσι ποταμοὶ καὶ τὴν Μαιῶτιν ἢ τὴν πολλαπλασίαν χώραν αὐτῆς) καὶ διὰ τὴν βραχύτητα τοῦ βάθους· ἀεὶ γὰρ βαθυτέρα φαίνεται οὖσα ἡ θάλαττα, καὶ τῆς μὲν Μαιωτίδος ὁ Πόντος, τούτου δ' Αἰγαῖος, τοῦ δ' Αἰγαίου ὁ Σικελικός· ὁ δὲ Σικελικὸς καὶ Τυρρηνικὸς βαθύτατοι πάντων. 14. Τὰ δ' ἔξω στηλῶν βραχέα μὲν διὰ τὸν πηλόν, ἄπνοα δ' 14
ἐστὶν ὡς ἔν κοίλῳ τῆς θαλάττης οὔσης. ὥσπερ οὖν καὶ κατὰ μέρος ἐκ τῶν ὑψηλῶν οἱ ποταμοὶ φαίνονται ῥέοντες, οὕτω καὶ τῆς ὅλης γῆς ἐκ τῶν ὑψηλοτέρων τῶν πρὸς ἄρκτον τὸ ῥεῦμα γίνεται τὸ πλεῖστον. ὥστε τὰ μὲν διὰ τὴν ἔκχυσιν οὐ βαθέα,

vero propter terrae angustias exiguum locum occupat, necesse est, quae in alto parva sit libratio valida ibi appareat. 12. Omne autem intra Herculis columnas mare fluviorumque copia ad cavas terrae regiones defluunt. Maeotis enim in Pontum influit: is in Aegaeum: in caeteris maribus hisce exterioribus minus hoc apparet. 13. In illis vero accidit cum propter amnium copiam (plures enim in Euxini et Maeotidis littoribus fluviorum sunt ostia, quam in reliquae terrae oris, quamvis multo maioribus), tum propter exiguam altitudinem: semper enim altius altiusque videtur esse mare: et Maeotide Pontus, et hoc Aegaeum et Aegaeo Siculum: omniumque denique profundissima sunt Sardoum et Tyrrhenum. 14. Quae extra columnas sita sunt ea minime quidem alta propter lutum, sed absque ventorum spiramine, quasi in ima maris parte sita. Sicuti igitur in parvis accidit, ut fluvii de editioribus in profundiora fluere videantur, ita omnino maximum tota in terra flumen ex altioribus versus septentrionem regionibus defluit ita, ut haec quidem propter effusionem minime profunda, exteriora autem maria

15 τὰ δ' ἔξω πελάγη βαθέα μᾶλλον. 15. Περὶ δὲ τοῦ τὰ πρὸς ἄρκτον εἶναι τῆς γῆς ὑψηλὰ σημεῖόν τι καὶ τὸ πολλοὺς πεισθῆναι τῶν ἀρχαίων μετεορολόγων τὸν ἥλιον μὴ φέρεσθαι ὑπὸ γῆν, ἀλλὰ περὶ γῆν καὶ τὸν τόπον τοῦτον, ἀφανίζεσθαι δὲ καὶ ποιεῖν νύκτα διὰ τὸ ὑψηλὴν εἶναι πρὸς ἄρκτον τὴν
16 γῆν. 16. Ὅτι μὲν οὖν οὔτε πηγὰς οἷόν τ' εἶναι τῆς θαλάττης, καὶ διὰ τίν' αἰτίαν οὕτω φαίνεται ῥέουσα, τοιαῦτα καὶ τοσαῦθ' ἡμῖν εἰρήσθω.

1 II. Περὶ δὲ τῆς γενέσεως αὐτῆς, εἰ γέγονε, καὶ τοῦ χυμοῦ τίς ἡ αἰτία τῆς ἁλμυρότητος καὶ πικρότητος λεκτέον. Ἡ μὲν
2 οὖν αἰτία ἡ ποιήσασα τοὺς πρότερον οἴεσθαι τὴν θάλατταν ἀρχὴν εἶναι καὶ σῶμα τοῦ παντὸς ὕδατος ἥδ' ἐστίν. 2. Δόξειε γὰρ ἂν εὔλογον εἶναι, καθάπερ καὶ τῶν ἄλλων στοιχείων ἐστὶν ἠθροισμένος ὄγκος καὶ ἀρχὴ διὰ τὸ πλῆθος, ὅθεν μεταβάλλει τε μεριζόμενον καὶ μίγνυται τοῖς ἄλλοις, οἷον πυρὸς μὲν ἐν τοῖς ἄνω τόποις, ἀέρος δὲ πλῆθος τὸ μετὰ τὸν τοῦ πυρὸς τόπον, γῆς δὲ σῶμα περὶ ὃ ταῦτα πάντα κεῖται φανερῶς, ὥστε

magis profunda sint. 15. Ea autem, quae boream versus sita sunt loca alta esse indicium quoddam etiam illud est, quod veteres meteorologi persuasi erant solem non infra terram, sed circa terram et hunc quidem locum ferri, evanescere autem noctemque efficere idcirco, quia versus boream terra edita sit. 16. Itaque talia et tot nobis dicta sint, ut probemus nullos maris existere posse fontes et qua propter fluminis instar fluere videatur.

Cap. II. De eius autem ortu, si ortum est, et de sapore, quae salsedinis et amaritudinis causa sit, dicendum est. Causa quidem, quae veteres adduxit, ut mare universae aquae principium et corpus esse existimarent, haec est. 2. Nam consentaneum videri potest, quoddam totius aquae corpus esse, quemadmodum et aliorum elementorum moles est coagmentata et principium ob copiam, unde distributa mutatur et aliis admiscetur, ut ignis quidem in supero loco, aëris autem copia in eo, qui est citra ignem, terrae corpus id, circa quod omnia haec manifesto sunt posita. Ex quo constat eadem ratione de aqua

δῆλον ὅτι κατὰ τὸν αὐτὸν λόγον καὶ περὶ ὕδατος ἀνάγκη ζητεῖν. 3. Τοιοῦτον δ' οὐδὲν ἄλλο φαίνεται σῶμα κείμενον ἀ 3
θρόον, ὥσπερ τῶν ἄλλων στοιχείων, πλὴν τὸ τῆς θαλάττης μέγεθος· τὸ γὰρ τῶν ποταμῶν οὔτ' ἀθρόον, οὔτε στάσιμον, ἀλλ' ὡς γινόμενον ἀεὶ φαίνεται καθ' ἡμέραν. 4. Ἐκ ταύτης 4
δὴ τῆς ἀπορίας καὶ ἀρχὴ τῶν ὑγρῶν ἔδοξεν εἶναι καὶ τοῦ παντὸς ὕδατος ἡ θάλαττα. διὸ καὶ τοὺς ποταμοὺς οὐ μόνον εἰς ταύτην, ἀλλὰ καὶ ἐκ ταύτης φασί τινες ῥεῖν· διηθούμενον γὰρ γίνεσθαι τὸ ἁλμυρὸν πότιμον ἀντίκειται δ' ἑτέρα πρὸς ταύτην τὴν δόξαν ἀπορία, τί δή ποτ' οὐκ ἔστι τὸ συνεστὸς ὕδωρ τοῦτο πότιμον, εἴπερ ἀρχὴ τοῦ παντός ἐστιν ὕδατος, ἀλλ' ἁλμυρόν; τὸ δ' αἴτιον ἅμα ταύτης τε τῆς ἀπορίας λύσις ἔσται, καὶ περὶ θαλάττης τὴν πρώτην λαβεῖν ὑπόληψιν ἀναγκαῖον ὀρθῶς 5. Τοῦ γὰρ ὕδατος περὶ τὴν γῆν περιτεταμένου, 5
καθάπερ περὶ τοῦτο ἡ τοῦ ἀέρος σφαῖρα καὶ περὶ ταύτην ἡ λεγομένη πυρός (τοῦτο γάρ ἐστι πάντων ἔσχατον εἶθ' ὡς οἱ πλεῖστοι λέγουσιν εἶθ' ὡς ἡμεῖς), φερομένου δὲ τοῦ ἡλίου τοῦτον τὸν τρόπον, καὶ διὰ ταῦτα τῆς μεταβολῆς καὶ γενέσεως τε

etiam necessario esse inquirendum. 3. Nullam autem tale aliud collectum corpus praeter maris vastitatem, ut caeterorum elementorum, positum videtur. Amnium enim aqua nec collecta est, nec manet, sed veluti quotidie denuo genita apparet. 4. Mare igitur humidorum et totius aquae principium esse ob hanc dubitationem visum est. Quocirca et flumina non tantum in ipsum, sed ex ipso quoque fluere, nonnulli aiunt. Quod enim salsum est, si coletur, fieri potabile. Huic autem dubitationi altera opponitur, quid tandem causae sit, cur aqua haec simul stans potabilis non sit, sed salsa: siquidem totius aquae principium est. Causa autem simul et huius dubitationis solutio erit et efficiet, ut primam de mari propositionem recte procul dubio sumamus. 5. Cum enim aqua circa terram, quemadmodum et circa eam aëris orbis et circa hunc is, qui ignis dicitur, obtendatur (hic enim omnium extremus, sive ut plurimi perhibent, sive ut nos), Sol autem hoc modo feratur, ob eamque causam mutatio existat et ortus atque interitus, id quod

καὶ φθορᾶς οὔσης, τὸ μὲν λεπτότατόν τε καὶ γλυκύτατον ἀνάγεται καθ' ἑκάστην ἡμέραν καὶ φέρεται διακρινόμενον καὶ ἀτμίζον εἰς τὸν ἄνω τόπον, ἐκεῖ δὲ πάλιν συστὰν διὰ τὴν ψύξιν
6 κάτω φέρεται πάλιν πρὸς τὴν γῆν. 6. Καὶ τοῦτ' ἀεὶ βούλεται ποιεῖν ἡ φύσις οὕτω, καθάπερ εἴρηται πρότερον. διὸ καὶ γελῶσι πάντες ὅσοι τῶν πρότερον ὑπέλαβον τὸν ἥλιον τρέφε-
7 σθαι τῷ ὑγρῷ. 7. Καὶ διὰ τοῦτ' ἔνιοί γέ φασι καὶ ποιεῖσθαι τὰς τροπὰς αὐτόν· οὐ γὰρ ἀεὶ τοὺς αὐτοὺς δύνασθαι τόπους παρασκευάζειν αὐτῷ τὴν τροφήν. ἀναγκαῖον δ' εἶναι τοῦτο
8 συμβαίνειν περὶ αὐτὸν ἢ φθείρεσθαι. 8. Καὶ γὰρ τὸ φανερὸν πῦρ, ἕως ἂν ἔχῃ τροφήν, μέχρι τούτου ζῇν, τὸ δ' ὑγρὸν τῷ πυρὶ τροφὴν εἶναι μόνον, ὥσπερ ἀφικνούμενον μέχρι πρὸς τὸν ἥλιον τὸ ἀναγόμενον τοῦ ὑγροῦ, ἢ τὴν ἄνοδον τοιαύτην οὖσαν οἵανπερ τῇ γινομένῃ φλογί, δι' ἧς τὸ εἰκὸς λαβόντες οὕτω
9 καὶ περὶ τοῦ ἡλίου ὑπέλαβον. 9. Τὸ δ' οὐκ ἔστιν ὅμοιον, ἡ μὲν γὰρ φλὸξ διὰ συνεχοῦς ὑγροῦ καὶ ξηροῦ μεταβαλλόντων. γίνεται καὶ οὐ τρέφεται (οὐ γὰρ ἡ αὐτὴ οὖσα διαμένει οὐδένα χρόνον ὡς εἰπεῖν), περὶ δὲ τὸν ἥλιον ἀδύνατον τοῦτο

tenuissimum est et dulcissimum quotidie effertur, secernique et in vaporem mutatum superiora petere videtur. Illic autem rursus ob frigus concretum ad terram iterum defertur. 6. Idque natura hoc modo perpetuo fieri, ut antea dictum est, instituit. Quocirca omnes illi veteres ridendi sunt, quotquot Solem humore ali existimarunt. 7. Quam etiam ob causam eorum nonnulli aiunt illius fieri conversiones. Non enim eadem loca posse ei perpetuo alimentum suppeditare, necessarium autem esse, aut hoc contingere, aut eum interire. 8. Siquidem et ignis hic conspicuus tantisper vivit, dum alimentum suppetit. Humorem vero solum igni esse alimentum, quasi omnis qui attollitur humor ad solem usque pertingat, aut adscensus talis sit, qualis ad flammam, quae gignitur, ex qua cum similitudinem duxissent, ita de sole existimarunt. 9. Sed non est simile. Flamma enim ex humoris et siccitatis perpetua commutatione gignitur, non aliter: quippe quae nullo, ut ita dicam, tempore eadem maneat, quod in sole contingere nequit. Nam si sol eo

συμβαίνειν, ἐπεὶ τρεφομένου γε τὸν αὐτὸν τρόπον, ὥσπερ ἐκεῖνοί φασι, δῆλον ὅτι καὶ ὁ ἥλιος οὐ μόνον καθάπερ ὁ Ἡράκλειτός φησι, νέος ἐφ' ἡμέρῃ ἐστίν, ἀλλ' ἀεὶ νέος συνεχῶς. 10. Ἔτι δ' ἡ ὑπὸ ἡλίου ἀναγωγὴ τοῦ ὑγροῦ ὁμοία τοῖς θερ- 10
μαινομένοις ὕδασίν ἐστιν ὑπὸ πυρός. εἰ οὖν μηδὲ τὸ ὑποκαόμενον τρέφεται πῦρ, οὐδὲ τὸν ἥλιον εἰκὸς ἦν ὑπολαβεῖν, οὐδ' εἰ πᾶν θερμαῖνον ἐξατμίσειε τὸ ὕδωρ. 11. Ἄτοπον δὲ καὶ 11
τὸ μόνον φροντίσαι τοῦ ἡλίου, τῶν δ' ἄλλων ἄστρων παριδεῖν αὐτοὺς τὴν σωτηρίαν, τοσούτων καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος ὄντων. τὸ δ' αὐτὸ συμβαίνει καὶ τούτοις ἄλογον καὶ τοῖς φάσκουσι τὸ πρῶτον ὑγρᾶς οὔσης καὶ τῆς γῆς, καὶ τοῦ κόσμου τοῦ περὶ τὴν γῆν ὑπὸ τοῦ ἡλίου θερμαινένου ἀέρα γενέσθαι καὶ τὸν ὅλον οὐρανὸν αὐξηθῆναι, καὶ τοῦτον πνεύματά τε παρέχεσθαι καὶ τὰς τροπὰς αὐτοῦ ποιεῖν. 12. Φανερῶς γὰρ 12
ἀεὶ τὸ ἀναχθὲν ὁρῶμεν καταβαῖνον πάλιν ὕδωρ· κἂν μὴ κατ' ἐνιαυτὸν ἀποδιδῷ καὶ καθ' ἑκάστην ὁμοίως χώραν, ἀλλ' ἔν γέ τισι τεταγμένοις χρόνοις ἀποδίδωσι πᾶν τὸ ληφθέν, ὡς οὔτε τρεφομένων τῶν ἄνωθεν, οὔτε τοῦ μὲν μένοντος ἀέρος ἤδη

modo, quo illi aiunt, alitur, constat eum non solum (ut Heraclitus dicit) quotidie iuvenem esse, sed perpetuo ac continenter iuvenem. 10. Humorem praeterea per solem educi simile est ac quando aquae ab igne incalescunt. Si igitur incensus ignis non alitur, ne solem quoque ali verisimile est existimare, etiam si totam aquam calefaciundo in vaporem converteret. 11. Absurdum vero etiam est, solius Solis sollicitudinem habere, aliorum autem siderum conservationem contemnere, quae et multitudine et magnitudine tanta sint. Idem autem his evenit et illis, qui aiunt, cum terra principio humida esset, et mundus terram ambiens incalesceret a Sole, aërem genitum fuisse, totumque caelum crevisse, ac eundem flatus praebere, et illius conversiones efficere. 12. Id enim omne, quod ex aqua sublatum est, rursus semper descendere perspicue cernimus. Ac, si non similiter annis singulis et in quavis regione, quibusdam tamen definitis temporibus totum id, quod sublatum est, redditur, quod nec supera ex eo alantur, nec partim quidem aër post

μετὰ τὴν γένεσιν, τοῦ δὲ γινομένου καὶ φθειρομένου πάλιν εἰς
ὕδωρ, ἀλλ' ὁμοίως ἅπαντος διαλυομένου καὶ συνισταμένου πά-
13 λιν εἰς ὕδωρ. 13. Τὸ μὲν οὖν πότιμον καὶ γλυκὺ διὰ κουφό-
τητα πᾶν ἀνάγεται, τὸ δ' ἁλμυρὸν ὑπομένει διὰ βάρος οὐκ
ἐν τῷ αὐτοῦ οἰκείῳ τόπῳ· τοῦτο γὰρ οἰητέον ἀπορηθῆναί τε
προσηκόντως (ἄλογον γὰρ εἰ μή τίς ἐστι τόπος ὕδατος ὥσπερ
τῶν ἄλλων στοιχείων) καὶ ταύτην εἶναι λύσιν· ὃν γὰρ ὁρῶμεν
κατέχουσαν τόπον τὴν θάλατταν, οὗτος οὐκ ἔστι θαλάττης
14 ἀλλὰ μᾶλλον ὕδατος. 14. Φαίνεται δὲ θαλάττης, ὅτι τὸ μὲν
ἁλμυρὸν ὑπομένει διὰ τὸ βάρος, τὸ δὲ γλυκὺ καὶ πότιμον ἀ-
νάγεται διὰ τὴν κουφότητα, καθάπερ ἐν τοῖς τῶν ζῴων σώ-
μασιν. καὶ γὰρ ἐν τούτοις τῆς τροφῆς εἰσελθούσης γλυκείας
ἢ τῆς ὑγρᾶς τροφῆς ὑπόστασις καὶ τὸ περίττωμα φαίνεται πι-
κρὸν ὂν καὶ ἁλμυρόν· τὸ γὰρ γλυκὺ καὶ πότιμον ὑπὸ τῆς ἐμ-
φύτου θερμότητος ἑλκυσθὲν εἰς τὰς σάρκας καὶ τὴν ἄλλην
15 σύνταξιν ἦλθε τῶν μερῶν, ὡς ἕκαστον πέφυκεν. 15. Ὥσπερ
οὖν κἀκεῖ ἄτοπον, εἴ τις τῆς ποτίμου τροφῆς μὴ νομίζοι τόπον
εἶναι τὴν κοιλίαν, ὅτι ταχέως ἀφανίζεται, ἀλλὰ τοῦ περιττώ-

generationem remaneat, partim vero gignatur et in aquam rursus intereat, sed universus similiter dissolvatur, et in aquam rursus concrescat. 13. Itaque quod potabile est et dulce, universum ob levitatem attollitur: quod autem salsum est, prae pondere subsidit, non in suo ipsius proprio loco. Etenim existimandum est, de hoc recte dubitatum esse (absurdum namque est, nisi aliquis aquae, ut caeterorum elementorum sit locus) atque hanc esse solutionem. Is enim locus, quo contineri mare cernimus, maris non est, sed potius aquae. 14. Maris autem videtur, propterea quod pars salsa subsidit prae pondere, dulcis vero ac potabilis ob levitatem attollitur, perinde atque in animalium corporibus, in quibus cum dulce alimentum ingestum est, alimenti humidi sedimentum atque excrementum amarum salsumque cernitur. Pars enim dulcis et potabilis a calore innato attracta in carnes aliarumque partium constitutionem abit, pro cuiusque illarum natura. 15. Quemadmodum igitur illic, si quis censuerit, ventrem potabilis alimenti, propterea quod

ματος, ὅτι τοῦθ' ὁρᾷ ὑπομένον, οὐκ ἂν ὑπολαμβάνοι καλῶς, ὁμοίως δὲ καὶ ἐν τούτοις. ἔστι γάρ, ὥσπερ λέγομεν, οὗτος ὁ τόπος ὕδατος. 16. Διὸ καὶ οἱ ποταμοὶ ῥέουσιν εἰς αὐτὸν ἅ- 16
παντες καὶ πᾶν τὸ γινόμενον ὕδωρ· εἷς τε γὰρ τὸ κοιλότατον ἡ φύσις καὶ ἡ θάλαττα τὸν τοιοῦτον ἐπέχει τῆς γῆς τόπον. ἀλλὰ τὸ μὲν ἀναφέρεται ταχὺ διὰ τὸν ἥλιον ἅπαν, τὸ δ' ὑπο-
λείπεται διὰ τὴν εἰρημένην αἰτίαν. 17. Τὸ δὲ ζητεῖν τὴν ἀρ- 17
χαίαν ἀπορίαν, διὰ τί τοσοῦτον πλῆθος ὕδατος οὐδαμοῦ φαί-
νεται (καθ' ἑκάστην γὰρ ἡμέραν ποταμῶν ῥεόντων ἀναριθμή-
των καὶ τὸ μέγεθος ἁπλέτων οὐθὲν ἡ θάλαττα γίνεται πλείων),
τοῦτο οὐθὲν μὲν ἄτοπον ἀπορῆσαί τινας, οὐ μὴν ἀποβλέψαντί
γε χαλεπὸν ἰδεῖν. 18. Τὸ γὰρ αὐτὸ πλῆθος ὕδατος εἰς πλά- 18
τος τε διαταθὲν καὶ ἀθρόον οὐκ ἐν ἴσῳ χρόνῳ ἀναξηραίνεται,
ἀλλὰ διαφέρει τοσοῦτον, ὥστε τὸ μὲν διαμείναι ἂν ὅλην τὴν
ἡμέραν, τὸ δ' ὥσπερ εἴ τις ἐπὶ τράπεζαν μεγάλην περιτείνειεν
ὕδατος κύαθον, ἅμα διανοουμένοις ἂν ἀφανισθείη πᾶν. 19. Ὃ 19
δὴ καὶ περὶ τοὺς ποταμοὺς συμβαίνει· συνεχῶς γὰρ ῥεόντων

cito evanescat, locum non esse, sed excrementi, quia subsidere illud videat, non recte censuerit, sic et in his. Est enim (ut diximus) aquae hic locus. 16. Quapropter et flumina in eum omnia influunt et omnis etiam aqua, quae gignitur. In id enim, quod maxime cavum, fluxio est: talemque terrae locum mare obtinet. Sed alia pars universa a sole celeriter attollitur, alia relinquitur ob eam, quae dicta est, causam. 17. Veterem autem illam dubitationem afferre, cur tanta aquae copia nusquam appareat, quando innumeris vastae magnitudinis fluviis, quotidie in mare influentibus, nihilo amplius cernitur: hanc inquam aliquos dubitationem afferre, absurdum quidem non est, sed tamen difficile non est eum, qui consideraverit, perspicere. 18. Eadem enim aquae copia, quae in latitudinem expansa sit, et quae simul collecta non aequali tempore resiccatur, sed usque adeo differt, ut haec quidem integrum diem permaneat, altera, perinde ac si quis aquae cyathum super magnam mensam effuderit, simul atque id cogitaverimus, tota evanescat. 19. Id quod in fluminibus quoque accidit. Illis enim continenter collectim

ἀθρόων ἀεὶ τὸ ἀφικνούμενον εἰς ἀχανῆ καὶ πλατὺν τόπον ἀναξηραίνεται ταχὺ καὶ ἀδήλως. τὸ δ' ἐν τῷ Φαίδωνι γεγραμμένον περί τε τῶν ποταμῶν καὶ τῆς θαλάττης ἀδύνατόν ἐστιν.
20 20. Λέγεται γάρ, ὡς ἅπαντα μὲν εἰς ἄλληλα συντέτρηται ὑπὸ γῆν, ἀρχὴ δὲ πάντων εἴη καὶ πηγὴ τῶν ὑδάτων ὁ καλούμενος Τάρταρος, περὶ τὸ μέσου ὕδατός τι πλῆθος, ἐξ οὗ καὶ τὰ ῥέοντα καὶ τὰ μὴ ῥέοντα ἀναδίδωσι πάντα· τὴν δ' ἐπίρρυσιν ποιεῖν ἐφ' ἕκαστα τῶν ῥευμάτων διὰ τὸ σαλεύειν ἀεὶ τὸ πρῶτον καὶ τὴν ἀρχήν· οὐκ ἔχειν γὰρ ἕδραν, ἀλλ' ἀεὶ περὶ τὸ μέ-
21 σον εἱλεῖσθαι. 21. Κινούμενον δ' ἄνω καὶ κάτω ποιεῖν τὴν ἐπίχυσιν τοῖς ῥεύμασιν. τὰ δὲ πολλαχοῦ μὲν λιμνάζειν, οἵαν καὶ τὴν παρ' ἡμῖν εἶναι θάλασσαν, πάντα δὲ πάλιν κύκλῳ περιάγειν εἰς τὴν ἀρχήν, ὅθεν ἤρξαντο ῥεῖν, πολλὰ μὲν καὶ κατὰ τὸν αὐτὸν τόπον, τὰ δὲ καὶ καταντικρὺ τῇ θέσει τῆς ἐκροῆς, οἷον εἰ ῥεῖν ἤρξαντο κάτωθεν, ἄνωθεν εἰσβάλλειν. εἶναι δὲ μέχρι τοῦ μέσου τὴν κάθεσιν· τὸ γὰρ λοιπὸν πρὸς ἄνωτες ἤδη πᾶσιν εἶναι τὴν φοράν. τοὺς δὲ χυμοὺς καὶ χρόας
22 ἴσχειν τὸ ὕδωρ δι' οἵας ἂν τύχωσι ῥέοντα γῆς. 22. Συμβαίνει

fluentibus, id, quod in vastum latumque locum pervenit, cito semper atque occulte exsiccatur. Illud autem fieri non potest, quod de fluminibus et mari in Phaedone scriptum est. 20. Mutuis enim ista meatibus inter se sub terra concurrere dicitur, principiumque et fontem aquarum omnium id esse, quod Tartarus nominatur, quaedam videlicet aquae copia in medio posita, e quo tam fluentes amnes, quam non fluentes reddantur. In singulos autem fluvios influxum fieri, propterea quod primum atque principium agitetur. Non enim sedem, in qua consistat, habere, sed circa medium perpetuo revolvi. 21. Nonnullos autem multis in locis stagnare, veluti apud nos mare est. Rursus omnes principium, e quo fluere coeperunt, in orbem repetere, multos quidem per eundem locum, aliquos vero, per eum qui adversum illi locum obtineat, o quo effluxerunt, ut si ex infero loco fluere coeperit in supero influere. Esse autem descensum usque ad medium. Reliquum enim omnem cursum omnibus iam ascensum esse. Sapores etiam et colores aquam

δὲ τοὺς ποταμοὺς ῥεῖν οὐκ ἐπὶ ταὐτὸν ἀεὶ κατὰ τὸν λόγον τοῦτον· ἐπεὶ γὰρ εἰς τὸ μέσον εἰσρέουσιν, ἀφ' οὗπερ ἐκρέουσιν, οὐθὲν μᾶλλον ῥευσοῦνται κάτωθεν ἢ ἄνωθεν, ἀλλ' ἐφ' ὁπότερ' ἂν ῥέψῃ κυμαίνων ὁ Τάρταρος. καίτοι τούτου συμβαίνοντος γένοιτ' ἂν τὸ λεγόμενον ἄνω ποταμῶν. ὅπερ ἀδύνατον. 23. Ἔτι δὲ τὸ γινόμενον ὕδωρ καὶ τὸ πάλιν ἀνα- 23
γόμενον πόθεν ἔσται; τοῦτο γὰρ ἐξαίρειν ὅλον ἀναγκαῖον, εἴπερ ἀεὶ σώζεται τὸ ἴσον. ὅσον γὰρ ἔξω ῥεῖ, πάλιν ῥεῖ πρὸς τὴν ἀρχήν. καίτοι πάντες οἱ ποταμοὶ φαίνονται τελευτῶντες εἰς τὴν θάλατταν, ὅσοι μὴ εἰς ἀλλήλους· εἰς δὲ τὴν γῆν οὐθείς, ἀλλὰ κἂν ἀφανισθῇ, πάλιν ἀναδύνουσιν. 24. Μέγαλοι 24
δὲ γίνονται τῶν ποταμῶν οἱ μακρὰν ῥέοντες διὰ κοίλης· πολλῶν γὰρ δέχονται ῥεύματα ποταμῶν, ὑποτεμνόμενοι τῷ τόπῳ καὶ τῷ μήκει τὰς ὁδούς. διόπερ ὅ τ' Ἴστρος καὶ ὁ Νεῖλος μέγιστοι τῶν ποταμῶν εἰσὶ τῶν εἰς τήνδε τὴν θάλατταν ἐξιόντων. 25. Καὶ περὶ τῶν πηγῶν ἄλλοι λέγουσιν ἑκάστου τῶν ποταμῶν 25
ἄλλας αἰτίας διὰ τὸ πολλοὺς εἰς τὸν αὐτὸν ἐμβάλλειν. ταῦτα

contrahere pro terrae, per quam fluere contigerit, natura. 22. Sed hac ratione efficitur, ut flumina eodem non semper fluant. Quum enim in medium influunt, ex quo effluunt, ex infero nihilo magis fluent, quam ex supero, sed utramlibet in partem exaestuans Tartarus delapsus fuerit. Atque si hoc accideret, id eveniret, quod dicitur Sursum flumina, quod fieri nequit. 23. Illa item, quae oritur aqua et quae rursus attollitur, undenam erit? hanc enim universam tolli necesse est, siquidem aequalis semper servatur, propterea quod quantum effluit, tantundem ad principium refluit. Atqui et flumina omnia, quotquot non in alia sese immittunt, desinere in mare cernimus, in terram autem nullum, ac si qui occultentur, rursus emergere. 24. Illa autem ingentia sunt, quae longo tractu per cavum defluunt. Multorum enim amnium fluxus excipiunt, loco et longitudine eorum cursibus interceptis. Quam ob causam Danubius et Nilus fluminum eorum, quae in hoc mare illabuntur, maxima sunt. 25. Ac de cuiusque fluminis fontibus alii alias reddunt causas, propterea quod multa in idem confluant. Constat igitur nihil horum fieri

δὴ πάντα φανερὸν ὡς ἀδύνατόν ἐστι συμβαίνειν ἄλλως τε καὶ
26 τῆς θαλάττης ἐκεῖθεν τὴν ἀρχὴν ἐχούσης. 26. Ὅτι μὲν οὖν
ὕδατός τε ὁ τόπος ἐστὶν οὗτος καὶ οὐ θαλάττης, καὶ διὰ τίν'
αἰτίαν τὸ μὲν πότιμον ἄδηλον πλὴν ῥέον, τὸ δ' ὑπομένει, καὶ
διότι τελευτὴ μᾶλλον ὕδατος ἡ ἀρχή ἐστιν ἡ θάλαττα, καθάπερ τὸ ἐν τοῖς σώμασι περίττωμα τῆς τροφῆς πάσης, καὶ μάλιστα τὸ τῆς ὑγρᾶς, εἰρήσθω τοσαῦθ' ἡμῖν.

1 III. Περὶ δὲ τῆς ἁλμυρότητος αὐτῆς λεκτέον, καὶ πότερον ἀεί ἐστιν ἡ αὐτή, ἢ οὔτ' ἦν οὔτ' ἔσται ἀλλ' ὑπολείψει·
2 καὶ γὰρ οὕτως οἴονταί τινες. 2. Τοῦτο μὲν οὖν ἐοίκασι πάντες ὁμολογεῖν, ὅτι γένονεν, εἴπερ καὶ πᾶς ὁ κόσμος· ἅμα γὰρ αὐτῆς ποιοῦσι τὴν γένεσιν. ὥστε δῆλον ὡς εἴπερ ἀΐδιον τὸ
3 πᾶν, καὶ περὶ τῆς θαλάττης οὕτως ὑπολητέον. 3. Τὸ δὲ νομίζειν ἐλάττω τε γίνεσθαι τὸ πλῆθος, ὥσπερ φησὶ Δημόκριτος, καὶ τέλος ὑπολείψειν, τῶν Αἰσώπου μύθων οὐθὲν διαφέρειν ἔοικεν ὁ πεπεισμένος οὕτως· καὶ γὰρ ἐκεῖνος ἐμυθολόγησεν ὡς δὶς μὲν ἡ Χάρυβδις ἀναρροφήσασα τὸ μὲν πρῶτον τὰ ὄρη ἐποίησε φανερά, τὸ δὲ δεύτερον τὰς νήσους, τὸ δὲ

posse, mari praesertim originem inde ducente. 26. Hunc ergo locum aquae esse et non maris, et quamobrem pars potabilis praeter eam, quae fluit, occulta sit, alia vero pars maneat, cur item mare aquae potius sit finis, quam principium, non secus ac in corporibus totius alimenti, sed humidi potissimum excrementum, hucusque a nobis traditum sit.

Cap. III. De eius autem salsedine et utrum perpetuum sit, an nec fuerit aliquando, nec futurum sit, sed defecturum, dicendum est. hoc enim modo nonnulli sentiunt. 2. Omnes quidem genitum esse videntur fateri, siquidem et mundum universum: simul namque eius ortum faciunt. Quare constat, si universum sempiternum est, non aliter de mari existimari posse. 3. Censere autem ipsum, ut Democritus ait, decrescere et ad extremum defecturum: ita, inquam, aliquem sibi persuadere, nihil ab Aesopi fabulis videtur differre. Nam et ille fabulatus est Charybdim, cum bis aquas exsorbuisset, primum quidem montes manifestos fecisse, deinde insulas, demum, ubi exsorbuerit, terram omnino

τελευταῖον ῥοφήσασα ξηρὰν ποιήσει πάμπαν. 4. Ἐκείνῳ μὲν 4
οὖν ἥρμοττεν ὀργιζομένῳ πρὸς τὸν πορθμέα τοιοῦτον εἰπεῖν
μῦθον, τοῖς δὲ τὴν ἀλήθειαν ζητοῦσιν ἧττον· δι' ἣν γὰρ αἰ-
τίαν ἔμεινε τὸ πρῶτον, εἴτε διὰ βάρος, ὥσπερ τινὲς καὶ τού-
των φασίν (ἐν προχείρῳ γὰρ τούτου τὴν αἰτίαν ἰδεῖν), εἴτε
καὶ δι' ἄλλο τι,* δῆλον ὅτι διὰ τοῦτο διαμένειν ἀναγκαῖον καὶ
τὸν λοιπὸν χρόνον αὐτήν. 5. Ἢ γὰρ λεκτέον αὐτοῖς ὅτι οὐδὲ 5
τὸ ἀναχθὲν ὕδωρ ὑπὸ τοῦ ἡλίου ἥξει πάλιν, ἢ εἴπερ τοῦτ'
ἔσται, ἀναγκαῖον ἤτοι ἀεὶ ἢ μέχρις οὗπερ ἂν ᾖ τοῦτο ὑπολεί-
πεσθαι τὴν θάλατταν, καὶ πάλιν ἀναχθῆναι ἐκεῖνό πρότερον
δεήσει τὸ πότιμον. ὥστε οὐδέποτε ξηρανεῖται· πάλιν γὰρ ἐκεῖνο
φθήσεται καταβὰν εἰς τὴν αὐτὴν τὸ προανελθόν· διαφέρει
γὰρ οὐθὲν ἅπαξ τοῦτ' εἰπεῖν ἢ πολλάκις. 6. Εἰ μὲν οὖν τὸν 6
ἥλιον παύσει τις τῆς φορᾶς, τί ἔσται τὸ ξηραῖνον; εἰ δ' ἐάσει
εἶναι τὴν περιφοράν, ἀεὶ πλησιάζων τὸ πότιμον, καθάπερ εἴ-
πομεν, ἀνάξει, ἀφήσει δὲ πάλιν ἀποχωρῶν. 7. Ἔλαβον δὲ 7
ταύτην τὴν διάνοιαν κατὰ τῆς θαλάττης ἐκ τοῦ πολλοὺς τό-
πους φαίνεσθαι ξηροτέρους νῦν ἢ πρότερον· περὶ οὗ τὴν αἰτίαν

aridam effecturam. 4. Sed Aesopum in portitorem iratum eius modi fabulam comminisci non dedecebat: eos autem, qui veritatem inquirunt, non item. Quam enim cunque ob causam prius permansit, sive propter pondus, ut nonnulli aiunt, (facile enim est huius rei causam perspicere) seu ob aliud quidpiam, id constat, necessarium esse, ut reliquum quoque tempus ob eandem permaneat. 5. Aut enim iis dicendum est, aquam a sole sublatam non rursus delatum iri, aut si deferetur, necesse esse, vel semper, vel quoad hoc fuerit, mare permaneat, illudque potabile sursum prius iterum attollatur. Quare nunquam exsiccabitur: quod enim antea adscenderat, in idem descendet, quippe cum nihil intersit, hoc semel fieri an multoties dicamus. 6. Quod si solem quiescere quis statuat, quid erit quod exsiccet? Sin vero convertere arbitretur, id quod potabile est accessu suo, quemadmodum diximus, perpetuo evehet dimittetque rursus decessu. 7. Hanc autem opinionem de mari proposuerunt, quod plura nunc, quam antea sicciora loca apparent: cuius rei

εἴπομεν, ὅτι τῶν κατά τινα χρόνον ὑπερβολῶν γινομένων ὕδατος τοῦτ' ἐστι τὸ πάθος, ἀλλ' οὐ διὰ τὴν τοῦ παντὸς γένε-
8 σιν καὶ τῶν μορίων. 8. Καὶ πάλιν γ' ἔσται τοὐναντίον· καὶ ὅταν γένηται, ξηρανεῖται πάλιν· καὶ τοῦθ' οὕτω κατὰ κύκλον ἀναγκαῖον ἀεὶ βαδίζειν· μᾶλλον γὰρ οὕτως εὔλογον ὑπολαβεῖν ἢ διὰ ταῦτα τὸν οὐρανὸν ὅλον μεταβάλλειν. • ἀλλὰ περὶ μὲν
9 τούτων πλείω τῆς ἀξίας ἐνδιατέτριφεν ὁ λόγος. 9. Περὶ δὲ τῆς ἁλμυρότητος, τοῖς μὲν ἅπαξ γεννήσασι καὶ ὅλως αὐτὴν γεννῶσιν ἀδύνατόν ἐστιν ἁλμυρὰν ποιεῖν. εἴτε γὰρ ἅπαντος τοῦ ὑγροῦ τοῦ περὶ τὴν γῆν ὄντος καὶ ἀναχθέντος ὑπὸ τοῦ ἡλίου τὸ ὑπολειφθὲν γέγονε θάλαττα, εἶτ' ἐνυπῆρχε τοσοῦτος χυμὸς ἐν τῷ πολλῷ ὕδατι καὶ γλυκεῖ διὰ τὸ συμμιχθῆναί τινα γῆν τοιαύτην, οὐθὲν ἧττον ἐλθόντος πάλιν τοῦ διατμίσαντος ὕδατος ἀνάγκη, ἴσου γ' ὄντος τοῦ πλήθους, καὶ τὸ πρῶτον·
10 ἢ εἰ μηδὲ τὸ πρῶτον, μηδ' ὕστερον ἁλμυρὰν αὐτὴν εἶναι. 10. Εἰ δὲ καὶ τὸ πρῶτον εὐθὺς ἦν, λεκτέον τίς ἡ αἰτία, καὶ ἅμα διὰ τί οὐκ εἰ καὶ τότε ἀνήχθη καὶ νῦν πάσχει ταὐτό. ἀλλὰ μὴν

causam attulimus, eam videlicet affectionem, certo quodam tempore imbrium et aquae ingenti copia excitata exsistere, haud vero ob universi et partium eius ortum. 8. Ac rursus contrarium fiet, idque cum fuerit, exsiccatum rursus iri, hocque modo in orbem necessario id commeare. Rationi enim magis consonum est ita putare, quam ob haec totum caelum mutari. Sed in his quidem diutius, quam par erat, oratio institit. 9. Quod autem ad salsedinem attinet, ii, qui semel, aut omnino id generant, salsum statuere non possunt. Nam seu illius, qui terram ambibat, deinde a sole sublatus est, humoris residuum mare dicendum est, seu tantus sapor in multa et dulci aqua insitus erat, propter talis cuiusdam terrae admixtionem, ipsum profecto necesse est, aqua illa, quae in vaporem conversa erat, rursus adveniente, cum par sit quantitas, primum quoque fuerit: aut si non primum, non etiam post salsum esse futurum. 10. Quodsi a principio fuit, dicendum erat, quae causa fuerat, simulque quamobrem, si tum sublata erat, idem nunc non fiat. Atqui et quotquot terram salsedinis causam perhibent

καὶ ὅσοιτὴν γῆν αἰτιῶνται τῆς ἁλμυρότητος ἐμμιγνυμένην (ἔχειν γάρ φασι πολλοὺς χυμοὺς αὐτήν, ὥσθ' ὑπὸ τῶν ποταμῶν συγκαταφερομένην διὰ τὴν μῖξιν ποιεῖν ἁλμυράν), ἄτοπον τὸ μὴ καὶ τοὺς ποταμοὺς ἁλμυροὺς εἶναι. 11. Πῶς γὰρ δυνατὸν 11
ἐν πολλῷ μὲν πλήθει ὕδατος ἐπίδηλον οὕτω ποιεῖν τὴν μῖξιν τῆς τοιαύτης γῆς, ἐν ἑκάστῳ δὲ μή; δῆλον γὰρ, ὅτι ἡ θάλαττά ἐστιν ἅπαν τὸ ποτάμιον ὕδωρ· οὐθενὶ γὰρ διέφερεν ἀλλ' ἢ τῷ ἁλμυρὰ εἶναι τῶν ποταμῶν· τοῦτο δ' ἐν ἐκείνοις ἔρχεται εἰς τὸν τόπον εἰς ὃν ἀθρόοι ῥέουσιν. 12. Ὁμοίως δὲ 12
γελοῖον καὶ εἴ τις εἰπὼν ἱδρῶτα τῆς γῆς εἶναι τὴν θάλατταν οἴεταί τι σαφὲς εἰρηκέναι, καθάπερ Ἐμπεδοκλῆς· πρὸς ποίησιν μὲν γὰρ οὕτως εἰπὼν ἴσως εἴρηκεν ἱκανῶς (ἡ γὰρ μεταφορὰ ποιητικόν), πρὸς δὲ τὸ γνῶναι τὴν φύσιν οὐχ ἱκανῶς. 13. Οὐδὲ γὰρ ἐνταῦθα δῆλον πῶς ἐκ γλυκέος τοῦ πόματος 13
ἁλμυρὸς γίνεται ὁ ἱδρώς, πότερον ἀπελθόντος τινὸς μόνον οἷον τοῦ γλυκυτάτου, ἢ συμμιχθέντος τινός, καθάπερ ἐν τοῖς διὰ τῆς τέφρας ἠθουμένοις ὕδασιν. φαίνεται δὲ τὸ αἴτιον ταὐτὸ καὶ περὶ τὸ εἰς τὴν κύστιν περίττωμα συλλεγόμενον· καὶ γὰρ

esse, (admixta enim cum sit, multos sapores habere dicunt, ita ut a fluminibus delata ob admixtionem salsum efficiat), ii absurdi sunt, si flumina quoque salsa non censent. 11. Quo pacto enim in multa aquae copia, terrae eius modi admixtio conspicua esse potest, in singulis autem non potest? Patet enim si mare universa aqua fluminum sit, nihil a fluminibus, nisi quod salsum sit, differre: hoc vero illis in eo loco evenit, in quem collectim fluunt. 12. Aeque ridiculum est, si quis mare sudorem terrae esse dicat, seque perspicuum aliquid dixisse existimet, quemadmodum Empedocles. Qui enim ita locutus est, pro poeta fortasse satis dixit, quandoquidem translatio poëtica est figura; naturae autem cognitioni non satisfecit. 13. Neque enim hic constat, quonam modo ex dulci potu salsus sudor fiat, utrum alicuius, veluti dulcissimae partis recessu, an admixtione, ut in aquis, quae per cinerem colantur. Eadem autem causa in eo excremento videtur esse, quod in vesicam colligitur. Nam et illud salsum et amarum redditur, cum

ἐκεῖνο πικρὸν καὶ ἁλμυρὸν γίνεται τοῦ πινομένου καὶ τοῦ ἐν
14 τῇ τροφῇ ὑγροῦ γλυκέος ὄντος. 14. Εἰ δὴ ὥσπερ τὸ διὰ τῆς κονίας ἠθούμενον ὕδωρ γίνεται πικρόν, καὶ ταῦτα τῷ μὲν οὖρῳ συγκαταφερομένης τοιαύτης τινὸς δυνάμεως οἵα καὶ φαίνεται ὑφισταμένη ἐν τοῖς ἀγγείοις ἁλμυρίς, τῷ δ' ἱδρῶτι συνεκκρινομένης ἐκ τῶν σαρκῶν, οἷον καταπλύνοντος τὸ τοιοῦτον ἐκ τοῦ σώματος τοῦ ἐξιόντος ὑγροῦ, δῆλον ὅτι κἀν τῇ θαλάττῃ τὸ ἐκ τῆς γῆς συγκαταμιγνύμενον τῷ ὑγρῷ αἴτιον τῆς
15 ἁλμυρότητος. 15. Ἐν μὲν οὖν τῷ σώματι γίνεται τὸ τοιοῦτον ἡ τῆς τροφῆς ὑπόστασις διὰ τὴν ἀπεψίαν· ἐν δὲ τῇ γῇ
16 τίνα τρόπον ὑπῆρχε λεκτέον. 16. Ὅλως δὲ πῶς οἷόν τε τοσοῦτον ὕδατος πλῆθος ξηραινομένης καὶ θερμαινομένης ἐκκριθῆναι; πολλοστὸν γὰρ δεῖ μέρος αὐτὸ τοῦ λειφθέντος εἶναι ἐν τῇ γῇ. ἔτι δὲ διὰ τί οὐ καὶ νῦν ὅταν ξηραινομένη τύχῃ ἡ γῆ, εἴτε πλείων εἴτε ἐλάττων, ἰδίει; ἡ γὰρ ὑγρότης καὶ ὁ ἱδρὼς
17 γίνεται πικρός· εἴπερ γὰρ καὶ τότε, καὶ νῦν ἐχρῆν. 17. Οὐ φαίνεται δὲ τοῦτο συμβαῖνον, ἀλλὰ ξηρὰ μὲν οὖσα ὑγραίνεται, ὑγρὰ δ' οὖσα οὐθὲν πάσχει τοιοῦτον. πῶς δ' οὖν οἷόν τε περὶ

potus et alimenti humores dulcedine praediti sint. 14. Itaque si, ut aqua, quae per cinerem colatur, ita haec amara redduntur: urina quidem, quod facultas quaedam eius generis, qualis in vasis salsugo subsidere cernitur, una cum ea defertur, sudor autem, quod simul e carnibus secernitur, humore, qui effluit, tale quiddam e corpore, veluti abluendo, extrahente: perspicuum est, id quoque, quod ex terra humori admiscetur, salsedinis marinae causam esse. 15. Sed in corpore, tale alimenti sedimentum ob cruditatem efficitur. In terra vero, quomodo insit, dicendum fuit. 10. Omnino vero, qui fieri potest, ut cum exsiccaretur et incalesceret, tanta aquae copia fuerit excreta: eius enim, quod in terra relictum est, minimam esse partem oportet. Quid deinde causae est, cur nunc quoque, cum exsiccatur terra, seu multa sit, seu pauca, non sudet? Nam si tum humor ac sudor amari reddebantur, idem nunc quoque oporteret. 17. Quod tamen accidere non cernitur: sed cum sicca est, humectatur, cum humida, re nulla eius modi afficitur.

τὴν πρώτην γένεσιν, ὑγρᾶς οὔσης τῆς γῆς, ἰδίειν ξηραινομένην; 18. Ἀλλὰ μᾶλλον εἰκός, ὥσπερ φασί τινες, ἀπελθόντος τοῦ 18
πλείστου καὶ μετεωρισθέντος τοῦ ὑγροῦ διὰ τὸν ἥλιον τὸ λει-
φθὲν εἶναι θάλατταν· ὑγρὰν δ' οὖσαν ἰδίειν ἀδύνατον. 19. Τὰ 19
μὲν οὖν λεγόμενα τῆς ἁλμυρότητος αἴτια διαφεύγειν φαίνεται
τὸν λόγον, ἡμεῖς δὲ λέγωμεν ἀρχὴν λαβόντες τὴν αὐτὴν ἣν
καὶ πρότερον. 20. Ἐπεὶ γὰρ κεῖται διπλῆν εἶναι τὴν ἀναθυ- 20
μίασιν, τὴν μὲν ὑγράν, τὴν δὲ ξηράν, δῆλον, ὅτι ταύτην οἰη-
τέον ἀρχὴν εἶναι τῶν τοιούτων. καὶ δὴ καὶ περὶ οὗ ἀπορῆσαι
πρότερον ἀναγκαῖον, πότερον καὶ ἡ θάλαττα ἀεὶ διαμένει τῶν
αὐτῶν οὖσα μορίων ἀριθμῷ ἢ τῷ εἴδει καὶ τῷ ποσῷ μετα-
βαλλόντων ἀεὶ τῶν μερῶν, καθάπερ ἀὴρ καὶ τὸ πότιμον ὕδωρ
καὶ πῦρ. 21. Ἀεὶ γὰρ ἄλλο καὶ ἄλλο γίνεται τούτων ἕκαστον, 21
τὸ δ' εἶδος τοῦ πλήθους ἑκάστου τούτων μένει, καθάπερ τὸ
τῶν ῥεόντων ὑδάτων καὶ τὸ τῆς φλογὸς ῥεῦμα. φανερὸν δὴ
τοῦτο καὶ πιθανόν, ὡς ἀδύνατον μὴ τὸν αὐτὸν εἶναι περὶ
πάντων τούτων λόγον, καὶ διαφέρειν ταχυτῆτι καὶ βραδυτῆτι τῆς

Quo igitur pacto in primo ortu, cum humida erat terra, exsiccatione potuit sudare? 18. Sed magis, quod aiunt quidam, verisimile est, cum plurimum humoris abscessisset et in sublime vi solis elatus fuisset, id quod remansisset, mare exstitisse. Fieri autem non potest, ut cum humida sit, sudet. 19. Quae igitur de salsedine causae afferuntur, rationem videntur effugere. Nos autem idem, quod prius, principium sumentes, disseramus. 20. Cum enim positum sit, duplicem esse exhalationem, alteram humidam, alteram siccam, constat, posteriorem eius modi principium esse existimandam. Atque etiam id, de quo prius dubitemus necesse est, utrum mare iisdem numero partibus constanter componatur, an specie et quantitate parte semper mutentur, quemadmodum aër et potabilis aqua et ignis. 21. Horum enim unumquodque aliud semper et aliud efficitur: cuiusque autem eorum quantitatis species permanet, ut aquarum fluentium et flammae fluentis. Hoc igitur constat, ac probabile est, fieri non posse, ut non eadem omnium ratio sit, mutationisque celeritate ac tarditate differant, et omnium

μεταβολῆς ἐπὶ πάντων τε καὶ φθορὰν εἶναι καὶ γένεσιν, ταύ-
22 την μέντοι τεταγμένως συμβαίνειν πᾶσιν αὐτοῖς. 22. Τούτων
δ' οὕτως ἐχόντων, πειρατέον ἀποδοῦναι τὴν αἰτίαν καὶ περὶ
τῆς ἁλμυρότητος. φανερὸν δὴ διὰ πολλῶν σημείων ὅτι γίνεται
τοιοῦτος ὁ χυμὸς διὰ σύμμιξίν τινος· ἔν τε γὰρ τοῖς σώμασι
τὸ ἀπεπτότατον ἁλμυρὸν καὶ πικρόν, ὥσπερ καὶ πρότερον εἴ-
πομεν· ἀπεπτότατον γὰρ τὸ περίττωμα τῆς ὑγρᾶς τροφῆς·
τοιαύτη δὲ πᾶσα μὲν ἡ ὑπόστασις, μάλιστα δὲ ἡ εἰς τὴν κύ-
23 στιν. 23. Σημεῖον δ' ὅτι λεπτοτάτη ἐστίν· τὰ δὲ πεττόμενα
πάντα συνίστασθαι πέφυκεν. ἔπειτα ἱδρὼς ἐν οἷς τὸ αὐτὸ σῶμα
συνεκκρίνεται, ὃ ποιεῖ τὸν χυμὸν τοῦτον. ὁμοίως δὲ καὶ ἐν
τοῖς καομένοις· οὐ γὰρ ἂν μὴ κρατήσῃ τὸ θερμόν, ἐν μὲν τοῖς
24 σώμασι γίνεται περίττωσις, ἐν δὲ τοῖς καομένοις τέφρα. 24. Διὸ
καὶ τὴν θάλατταν τινες ἐκ κατακεκαυμένης φασὶ γενέσθαι γῆς·
τὸ δ' οὕτω μὲν εἰπεῖν ἄτοπον, τὸ μέντοι ἐκ τοιαύτης ἀληθές·
ὥσπερ γὰρ καὶ ἐν τοῖς εἰρημένοις, οὕτω καὶ ἐν τῷ ὅλῳ ἔκ τε
τῶν φυομένων καὶ γινομένων κατὰ φύσιν ἀεὶ δεῖ νοεῖν, ὥσπερ

ortus sit et interitus, ita tamen, ut haec ex ordine omnibus conveniant. 22. Quae cum ita se habeant, salsedinis quoque causam reddere conemur. Multis quidem ex indiciis perspicuum est, eius modi saporem ex commixtione quadam existere: in corporibus enim, quod minime est coctum, salsum est et amarum, ut antea diximus. Humidi namque alimenti excrementum incoctum est, eiusque generis omne est sedimentum, idque potissimum quod in vesicam colligitur. 23. Quod inde agnosci potest, quia tenuissimum est, cum ea omnia, quae concoquuntur, natura sua crassescant. Post illud sudor est, in quibus idem corpus, quod hunc reddit saporem, una excernitur. Neque aliter res se habet in iis, quae aduruntur. Quod enim a calore evictum non fuerit, in corporibus quidem excrementum est, in iis autem, quae aduruntur, cinis. 24. Atque haec est causa, cur nonnulli ex adusta terra mare fieri inquiant. Quod hoc quidem modo dicere absurdum est, illud autem, ex ea quae talis est, verum. Nam, ut in his, quae dicta sunt, sic etiam in universo, ex iis quae nascuntur et natura sua gignuntur, animo

καὶ ἐκ πεπυρωμένων τὸ λειπόμενον τοιαύτην εἶναι γῆν, καὶ δὴ καὶ τὴν ἐν τῇ ξηρᾷ ἀναθυμίασιν πᾶσαν. 25. Αὕτη γὰρ καὶ παρέχεται τὸ πολὺ τοῦτο πλῆθος. μεμιγμένης δ' οὔσης, ὥσπερ εἴπομεν, τῆς τε ἀτμιδώδους ἀναθυμιάσεως καὶ τῆς ξηρᾶς, ὅταν συνιστῆται εἰς νέφη καὶ ὕδωρ, ἀναγκαῖον ἐμπεριλαμβάνεσθαί τι πλῆθος ἀεὶ ταύτης τῆς δυνάμεως, καὶ συγκαταφέρεσθαι πάλιν ἐν τοῖς ὑετοῖς, καὶ ἀεὶ ταῦτα γίνεσθαι κατά τινα τάξιν, ὡς ἐνδέχεται μετέχειν τὰ ἐνταῦθα τάξεως. ὅθεν μὲν οὖν ἡ γένεσις ἔνεστι τοῦ ἁλμυροῦ ἐν τῷ ὕδατι, εἴρηται. 26. Καὶ διὰ τοῦτο τά τε νότια ὕδατα πλατύτερα καὶ τὰ πρῶτα τῶν μετοπωρινῶν· ὅ τε γὰρ νότος καὶ τῷ μεγέθει καὶ τῷ πνεύματι ἀλεεινότατος ἄνεμος, καὶ πνεῖ ἀπὸ τόπων ξηρῶν καὶ θερμῶν, ὥστε μετ' ὀλίγης ἀτμίδος· διὸ καὶ θερμός ἐστιν. 27. Εἰ γὰρ καὶ μὴ τοιοῦτος, ἀλλ' ὅθεν ἄρχεται πνεῖν ψυχρός, οὐδὲν ἧττον προϊὼν διὰ τὸ συμπεριλαμβάνειν πολλὴν ἀναθυμίασιν ξηρὰν ἐκ τῶν σύνεγγυς τόπων θερμός ἐστιν· ὁ δὲ βορέας ἅτε ἀφ' ὑγρῶν τόπων ἀτμιδώδης, διὸ ψυχρός· τῷ δ' ἀπωθεῖν

semper concipiendum est, eius generis terram, quinimo et omnem aridae terrae exhalationem remanere, quale id est, quod ex adustis restat. 25. Ea enim hanc ingentem habituum copiam suppeditat. Quoniam autem inter se, ut diximus, vaporosa et sicca exhalatio admixtae sunt, cum in nubem et aquam concreverit, aliqua semper huius facultatis copia una comprehendantur et rursus cum pluvia deorsum feratur, necesse est, idque semper ordine quodam fieri, quoad ea, quae hic sunt, ordinem possunt participare. Unde igitur in aqua salsus sapor exsistat, dictum est. 26. Ac propterea Austrini imbres, et qui autumnalium primi sunt, salsiusculi habentur. Auster enim et magnitudine et flatu calidissimus ventus est, et a locis siccis calidisque spirat, quare cum exiguo vapore, ob eamque rem calidus est. 27. Ac quamvis talis non esset, sed unde spirare incipit, frigidus, nihilominus longius procedens calidus est, quod a propioribus locis multum siccae exhalationis corripiat. Aquilo autem, ut qui ab humidis locis spiret, vaporum plenus est, ob idque frigidus. Quod vero propellat, hic

αἴθριος ἐνταῦθα, ἐν δὲ τοῖς ἐναντίοις ὑδατώδης. ὁμοίως δὲ
28 καὶ ὁ νότος αἴθριος τοῖς περὶ τὴν Λιβύην. 28. Πολὺ οὖν ἐν
τῷ καταφερομένῳ ὕδατι συμβάλλεται τοιοῦτον, καὶ τοῦ μετο-
πώρου πλατέα τὰ ὕδατα· ἀνάγκη γὰρ τὰ βαρύτερα πρῶτα
φέρεσθαι· ὥστ' ἐν ὅσοις ἔνεστι τῆς τοιαύτης γῆς πλῆθος,
29 ῥέπει τάχιστα κάτω ταῦτα. 29. Καὶ θερμή γε ἡ θάλαττα
διὰ τοῦτό ἐστιν· πάντα γὰρ ὅσα πεπύρωται, ἔχει δυνάμει θερ-
μότητα ἐν αὑτοῖς. ὁρᾶν δ' ἔξεστι καὶ τὴν κονίαν καὶ τὴν τέ-
φραν καὶ τὴν ὑπόστασιν τῶν ζῴων καὶ τὴν ξηρὰν καὶ τὴν
ὑγράν· καὶ τῶν θερμοτάτων γε κατὰ τὴν κοιλίαν ζῴων συμ-
30 βαίνει θερμοτάτην εἶναι τὴν ὑπόστασιν. 30. Γίνεται μὲν οὖν
ἀεὶ πλατυτέρα διὰ ταύτην τὴν αἰτίαν, ἀνάγεται δ' ἀεί τι μέ-
ρος αὐτῆς μετὰ τοῦ γλυκέος· ἀλλ' ἔλαττον τοσούτῳ ὅσον καὶ
ἐν τῷ ὑομένῳ τὸ ἁλμυρὸν καὶ πλατὺ τοῦ γλυκέος ἔλαττον.
31 διόπερ ἰσάζει ὡς ἐπίπαν εἰπεῖν. 31. Ὅτι δὲ γίνεται ἀτμίζουσα
πότιμος καὶ οὐκ εἰς θάλατταν συγκρίνεται τὸ ἀτμίζον, ὅταν
συνιστῆται πάλιν, πεπειράμενοι λέγομεν. πάσχει δὲ καὶ τἆλλα

serenitatem affert, aquam vero in locis contrariis: similique modo Auster in Africa serenus est. 28. Quod igitur tale est, in imbre, qui deorsum fertur, multum conducit. Atque autumno salsiusculae imbrium guttae sunt. Quae enim graviora sunt, primum deferantur necesse est. Quare in quibus eius modi terrae inest copia, haec celerrime deorsum inclinant. 29. Atque hanc sane ob causam calidum mare est. Quaecunque enim adusta sunt, facultate calorem in se habent: idque videre licet in cinere, in calce et in animalium sedimento, tam humido, quam sicco. Quin etiam accidit, ut quorum animalium alvus est calidissima, eorum etiam sedimentum calidissimum habeatur. 30. Salsius igitur quidem hanc ob causam semper evadit. Eius vero aliqua pars una cum dulci semper attollitur, sed tanto minor, quanto et in pluvia, quod salsum est, a dulci exsuperatur. Quo fit ut aequalitas quaedam, ut omnino dixerim, servetur. 31. Cum vero in vaporem abit, potabile fieri, nec in maris aquam, cum rursus coiverit id, quod in vaporem abiit, concrescere, docti experientia dicimus. Hoc autem modo et

ταὐτό· καὶ γὰρ οἶνος καὶ πάντες οἱ χυμοί, ὅσοι ἂν ἀτμίσαντες πάλιν εἰς ὑγρὸν συστῶσιν, ὕδωρ γίνονται. πάθη γὰρ τἄλλα διά τινα σύμμιξιν τοῦ ὕδατός ἐστιν, καὶ οἷον ἄν τι ᾖ τὸ συμμιχθέν, τοιοῦτον ποιεῖ τὸν χυμόν. 32. Ἀλλὰ περὶ μὲν τού- 32
των ἐν ἄλλοις καιροῖς οἰκειοτέροις ποιητέον τὴν σκέψιν. νῦν δὲ τοσοῦτον λέγωμεν, ὅτι τῆς θαλάττης ὑπαρχούσης ἀεί τι ἀνάγεται καὶ γίνεται πότιμον καὶ ἄνωθεν ἐν τῷ ὑομένῳ κατέρχεται ἄλλο γεγενημένον, οὐ τὸ ἀναχθέν. καὶ διὰ βάρος ὑφίσταται τῷ ποτίμῳ. 33. Καὶ διὰ τοῦτ' οὔτ' ἐπιλείπει, 33
ὥσπερ οἱ ποταμοί, ἀλλ' ἢ τοῖς τόποις (τοῦτο δ' ἐπ' ἀμφοτέρων ἀνάγκη συμβαίνειν ὁμοίως), οὔτε ἀεὶ τὰ αὐτὰ μέρη διαμένει, οὔτε γῆς οὔτε θαλάττης, ἀλλὰ μόνον ὁ πᾶς ὄγκος. 34. Καὶ γὰρ καὶ περὶ γῆς ὁμοίως δεῖ ὑπολαβεῖν· τὸ μὲν γὰρ 34
ἀνέρχεται, τὸ δὲ πάλιν συγκαταβαίνει, καὶ τοὺς τόπους συμμεταβάλλει τά τ' ἐπιπολάζοντα καὶ τὰ κατιόντα πάλιν. 35. Ὅτι 35
δ' ἐστὶν ἐν μίξει τινὸς τὸ ἁλμυρόν, δῆλον οὐ μόνον ἐκ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐάν τις ἀγγεῖον πλάσας θῇ κήρινον εἰς

caetera afficiuntur. Vinum namque et quotquot humores vaporantes rursus in humorem concrescunt, aqua efficiuntur. Caetera enim aquae affectiones sunt, quae ex quadam admixtione exsistunt, et quale id, quod admixtum est, fuerit, talem saporem gignit. 32. Sed haec tempore alio magis opportuno sunt consideranda. Nunc autem hoc tantum dicamus, cum sit mare, aliquid ex eo semper attolli et potabile reddi, quod de supero loco, in pluvia in aliud mutatum, non autem id quod sublatum est, descendit: atque ex pondere parti potabili subsidit. 33. Hancque ob causam non deficit, veluti flumina, nisi locorum ratione. Hoc autem utrisque aequaliter eveniat, necesse est, nec eaedem semper, seu maris seu terrae (etenim et de terra similiter statuendum est) partes permanent, sed universa tantum moles. 34. Quippe cum alia pars adscendat, alia rursus descendat: at locum mutant tum ea, quae conscendunt, tum quae rursus descendunt. 35. Salsedinem autem in quadam mixtione positam esse, non ex his tantum, quae dicta sunt, perspicuum est, verum etiam exinde, quod si quis cereo vase

τὴν θάλατταν, περιδήσας τὸ στόμα τοιούτοις, ὥστε μὴ παρεγχεῖσθαι τῆς θαλάττης· τὸ γὰρ εἰσιὸν διὰ τῶν τοίχων τῶν
36 κηρίνων γίνεται πότιμον ὕδωρ. 36. Ὥσπερ γὰρ δι' ἠθμοῦ τὸ γεῶδες ἀποκρίνεται καὶ τὸ ποιοῦν τὴν ἁλμυρότητα διὰ τὴν σύμμιξιν. τοῦτο γὰρ αἴτιον καὶ τοῦ βάρους (πλεῖον γὰρ ἕλκει
37 τὸ ἁλμυρόν, ἢ τὸ πότιμον) καὶ τοῦ πάχους. 37. Καὶ γὰρ τὸ πάχος διαφέρει τοσοῦτον ὥστε τὰ πλοῖα ἀπὸ τοῦ αὐτοῦ τῶν ἀγωγίμων βάρους ἐν μὲν τοῖς ποταμοῖς ὀλίγου καταδύνειν, ἐν δὲ τῇ θαλάττῃ μετρίως ἔχειν καὶ πλευστικῶς, διόπερ ἔνιοι τῶν ἐν τοῖς ποταμοῖς γεμιζόντων διὰ ταύτην τὴν αἰτίαν ἐζημιώ-
38 θησαν. 38. Τεκμήριον δὲ τοῦ μιγνυμένου τινὸς παχύτερον εἶναι τὸν ὄγκον. ἐὰν γάρ τις ὕδωρ ἁλμυρὸν ποιήσῃ σφόδρα μίξας ἅλας, ἐπιπλέουσι τὰ ᾠά, κἂν ᾖ πλήρη· σχεδὸν γὰρ ὥσπερ πηλὸς γίνεται. τοσοῦτον ἔχει σωματῶδες πλῆθος ἡ
39 θάλαττα. ταὐτὸ δὲ τοῦτο δρῶσι καὶ περὶ τὰς ταριχείας. 39. Εἰ δ' ἔστιν, ὥσπερ μυθολογοῦσί τινες, ἐν Παλαιστίνῃ τοιαύτη λίμνη, εἰς ἣν ἐάν τις ἐμβάλλῃ συνδήσας ἄνθρωπον ἢ ὑποζύγιον ἐπιπλεῖν καὶ οὐ καταδύεσθαι κατὰ τοῦ ὕδατος, μαρτύριον ἂν

efficto, ciusque ore talibus rebus obturato, ut maris nihil illabatur, in mare illud posuerit, id quod per cereos parietes ingreditur, aqua dulcis reddatur. 36. Quod enim terrenum est, et salsedinem ex admixtione facit, veluti colatum secernitur. Hoc vero et ponderis causa est (quae enim salsa est, plus trahit, quam quae potabilis) et crassitiei. 37. At enim tanto crassior est, ut quae navigia pari rerum, quae vehuntur, pondere fere in fluminibus demerguntur, in mari commode et ad navigandum apte se habeant. Quam ob causam nonnulli in fluminibus onusta ex hac ignoratione damnum perpessi sunt. 38. Molem autem rei alicuius admixtione crassiorem esse, hoc argumento intelligitur, quod si quis aquam sale admixto valde salsam effecerit, ova, quanquam plena, supernatabunt. Paene enim, ut lutum reddatur, tanta est in mari corpulentae materiae copia. Hoc idem faciunt et in salsugine. 39. Quod si in Palaestina, ut quidam fabulantur, eiusmodi est lacus, in quem si quis hominem, aut iumentum ligatum iniecerit, illud supernatet et in

εἴη τοῖς εἰρημένοις· λέγουσι γὰρ πικρὰν οὕτως εἶναι τὴν λίμνην καὶ ἁλμυρὰν ὥστε μηδένα ἰχθὺν ἐγγίνεσθαι, τὰ δ' ἰμάτια ῥύπτειν, ἐάν τις διασείσῃ βρέξας. 40. Ἔστι δὲ καὶ τὰ 40
τοιαῦτα σημεῖα πάντα τῶν εἰρημένων, ὅτι τὸ ἁλμυρὸν ποιεῖ σῶμά τι, καὶ γεῶδές ἐστι τὸ ἐνυπάρχον· ἔν τε γὰρ τῇ Χαονίᾳ κρήνη τίς ἐστιν ὕδατος πλατυτέρου, ἀπορρεῖ δ' αὕτη εἰς ποταμὸν γλυκὺν μέν, ἰχθὺς δ' οὐκ ἔχοντα. 41. Εἵλοντο γὰρ δή, 41
ὡς οἱ ἐκεῖ μυθολογοῦσιν, ἐξουσίας δοθείσης ὑπὸ τοῦ Ἡρακλέους, ὅτ' ἦλθεν ἄγων ἐκ τῆς Ἐρυθείας τὰς βοῦς, ἄλας ἀντὶ τῶν ἰχθύων, οἳ γίνονται αὐτοῖς ἐκ τῆς κρήνης· τούτων γὰρ τοῦ ὕδατος ἀφέψοντές τι μέρος τιθέασι, καὶ γίνεται ψυχθέν, ὅταν ἀπατμίσῃ τὸ ὑγρὸν ἅμα τῷ θερμῷ, ἅλες οὐ χονδροὶ ἀλλὰ καῦνοι καὶ λεπτοὶ ὥσπερ χιών. 42. Εἰσὶ δὲ τήν τε δύναμιν 42
ἀσθενέστεροι τῶν ἄλλων καὶ πλείους ἡδύνουσιν ἐμβληθέντες, καὶ τὴν χρόαν οὐχ ὁμοίως λευκοί· τοιοῦτον δ' ἕτερον γίνεται καὶ ἐν Ὀμβρικοῖς. 43. Ἔστι γάρ τις τόπος, ἐν ᾧ πεφύκασι 43
κάλαμος καὶ σχοῖνος· τούτων οὖν κατακάουσι, καὶ τὴν τέφραν

aqua non mergatur, eorum quae dicta sunt testimonium profecto erit. Aiunt enim lacum adeo amarum et salsum esse, ut piscis nullus in eo oriatur, vestesque extergantur, si quis eas madefactas excusserit. 40. Haec autem omnia ea, quae dicta sunt, declarant, nempe corpus aliquod salsedinem afferre, et quod inest, terreum esse. In Chaonia enim fons est quidam aquae salsioris, fluitque in vicinum fluvium, dulcem quidem, sed pisces non habentem. 41. Iam enim ab Hercule, cum vaccis ab Erythia abactis eo venisset, opinione (ut ii, qui ibi incolunt, fabulantur) tradita, pro piscibus salem, qui ex fonte iis redderetur, elegerunt. Huius enim aquae portionem aliquam cum excoxerunt, eam deponunt, quae refrigerata, cum humor una cum calore exhalatus fuerit, sal efficitur, non densus, sed rarus ac minutus, nivis instar. 42. Is et caeteris facultate imbecillior est, et copiose iniectus delectat, et calore non aeque candidus est. Aliud autem quiddam tale in Umbricis etiam fit. 43. Quidam enim locus est, in quo arundo et iuncus nascuntur. Haec igitur comburunt, ac cinerem in aqua decoquunt. Cumque

ἐμβαλόντες εἰς ὕδωρ ἀφέψουσιν· ὅταν δὲ λίπωσί τι τοῦ ὕδα-
44 τος, τοῦτο ψυχθὲν ἁλῶν γίνεται πλῆθος. 44. Ὅσα δ' ἐστὶν
ἁλμυρὰ ῥεύματα ποταμῶν ἢ κρηνῶν, τὰ πλεῖστα θερμά ποτε
εἶναι δεῖ νομίζειν, εἶτα τὴν μὲν ἀρχὴν ἀπεσβέσθαι τοῦ πυρός,
δι' ἧς δὲ ἠθοῦνται γῆς, ἔτι μένειν οὖσαν οἷον κονίαν καὶ τέ-
45 φραν. 45. Εἰσὶ δὲ πολλαχοῦ κρῆναι καὶ ῥεύματα ποταμῶν
παντοδαποὺς ἔχοντα χυμούς, ὧν πάντων αἰτιατέον τὴν ἐνοῦ-
σαν ἢ ἐγγινομένην δύναμιν πυρός· καομένη γὰρ ἡ γῆ τῷ μᾶλ-
λον καὶ ἧττον παντοδαπὰς λαμβάνει μορφὰς καὶ χρόας χυ-
46 μῶν. 46. Στυπτηρίας γὰρ καὶ κονίας καὶ τῶν ἄλλων τῶν
τοιούτων γίνεται πλήρης δυνάμεων, δι' ὧν τὰ ἠθούμενα ὕδατα
ὄντα γλυκέα μεταβάλλει, καὶ τὰ μὲν ὀξέα γίνεται, καθάπερ ἐν
τῇ Σικανικῇ τῆς Σικελίας· ἐκεῖ γὰρ ὀξάλμη γίνεται, καὶ χρῶν-
47 ται καθάπερ ὄξει πρὸς ἔνια τῶν ἐδεσμάτων αὐτῷ. 47. Ἔστι
δὲ καὶ περὶ Λύγκον κρήνη τις ὕδατος ὀξέος, περὶ δὲ τὴν Σκυ-
θικὴν πικρά· τὸ δ' ἀπορρέον αὐτῆς τὸν ποταμὸν εἰς ὃν εἰσ-
βάλλει ποιεῖ πικρὸν ὅλον. αἱ δὲ διαφοραὶ τούτων ἐκεῖθεν δῆ-
λον. ποῖοι δὲ χυμοὶ ἐκ ποίων γίνονται κράσεων, εἴρηται περὶ

aliquid aquae residuum manserit, id refrigeratum in salis copiam convertitur. 44. Quicunque autem fluviorum aut fontium fluxus salsi sunt, eos magna ex parte calidos interdum fuisse censendum est, tum ignis quidem principium exstinctum fuisse, sed tamen terram, per quam colantur, veluti calcem aut cinerem remansisse. 45. Sunt autem multis in locis fontes et fluviorum fluxus saporibus omnis generis affecti, quorum omnium causa in ignis, quae iis insita est, aut ingignitur, facultatem est referenda. Cum enim terra aduritur, cum magis minusve aduratur, omnis generis colorum saporumque species adsumit. 46. Aluminis enim et calcis et aliarum huius modi facultatum plena redditur, per quas dulces aquae dum colantur, commutantur. Et aliae quaedam acidae fiunt, ut in Sicania Siciliae. Illic enim fit acida muria eaque veluti aceto ad edulia utuntur. 47. Quin et circa Lyncum aquae acidae fons est. In Scythia vero amarus, cuius aqua fluvium, in quem influit, totum amarum reddit. Quorum differentiae hinc fiunt manifestae.

αὐτῶν χωρὶς ἐν ἄλλοις. 48. Περὶ μὲν οὖν ὑδάτων καὶ θα- 48
λάττης, δι' ἃς αἰτίας ἀεί τε συνεχῶς εἰσὶ καὶ πῶς μεταβάλ-
λουσι καὶ τίς ἡ φύσις αὐτῶν, ἔτι δὲ ὁπόσα πάθη κατὰ φύσιν
αὐτοῖς συμβαίνει ποιεῖν ἢ πάσχειν, εἴρηται σχεδὸν ἡμῖν περὶ
τῶν πλείστων.

IV. Περὶ δὲ πνευμάτων λέγωμεν, λαβόντες ἀρχὴν τὴν 1
εἰρημένην ἡμῖν ἤδη πρότερον. ἔστι γὰρ δύο εἴδη τῆς ἀναθυ-
μιάσεως, ὡς φαμεν, ἡ μὲν ὑγρά, ἡ δὲ ξηρά. καλεῖται δ' ἡ
μὲν ἀτμίς, ἡ δὲ τὸ ὅλον μὲν ἀνώνυμος, τῷ δ' ἐπὶ μέρους
ἀνάγκη χρωμένους καθόλου προσαγορεύειν αὐτὴν οἷον καπνόν.
2. Ἔστι δ' οὔτε τὸ ὑγρὸν ἄνευ τοῦ ξηροῦ οὔτε τὸ ξηρὸν ἄνευ 2
τοῦ ὑγροῦ, ἀλλὰ πάντα ταῦτα λέγεται κατὰ τὴν ὑπεροχήν.
3. Φερομένου δὴ τοῦ ἡλίου κύκλῳ, καὶ ὅταν μὲν πλησίαζῃ, 3
τῇ θερμότητι ἀνάγοντος τὸ ὑγρόν, ῥᾳδιουργοῦντος δὲ γινομένου
διὰ τὴν ψύξιν συνισταμένης πάλιν τῆς ἀναχθείσης ἀτμίδος εἰς
ὕδωρ (διὸ χειμῶνός τε μᾶλλον γίνεται τὰ ὕδατα, καὶ νύκτωρ
ἢ μεθ' ἡμέραν· ἀλλ' οὐ δοκεῖ διὰ τὸ λανθάνειν τὰ νυκτερινὰ

Atqui sapores, quibus ex temperamentis oriantur, seorsim alibi dictum est. 48. De aquis igitur et mari, quas ob causas perpetuo continenterque existant, et quemadmodum mutentur et quae sit eorum natura: praeterea quot iis accidat natura sua affectiones producere et pati, maxima fere ex parte a nobis dictum est.

Cap. IV. De ventis autem dicamus, eo adsumpto principio, quod iam a nobis antea propositum est. Duae enim, ut diximus, exhalationis sunt species, altera humida, altera sicca: atque illa quidem vapor dicitur, haec vero genere quidem nomine vacat, sed eo, quod ex parte est, utentes, eam quasi fumum universum necesse est nominemus. 2. Nec vero humida absque sicca est, nec sicca absque humida, sed omnia haec ex eo, quod excedit, dicuntur. 3. Cum igitur sol in orbem feratur, et quando quidem propius accedit, calore humidum attollat, quando longius recedit, vapor sublatus rursus in aquam vi refrigerationis concrescat, (quare hieme magis aquae gignuntur, et noctu magis, quam interdiu, quamvis non videatur, quod res noctur-

τῶν μεθ' ἡμέραν μᾶλλον), τὸ δὴ κατιὸν ὕδωρ διαδίδοται πᾶν
4 εἰς τὴν γῆν. 4. Ὑπάρχει δ' ἐν τῇ γῇ πολὺ πῦρ καὶ πολλὴ
θερμότης, καὶ ὁ ἥλιος οὐ μόνον τὸ ἐπιπολάζον τῆς γῆς ὑγρὸν
5 ἕλκει, ἀλλὰ καὶ τὴν γῆν αὐτὴν ξηραίνει θερμαίνων. 5. Τῆς
δ' ἀναθυμιάσεως, ὥσπερ εἴρηται, διττῆς οὔσης, τῆς μὲν ἀτμι-
δώδους τῆς δὲ καπνώδους, ἀμφοτέρας ἀναγκαῖον γίνεσθαι. τού-
των δ' ἡ μὲν ὑγροῦ πλέον ἔχουσα πλῆθος ἀναθυμίασις ἀρχὴ
τοῦ ὑομένου ὕδατός ἐστιν, ὥσπερ εἴρηται πρότερον, ἡ δὲ ξηρὰ
6 τῶν πνευμάτων ἀρχὴ καὶ φύσις πάντων. 6. Ταῦτα δ' ὅτι τοῦ-
τον τὸν τρόπον ἀναγκαῖον συμβαίνειν, καὶ ἐξ αὐτῶν τῶν ἔργων
δῆλον· καὶ γὰρ τὴν ἀναθυμίασιν διαφέρειν ἀναγκαῖον, καὶ τὸν
ἥλιον καὶ τὴν ἐν τῇ γῇ θερμότητα ταῦτα ποιεῖν οὐ μόνον δυ-
7 νατόν, ἀλλ' ἀναγκαῖόν ἐστιν. 7. Ἐπεὶ δ' ἕτερον ἑκατέρας τὸ
εἶδος, φανερὸν ὅτι διαφέρει, καὶ οὐχ ἡ αὐτή ἐστιν ἥ τε τοῦ
ἀνέμου φύσις καὶ ἡ τοῦ ὑομένου ὕδατος, καθάπερ τινὲς λέ-
γουσιν· τὸν γὰρ αὐτὸν ἀέρα κινούμενον μὲν ἄνεμον εἶναι,
8 συνιστάμενον δὲ πάλιν ὕδωρ. 8. Ὁ μὲν οὖν ἀήρ, καθάπερ ἐν
τοῖς πρὸ τούτων λόγοις εἰρήκαμεν, γίνεται ἐκ τούτων· ἡ μὲν

nae magis, quam diurnae lateant), aqua igitur descendens in terram universa distribuitur. 4. Inest vero et in terra multus ignis, multusque calor, ac sol non eum solum humorem, qui in superficie terrae est, trahit, sed terram quoque calefaciendo exsiccat. 5. Cum autem duplex sit (uti diximus) exhalatio, altera, quae vaporis plena est, altera fumida, utraque fiat necesse est. Quarum exhalationum ea, quae maiorem humoris copiam tenet, aquae pluvialis, ut antea diximus, principium est: sicca autem ventorum omnium principium et natura. 6. Quae necessario hac ratione accidere, ex ipsis quoque effectis perspicuum est. Nam et exhalationem diversam esse necesse est, et solem ac eum, qui terrae inest, calorem haec efficere, non solum fieri potest, sed necessarium est: 7. Quoniam autem utriusque diversa est species, perspicuum est inter se differre utramque, nec eandem venti et pluviae esse naturam, ut nonnulli aiunt: eundem enim aërem cum moveatur, ventum esse, cum rursus concrescat, aquam. 8. Aër quidem, ut in

γὰρ ἀτμὶς ὑγρὸν καὶ ψυχρόν (εὐόριστον μὲν γὰρ ὡς ὑγρόν, διὰ δὲ τὸ ὕδατος εἶναι ψυχρὸν τῇ οἰκείᾳ φύσει, ὥσπερ ὕδωρ μὴ θερμανθέν), ὁ δὲ καπνὸς θερμὸν καὶ ξηρόν. ὥστε καθάπερ ἐκ συμβόλων, συνίσταιτο ἂν ὁ ἀὴρ ὑγρὸς καὶ θερμός. 9. Καὶ 9
γὰρ ἄτοπον, εἰ ὁ περὶ ἑκάστους περικεχυμένος ἀὴρ οὗτος γίνεται κινούμενος πνεῦμα, καὶ ὅθεν ἂν τύχῃ κινηθείς, ἄνεμος ἔσται, ἀλλ' οὐ καθάπερ τοὺς ποταμοὺς ὑπολαμβάνομεν οὐχ ὁπωσοῦν τοῦ ὕδατος εἶναι ῥέοντος, οὐδ' ἂν ἔχῃ πλῆθος, ἀλλὰ δεῖ πηγαῖον εἶναι τὸ ῥέον, οὕτω καὶ περὶ τῶν ἀνέμων ἔχει· κινηθείη γὰρ ἂν πολὺ πλῆθος ἀέρος ὑπό τινος μεγάλης πτώσεως, οὐκ ἔχον ἀρχὴν οὐδὲ πηγήν. 10. Μαρτυρεῖ δὲ τὰ γι- 10
νόμενα τοῖς εἰρημένοις· διὰ γὰρ τὸ συνεχῶς μὲν μᾶλλον δὲ καὶ ἧττον καὶ πλείω καὶ ἐλάττω γίνεσθαι τὴν ἀναθυμίασιν, ἀεὶ νέφη τε καὶ πνεύματα γίνεται κατὰ τὴν ὥραν ἑκάστην ὡς πέφυκεν· διὰ δὲ τὸ ἐνίοτε μὲν τὴν ἀτμιδώδη γίνεσθαι πολλαπλασίαν ὁτὲ δὲ τὴν ξηρὰν καὶ καπνώδη, ὁτὲ μὲν ἔμβρυα τὰ ἔτη γίνεται καὶ ὑγρά, ὁτὲ δὲ ἀνεμώδη καὶ αὐχμοί. 11. Ὁτὲ 11

antegressis diximus, ex his oritur. Vapor enim humidus est et frigidus. (Nam veluti humidum facile terminatur: quia vero aqueus, suapte natura frigidus est, veluti aqua non calefacta), fumus autem calidus et siccus. Aër igitur, veluti ex compositione humidus et calidus constituitur. 9. Etenim absurdum est, eum qui cuique est circumfusus, cum movetur, flatum fieri, et undevis casu agitatus sit, ventum exsistere: minime vero censere quemadmodum amnes, non quomodocunque fluente aqua, etiam si multa, exsistunt, sed ea quae fluat fontana sit necesse est, sic etiam in ventis rem habere. Magna enim quaedam aëris copia nec principium nec fontem habens, ingenti aliquo casu moveretur. 10. Porro ea, quae dicta sunt, rerum eventis comprobantur. Quia enim continenter quidem, sed tamen magis et minus, ampliorque et minor exhalationis copia gignitur, nubes semper ac spiritus singulis tempestatibus, utpote natura fert, oriuntur. Quod autem interdum quidem ea, quae vaporis plus continet, interdum sicca et fumida uberior gignatur, pluvii et humidi anni interdum redduntur, interdum

μὲν οὖν συμβαίνει καὶ τοὺς αὐχμοὺς καὶ τὰς ἐπομβρίας πολλοὺς ἅμα καὶ κατὰ πολλὴν καὶ συνεχῆ γίνεσθαι χώραν, ὅτὲ δὲ καὶ κατὰ μέρη· πολλάκις γὰρ ἡ μὲν κύκλῳ χώρα λαμβάνει τοὺς ὡραίους ὄμβρους ἢ καὶ πλείους, ἐν δέ τινι μέρει ταύ-
12 της αὐχμός ἐστιν. 12. Ὅτὲ δὲ τοὐναντίον τῆς κύκλῳ πάσης ἢ μετρίοις χρωμένης ὕδασιν ἢ καὶ μᾶλλον αὐχμώσης, ἔν τι μόριον ὕδατος ἄφθονον λαμβάνει πλῆθος. αἴτιον δ' ὅτι ὡς μὲν τὰ πολλὰ τὸ αὐτὸ πάθος ἐπὶ πλείω διήκειν εἰκὸς χώραν, διὰ τὸ παραπλησίως κεῖσθαι πρὸς τὸν ἥλιον τὰ σύνεγγυς, ἐὰν μή-
13 τι διαφορὰν ἔχωσιν ἴδιον. 13. Οὐ μὴν ἀλλ' ἐνίοτε κατὰ τοδὶ μὲν τὸ μέρος ἡ ξηρὰ ἀναθυμίασις ἐγένετο πλείων, κατὰ
14 δὲ τὸ ἄλλο ἡ ἀτμιδώδης, ὅτὲ δὲ τοὐναντίον. 14. Καὶ αὐτοῦ δὲ τούτου αἴτιον τὸ ἑκατέραν μεταπίπτειν εἰς τὴν τῆς ἐχομένης χώρας ἀναθυμίασιν, οἷον ἡ μὲν ξηρὰ κατὰ τὴν οἰκείαν ῥεῖ χώραν, ἡ δ' ὑγρὰ πρὸς τὴν γειτνιῶσαν, ἢ καὶ εἰς τῶν πόρρω τινὰ τόπον ἀπεώσθη ὑπὸ πνευμάτων· ὅτὲ δ' αὕτη μὲν
15 ἔμεινεν, ἡ δ' ἐναντία ταὐτὸν ἐποίησεν. 15. Καὶ συμβαίνει

flatuosi et sicci. 11. Interdum igitur evenit, ut siccitates et imbres multi simul et per magnum continentemque regionis tractum exsistant, interdum per partes. Saepe enim regio, quae circumquaque adiacet tempestivos aut etiam plures recipit imbres, cuius tamen partem aliquam siccitas occupat. 12. Quandoque vero contrarium evenit, cum tota in orbem regio aut modicis aquis utitur aut potius squalet, ut una quaedam eius pars aquae immensam copiam accipiat. Cuius rei causa est, quod eandem affectionem magna ex parte regionem longe lateque pervadere vero simile est, propterea quod vicinia loca consimilem ad solem situm obtineant, nisi quid proprium differentiae habeant. 13. Atqui interdum hac in parte sicca exhalatio multa adscendit, in alia vero vaporosa, interdum contrario modo. 14. Quin et illud huius rei causa est, quod utraque exhalatio in eam, quae cohaerentis est regionis, incidat. Veluti sicca quidem propria in regione fluit, humida vero in finitimam, aut etiam in remotiorem aliquem locum a ventis impulsa est. Aliquando autem haec quidem

τοῦτο πολλάκις, ὥσπερ ἐπὶ τοῦ σώματος, ἐὰν ἡ ἄνω κοιλία ξηρὰ ᾖ, τὴν κάτω ἐναντίως διακεῖσθαι, καὶ ταύτης ξηρᾶς οὔσης ὑγρὰν εἶναι τὴν ἄνω καὶ ψυχράν, οὕτω καὶ περὶ τοὺς τόπους ἀντιπεριίστασθαι καὶ μεταβάλλειν τὰς ἀναθυμιάσεις. 16. Ἔτι δὲ μετά τε τοὺς ὄμβρους ἄνεμος ὡς τὰ πολλὰ γίνε- 16
ται ἐν ἐκείνοις τοῖς τόποις καθ' οὓς ἂν συμπέσῃ γίνεσθαι τοὺς ὄμβρους, καὶ τὰ πνεύματα παύεται ὕδατος γενομένου. 17. Ταῦτα γὰρ ἀνάγκη συμβαίνειν διὰ τὰς εἰρημένας ἀρχάς· 17
ὑσαντός τε γὰρ ἡ γῆ ξηραινομένη ὑπό τε τοῦ ἐν αὐτῇ θερμοῦ καὶ ὑπὸ τοῦ ἄνωθεν ἀναθυμιᾶται, τοῦτο δ' ἦν ἀνέμου σῶμα. Καὶ ὅταν ἡ τοιαύτη ἀπόκρισις ᾖ καὶ ἄνεμοι κατέχωσι, παυομένων διὰ τὸ ἀποκρίνεσθαι τὸ θερμὸν ἀεὶ καὶ ἀναφέρεσθαι εἰς τὸν ἄνω τόπον συνίσταται ἡ ἀτμὶς ψυχομένη καὶ γίνεται ὕδωρ. 18. Καὶ ὅταν εἰς ταὐτὸν συνωσθῶσι τὰ νέφη καὶ 18
ἀντιπεριστῇ εἰς αὐτὰ ἡ ψύξις, ὕδωρ γίνεται καὶ καταψύχει τὴν ξηρὰν ἀναθυμίασιν. παύουσί τε οὖν τὰ ὕδατα γινόμενα τοὺς ἀνέμους καὶ παυομένων αὐτὰ γίνεται διὰ ταύτας τὰς αἰτίας. 19. Ἔτι δὲ τοῦ γίνεσθαι μάλιστα πνεύματα ἀπ' αὐτῆς 19

mansit, contraria vero idem efficit. 15. Atque saepius evenit, ut, quemadmodum in corpore, si venter superior siccus est, inferior contrario modo afficiatur, et, si hic siccus, superior humidus sit, ita et in locis exhalationes vicissim se circumstent et commutentur. 16. Praeterea post imbrem flatus iis in locis, in quos imbrem delabi contingit, plurimum exsistunt, iidemque superveniente aqua desinunt. 17. Haec enim ob ea, quae tradita sunt, principia eveniant necesse est. Terra namque post delapsam pluviam a calore partim interno partim superno siccitate affecta halitum reddit, qui venti est corpus. Et cum secretio eius modi exstiterit, venti etiam valent, quibus conquiescentibus, propterea quod calor semper secernitur et in superum locum conscendit, vapor refrigeratus cogitur et in aquam mutatur. 18. Ac quoties eundem in locum nubes compulsae sunt, ac frigus circumdans eas comprimit, oritur aqua, halitumque siccum refrigerat. Has igitur ob causas venti aquis exorientibus sedantur, et illis sedatis exoriuntur. 19. Quin

τε τῆς ἄρκτου καὶ μεσημβρίας τὸ αὐτὸ αἴτιον· πλεῖστοι γὰρ
20 βορέαι καὶ νότοι γίνονται τῶν ἀνέμων. 20. Ὁ γὰρ ἥλιος
τούτους μόνους οὐκ ἐπέρχεται τοὺς τόπους, ἀλλὰ πρὸς τού-
τους καὶ ἀπὸ τούτων, ἐπὶ δυσμὰς δὲ καὶ ἀνατολὰς ἀεὶ φέρε-
ται· διὸ τὰ νέφη συνίσταται ἐκ τοῖς πλαγίοις, καὶ γίνεται
προσίοντος μὲν ἧ ἀναθυμίασις τοῦ ὑγροῦ, ἀπιόντος δὲ πρὸς
21 τὸν ἐναντίον τόπον ὕδατα καὶ χειμῶνες. 21. Διὰ μὲν οὖν
τὴν φορὰν τὴν ἐπὶ τροπὰς καὶ ἀπὸ τροπῶν θέρος τε γίνεται
καὶ χειμῶν, καὶ ἀνάγεταί τε ἄνω τὸ ὕδωρ καὶ γίνεται πάλιν.
22 22. Ἐπεὶ δὲ πλεῖστον μὲν καταβαίνει τὸ ὕδωρ ἐν τούτοις
τοῖς τόποις, ἐφ' οὓς τρέπεται καὶ ἀφ' ὧν, οὗτοι δ' εἰσὶν ὅ τε
πρὸς ἄρκτον καὶ μεσημβρίαν, ὅπου δὲ πλεῖστον ὕδωρ ἡ γῆ
δέχεται, ἐνταῦθα πλείστην ἀναγκαῖον γίνεσθαι τὴν ἀναθυμία-
σιν παραπλησίως οἷον ἐκ χλωρῶν ξύλων καπνόν (ἡ δ' ἀναθυ-
μίασις αὕτη ἄνεμός ἐστιν) εὐλόγως ἂν οὖν ἐντεῦθεν γίνοιτο
23 τὰ πλεῖστα καὶ κυριώτατα τῶν πνευμάτων. 23. Καλεῖται
δ' οἱ μὲν ἀπὸ τῆς ἄρκτου βορέαι, οἱ δ' ἀπὸ τῆς μεσημβρίας
νότοι. ἡ δὲ φορὰ λοξὴ αὐτῶν ἐστίν· περὶ γὰρ τὴν γῆν πνέου-

et eadem causa est, cur tum a septentrionibus, tum a meridie venti potissimum oriuntur. Aquilones enim et austri inter ventos omnes maxime excitantur. 20. Etenim sol haec loca sola non pervadit, sed ad ea pergit, et ab eisdem recedit, ad occasum vero et exortum perpetuo fertur. Quam ob causam nubes ad latera coguntur. Et accedente quidem sole, humida fit exhalatio, ad locum autem contrarium abeunte, aqua et hiems. 21. Ob motionem igitur, quae ad conversiones et a conversionibus est, aestas fit et hiems, aqua sursum educitur ac rursus generatur. 22. Quoniam autem plurimum aquae in his locis descendit, ad quae et a quibus convertitur (haec autem sunt ad septentriones et ad meridiem) et ubi aquae copiam terra excipit, ibi plurima exhalatio, non aliter atque ex viridi ligno fumus reddatur necesse est (ipsaque exhalatio ventus est), ratione sua evenit, ut plurimi maximeque principes venti inde oriantur. 23. Quorum ii, qui a septentrionibus spirant, aquilones, qui a meridie austri nominantur. Quorum motus

σιν εἰς ὀρθὸν γινομένης τῆς ἀναθυμιάσεως, ὅτι πᾶς ὁ κύκλῳ ἀὴρ συνέπεται τῇ φορᾷ. 24. Διὸ καὶ ἀπορήσειεν ἄν τις πο- 24
τέρωθεν ἡ ἀρχὴ τῶν πνευμάτων ἐστί, πότερον ἄνωθεν ἢ κάτωθεν· ἡ μὲν γὰρ κίνησις ἄνωθεν καὶ πρὶν πνεῖν, ὁ δ' ἀὴρ ἐπίδηλος, κἂν ᾖ νέφος ἢ ἀχλύς· σημαίνει γὰρ κινουμένην πνεύματος ἀρχὴν πρὶν φανερῶς ἐληλυθέναι τὸν ἄνεμον, ὡς ἄνωθεν αὐτῶν ἐχόντων τὴν ἀρχήν. 25. Ἐπεὶ δ' ἐστὶν ὁ ἄνε- 25
μος πλῆθός τι τῆς ἐκ γῆς ξηρᾶς ἀναθυμιάσεως κινούμενον περὶ τὴν γῆν, δῆλον ὅτι τῆς μὲν κινήσεως ἡ ἀρχὴ ἄνωθεν, τῆς δ' ὕλης καὶ τῆς γενέσεως κάτωθεν· ᾗ μὲν γὰρ ῥεῦσεῖται τὸ ἀνιόν, ἐκεῖθεν τὸ αἴτιον· ἡ γὰρ φορὰ τῶν πορρωτέρω κυρία τῆς γῆς· καὶ ἅμα κάτωθεν μὲν εἰς ὀρθὸν ἀναφέρεται, καὶ πᾶν ἰσχύει μᾶλλον ἐγγύς, ἡ δὲ τῆς γενέσεως ἀρχὴ δῆλον ὡς ἐκ τῆς γῆς ἐστίν. 26. Ὅτι δ' ἐκ πολλῶν ἀναθυμιάσεων 26
συνιουσῶν κατὰ μικρόν, ὥσπερ αἱ τῶν ποταμῶν πηγαὶ γίνονται νοτιζούσης τῆς γῆς, δῆλον καὶ ἐπὶ τῶν ἔργων· ὅθεν γὰρ ἑκάστοτε πνέουσιν, ἐλάχιστοι πάντες εἰσί, προϊόντες δὲ καὶ

obliquus est. Quando enim exhalatio recta adscendit, circa terram spirant, quando circumfusus omnis aër conversionem consequitur. 24. Quocirca et in dubium quis revocaverit, undenam ventorum principium est e superone loco an ex infero. Motus enim e supero est, et antequam spirant, illustratus aër, etiam si nubilus, aut caliginosus fuerit. Nam priusquam ventus manifeste venit, flatus principium moveri significat, tamquam desuper habeant principium. 25. Quoniam autem ventus quaedam est exhalationis siccae e terra adscendentis copia, quae circa terram movetur, perspicuum est motionis principium e supero esse: materiae autem et generationis ex infero. Nam qua ex parte id quod adscendit fluet, inde est causa. Conversio enim iis, quae a terra longius distant, propria, ac simul ex infero loco recta effertur, cunctaque plus virium habent, cum in propinquo sunt. Ortus autem principium constat ex terra esse. 26. Multis porro exhalationibus paulatim coëuntibus eos existere, non aliter atque amnium fontes terra humorem scaturiente fiunt, re etiam ipsa perspicuum est. Unde

27 πόρρω λαμπροὶ πνέουσιν. 27. Ἔτι δὲ καὶ τὰ περὶ τὴν ἄρκτον ἐν τῷ χειμῶνι νήνεμα καὶ ἄπνοα, κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον· ἀλλὰ τὸ κατὰ μικρὸν ἀποπνέον καὶ λανθάνον ἔξω
28 προϊὸν ἤδη πνεῦμα γίνεται λαμπρόν. 28. Τίς μὲν οὖν ἐστιν ἡ τοῦ ἀνέμου φύσις καὶ πῶς γίνεται, ἔτι δ' αὐχμῶν τε πέρι καὶ ἐπομβρίας, καὶ διὰ τίν' αἰτίαν καὶ παύονται καὶ γίνονται μετὰ τοὺς ὄμβρους, διὰ τί τε βορέαι καὶ νότοι πλεῖστοι τῶν ἀνέμων εἰσίν, εἴρηται· πρὸς δὲ τούτοις καὶ περὶ τῆς φορᾶς αὐτῶν.

1 V. Ὁ δ' ἥλιος καὶ παύει καὶ συνεξορμᾷ τὰ πνεύματα· ἀσθενεῖς μὲν γὰρ καὶ ὀλίγας οὔσας τὰς ἀναθυμιάσεις μαραίνει τῷ πλείονι θερμῷ τὸ ἐν τῇ ἀναθυμιάσει ἔλαττον ὄν, καὶ διακρίνει. ἔτι δ' αὐτὴν τὴν γῆν φθάνει ξηραίνων πρὶν γενέσθαι ἔκκρισιν ἀθρόαν, ὥσπερ εἰς πολὺ πῦρ ἐὰν ὀλίγον ἐμπέσῃ ὑπέκκαυμα, φθάνει πολλάκις πρὶν καπνὸν ποιῆσαι κατα-
2 καυθέν. 2. Διὰ μὲν οὖν ταύτας τὰς αἰτίας καταπαύει τε τὰ πνεύματα καὶ ἐξ ἀρχῆς γίνεσθαι κωλύει, τῇ μὲν μαράνσει καταπαύων, τῷ δὲ τάχει τῆς ξηρότητος γίνεσθαι κωλύων·

enim quisque spirat, ibi omnes minimi sentiantur: progredientes autem longius illustriores spirant. 27. Praeterea loca ad septentriones sita per hiemem tranquilla sunt et a flatibus libera. Sed quod sensim spirat ac latet, id ubi ultra progreditur, ventus iam illustris evadit. 28. Quae igitur venti sit natura et quonam modo oriatur, praeterea de siccitate et pluvia, quasve ob causas post pluviam et sedentur et fiant, cur praeterea aquilones et austri plurimi inter ventos spirent, denique de eorum motione diximus.

Cap. V. Sol autem ventos et sedat et ciet. Nam exhalationes, quae debiles sunt et paucae, tabefacit, et ampliore suo calore minorem eum, qui in exhalatione est, dissipat. Ipsam quoque terram prius exsiccat, quam in unum collectio secreta orta sit, non secus ac si in magnum ignem materia combustioni idonea exigua inciderit, antea saepe deuritur, quam fumum edat. 2. Ob has igitur causas et ventos sedat et quominus initio exoriantur, prohibet: hanc quidem consumtione sedans,

διὸ περὶ Ὠρίωνος ἀνατολὴν μάλιστα γίνεται νηνεμία καὶ μέχρι τῶν ἐτησίων καὶ προδρόμων. 3. Ὅλως δὲ γίνονται αἱ νηνε- 3
μίαι διὰ δύ' αἰτίας· ἢ γὰρ διὰ ψῦχος ἀποσβεννυμένης τῆς ἀναθυμιάσεως, οἷον ὅταν γένηται πάγος ἰσχυρός, ἢ καταμαραινομένης ὑπὸ τοῦ πνίγους. αἱ δὲ πλεῖσται καὶ ἐν ταῖς ἀνὰ μέσον ὥραις, ἢ τῷ μήπω ἀναθυμιᾶσθαι, ἢ τῷ ἤδη ἐξεληλυθέναι τὴν ἀναθυμίασιν καὶ ἄλλην μήπω ἐπιρρεῖν. 4. Ἄκριτος 4
δὲ καὶ χαλεπὸς ὁ Ὠρίων εἶναι δοκεῖ, καὶ δύνων καὶ ἐπιτέλλων, διὰ τὸ ἐν μεταβολῇ ὥρας συμβαίνειν τὴν δύσιν καὶ τὴν ἀνατολήν, θέρους ἢ χειμῶνος, καὶ διὰ τὸ μέγεθος τοῦ ἄστρου ἡμερῶν γίνεταί τι πλῆθος· αἱ δὲ μεταβολαὶ πάντων ταραχώδεις διὰ τὴν ἀοριστίαν εἰσίν. 5. Οἱ δ' ἐτησίαι πνέουσι μετὰ 5
τροπὰς καὶ κυνὸς ἐπιτολήν, καὶ οὔτε τηνικαῦτα ὅτε πλησιάζει μάλιστα ὁ ἥλιος, οὔτε ὅτε πόρρω· καὶ τὰς μὲν ἡμέρας πνέουσι, τὰς δὲ νύκτας παύονται. αἴτιον δ' ὅτι πλησίον μὲν ὢν φθάνει ξηραίνων πρὶν γενέσθαι τὴν ἀναθυμίασιν. 6. Ὅταν 6
δ' ἀπέλθῃ μικρόν, σύμμετρος ἤδη γίνεται [ἡ ἀναθυμίασις καὶ] ἡ θερμότης, ὥστε τὰ πεπηγότα ὕδατα τήκεσθαι, καὶ τῆς γῆς

illam vero exsiccationis celeritate gigni prohibens. Quocirca in Orionis ortu, usque ad Etesias et Prodromos tranquillitas aëris maxime oritur. 3. Omnino autem malacia duabus de causis fit: aut enim prae frigore, quod exhalationem exstinguat, ut cum gelu vehemens sit, aut cum ab aestu consumitur: frequenter vero et mediis temporibus, aut quia nondum exhalatio reddita est, aut quod iam evanuit, nondumque alia affluxit. 4. Orion autem et cum occidit et cum oritur, incertus difficilisque est, quod in temporis aestatis hiemisve variatione eius occasus ortusque accidant idque propter sideris magnitudinem diebus multis perdurat. Omnium autem mutationes quoniam sunt inde terminatae, turbulentae sunt. 5. Etesiae vero post solstitium et circa Canis exortum spirant, non cum sol maxime aut propinquus est aut remotus, et interdiu quidem flant, noctu autem desinunt. Cuius rei causa est, quod cum prope adest, antea exsiccat, quam exhalatio oriri potest. 6. Cum autem paululum recessit, moderatus iam calor gignitur, ita ut aquae gelu

ξηραινομένης ὑπό τε τῆς οἰκείας θερμότητος καὶ ὑπὸ τῆς τοῦ ἡλίου οἷον τύφεσθαι καὶ θυμιᾶσθαι, τῆς δὲ νυκτὸς λωφῶσι διὰ τὸ τὰ πεπηγότα τηκόμενα παύεσθαι δια τὴν ψυχρότητα τῶν νυκτῶν. θυμιᾶται δ' οὔτε τὸ πεπηγὸς οὔτε τὸ μηδὲν ἔχον ξηρόν, ἀλλ' ὅταν ἔχῃ τὸ ξηρὸν ὑγρότητα, τοῦτο θερμαινόμε-
7 νον θυμιᾶται. 7. Ἀποροῦσι δέ τινες διὰ τί βορέαι μὲν γίνονται συνεχεῖς, οὓς καλοῦμεν ἐτησίας, μετὰ τὰς θερινὰς τροπάς, νότοι δ' οὕτως οὐ γίνονται μετὰ τὰς χειμερινάς. ἔχει δ' οὐκ ἀλόγως· γίνονται μὲν γὰρ οἱ καλούμενοι λευκόνοτοι τὴν ἀντικειμένην ὥραν, οὐχ οὕτως δὲ γίνονται συνεχεῖς, διὸ λανθά-
8 νοντες ποιοῦσιν ἐπιζητεῖν. 8. Αἴτιον δ' ὅτι ὁ μὲν βορέας ἀπὸ τῷ ὑπὸ τὴν ἄρκτον πνεῖ τόπων, οἳ πλήρεις ὕδατος καὶ χιόνος εἰσὶ πολλῆς, ὧν τηκομένων ὑπὸ τοῦ ἡλίου μετὰ τὰς θερινὰς τροπὰς μᾶλλον ἢ ἐπ' αὐταῖς πνέουσιν οἱ ἐτησίαι· οὕτω γὰρ καὶ τὰ πνίγη γίνεται, οὐχ ὅταν μάλιστα πλησιάζῃ πρὸς ἄρκτον, ἀλλ' ὅταν πλείων μὲν ᾖ χρόνος θερμαίνοντι, ἔτι δ'
9 ἐγγύς. 9. Ὁμοίως δὲ καὶ μετὰ τὰς χειμερινὰς τροπὰς πνέου-

concretae colliquescant, ac terra tum suo tum solis calore exsiccata veluti in fumum halitumque abeat. Noctu autem cessant, quoniam quae conglaciata sunt, prae noctium frigore desinant liquari. Nihil vero, neque quod gelu constrictum sit, neque quod siccitatem ullam non habeat, halitum reddit: sed quod humorem cum siccitate coniunctum continet; quod ubi incalescit, exhalationem mittit. 7. Sed dubitant quidam, cur aquilones quos Etesias nominamus, post solstitium aestivum continenter spirant, austri vero post brumales non oriuntur. Id vero non absque ratione evenit. Tempore enim contrario his qui Leuconoti appellantur, oriuntur quidem, non ita tamen continenter perflant. 8. Causa autem est, quod aquilo a locis, quae sub Septentrione sunt, spirat: quae loca aquae ac nivis multae sunt plena, quibus a sole liquatis post conversiones aestivas magis, quam in iis, Etesiae spirant. Ita enim et aestus fiunt, non cum maxime ad septentriones accessit, sed cum longiore tempore calefecit, propinquusque etiam fuit. 9. Eodem modo et post conversiones brumales Ornithiae perflant. Sunt enim et

σιν οἱ ὀρνιθίαι· καὶ γὰρ οὗτοι ἐτησίαι εἰσὶν ἀσθενεῖς· ἐλάττους δὲ καὶ ὀψιαίτεροι τῶν ἐτησίων πνέουσιν· ἑβδομηκοστῇ γὰρ ἄρχονται πνεῖν διὰ τὸ πόρρω ὄντα τὸν ἥλιον ἐνισχύειν ἧττον. οὐ συνεχεῖς δ' ὁμοίως πνέουσι, διότι τὰ μὲν ἐπιπολῆς καὶ ἀσθενῆ τότε ἀποκρίνεται, τὰ δὲ μᾶλλον πεπηγότα πλείονος δεῖται θερμότητος. διὸ διαλείποντες οὗτοι πνέουσιν, ἕως ἂν ἐπὶ τροπαῖς πάλιν ταῖς θεριναῖς πνέωσιν οἱ ἐτησίαι, ἐπεὶ θέλει γ' ὅτι μάλιστα συνεχῶς ἐντεῦθεν ἀεὶ πνεῖν ἄνεμος. 10. Ὁ 10 δὲ νότος ἀπὸ τῆς θερινῆς τροπῆς πνεῖ, καὶ οὐκ ἀπὸ τῆς ἑτέρας ἄρκτου. δύο γὰρ ὄντων τμημάτων τῆς δυνατῆς οἰκεῖσθαι χώρας, τῆς μὲν πρὸς τὸν ἄνω πόλον τὸν καθ' ἡμᾶς, τῆς δὲ πρὸς τὸν ἕτερον καὶ πρὸς μεσημβρίαν, καὶ οὔσης οἷον τυμπάνου· τοιοῦτον γὰρ σχῆμα τῆς γῆς ἐκτέμνουσιν αἱ ἐκ τοῦ κέντρου αὐτῆς ἀγόμεναι γραμμαί, καὶ ποιοῦσι δύο κώνους, τὸν μὲν ἔχοντα βάσιν τὸν τροπικόν, τὸν δὲ τὸν διὰ παντὸς φανερόν, τὴν δὲ κορυφὴν ἐπὶ τοῦ μέσου τῆς γῆς. 11. Τὸν 11 αὐτὸν δὲ τρόπον πρὸς τὸν κάτω πόλον ἕτεροι δύο κῶνοι τῆς γῆς ἐκτμήματα ποιοῦσιν. ταῦτα δ' οἰκεῖσθαι μόνα δυνατά,

hi Etesiae imbecilles, minores vero et tardius quam Etesiae spirant. Septuagesimo namque die flare incipiunt, propterea quod abest Sol, isque procul minus virium habeat: haud vero aeque continui spirant, quoniam quae in summa telluris parte exstant, eaque imbecilla, tum secernuntur: quae vero gelu magis sunt adstricta, uberiorem calorem requirunt. Quocirca per intervalla hi spirant, donec rursus in conversionibus aestivis Etesiae perflant, quandoquidem ab eo inde tempore semper ventus, quam maxime constanter spirat. 10. Auster autem ab aestiva spirat conversione, non ab altera ursa. Nam terrae habitabilis segmenta duo sunt, unum ad superum nostrum polum, alterum ad alterum et ad meridiem, eaque tympani speciem habent. Talem enim terrae figuram lineae ab eius centro ductae dissecant, duosque conos efficiunt, quorum unus tamquam basin habet tropicum, alter eum, qui semper conspicuus, circulum, atque in terrae centro verticem. 11. Eodemque modo ad inferum polum duo alii coni terrae sectiones efficiunt. Haec

καὶ οὔτ' ἐπέκεινα τῶν τροπῶν· σκιὰ γὰρ οὐκ ἀεὶ ἂν ἦν πρὸς ἄρκτον, νῦν δ' ἀοίκητοι πρότερον γίνονται οἱ τόποι πρὶν ἢ ὑπολείπειν ἢ μεταβάλλειν τὴν σκιὰν πρὸς μεσημβρίαν· τὰ δ' 12 ὑπὸ τὴν ἄρκτον ὑπὸ ψύχους ἀοίκητα. 12. Φέρεται δὲ καὶ ὁ στέφανος κατὰ τοῦτον τὸν τόπον· φαίνεται γὰρ ὑπὲρ κεφα- 13 λαῖς γινόμενος ἡμῖν, ὅταν ᾖ κατὰ τὸν μεσημβρινόν. 13. Διὸ καὶ γελοίως γράφουσι νῦν τὰς περιόδους τῆς γῆς· γράφουσι γὰρ κυκλοτερῆ τὴν οἰκουμένην, τοῦτο δ' ἐστὶν ἀδύνατον κατά τε τὰ φαινόμενα καὶ κατὰ τὸν λόγον. ὅ τε γὰρ λόγος δείκνυ- σιν ὅτι ἐπὶ πλάτος μὲν ὥρισται, τὸ δὲ κύκλῳ συνάπτειν ἐν- δέχεται διὰ τὴν κρᾶσιν (οὐ γὰρ ὑπερβάλλει τὰ καύματα καὶ τὸ ψῦχος κατὰ μῆκος, ἀλλ' ἐπὶ πλάτος, ὥστ' εἰ μή που κω- λύει θαλάττης πλῆθος ἅπαν εἶναι πορεύσιμον) καὶ κατὰ τὰ 14 φαινόμενα περί τε τοὺς πλοῦς καὶ τὰς πορείας. 14. Πολὺ γὰρ τὸ μῆκος διαφέρει τοῦ πλάτους. τὸ γὰρ ἀπὸ Ἡρακλείων στη- λῶν μέχρι τῆς Ἰνδικῆς τοῦ ἐξ Αἰθιοπίας πρὸς τὴν Μαιῶτιν καὶ τοὺς ἐσχατεύοντας τῆς Σκυθίας τόπους πλέον ἢ πέντε πρὸς

vero sola inhabitari possunt, non ea, quae ultra tropicos habentur: non enim semper ad septentriones umbra exsistit: nunc vero loca inhabitabilia prius redduntur, quam aut deficiat aut ad meridiem umbra mutetur. Quae autem sunt sub septentrionibus, prae frigore habitari nequeunt. 12. Fertur et corona per hunc locum. Apparet enim nobis supra capite, cum in circulo est meridionali. 13. Quocirca nunc terrae circuitus ridicule describuntur. Habitabilem enim terram in orbem pingunt, quod tam ex apparentibus, tum ex ratione fieri nequit. Eam enim latitudine terminatam esse, ratio ostendit: circulo autem ob temperiem coniungi potest, (quandoquidem in latitudinem aestus et frigora exsuperant, non in longitudinem: quamobrem pervia tota est, nisi mare alicubi prohibeat); quin et ea, quae ex navigationibus itineribusque apparent. 14. Longitudo enim latitudinem multum excellit. Nam quod ab Herculis columnis ad terram usque Indicam porrigitur, id quod ab Aethiopia usque ad Maeotim et extremos Scythiae terminos pertingit, maiori superat ratione, quam quinque

τρία τὸ μέγεθός ἐστιν, ἐάν τις τούς τε πλοῦς λογίζηται καὶ τὰς ὁδούς, ὡς ἐνδέχεται λαμβάνειν τῶν τοιούτων τὰς ἀκριβείας. 15. Καίτοι ἐπὶ πλάτος μὲν μέχρι τῶν ἀοικήτων ἴσμεν τὴν οἰκουμένην· ἔνθα μὲν γὰρ διὰ ψῦχος οὐκέτι κατοικοῦσιν, ἔνθα δὲ διὰ τὴν ἀλέαν. τὰ δὲ τῆς Ἰνδικῆς ἔξω καὶ τῶν στηλῶν τῶν Ἡρακλείων διὰ τὴν θάλατταν οὐ φαίνεται συνείρειν, τῷ συνεχῶς εἶναι πᾶσαν οἰκουμένην. 16. Ἐπεὶ δ' ὁμοίως ἔχειν ἀνάγκη τόπον τινὰ πρὸς τὸν ἕτερον πόλον ὥσπερ ὃν ἡμεῖς οἰκοῦμεν πρὸς τὸν ὑπὲρ ἡμῶν, δῆλον ὡς ἀνάλογον ἕξει τὰ τ' ἄλλα καὶ τῶν πνευμάτων ἡ στάσις· ὥστε καθάπερ ἐνταῦθα βορέας ἐστί, κἀκείνοις ἀπὸ τῆς ἐκεῖ ἄρκτου τις ἄνεμος οὕτως ὤν, ὃν οὐθὲν δυνατὸν διήκειν δεῦρο, ἐπεὶ οὐδ' ὁ βορέας οὗτος εἰς τὴν ἐνταῦθα οἰκουμένην πᾶσάν ἐστι. 17. Ἔστι γὰρ ὥσπερ ἀπόγειον τὸ πνεῦμα τὸ βόρειον, ἕως ὁ βορέας οὗτος εἰς τὴν ἐνταῦθα οἰκουμένην πνεῖ. ἀλλὰ διὰ τὸ τὴν οἴκησιν κεῖσθαι ταύτην πρὸς ἄρκτον, πλεῖστοι βορέαι πνέουσιν. 18. Ὅμως δὲ καὶ ἐνταῦθα ἐλλείπει καὶ οὐ δύναται πόρρω διή- 15 15 16 16 17 17 18 18

habent ad tria, si quis tam navigationes, quam terrestria itinera, quatenus talium certitudo sumi potest, mensus computaverit. 15. Atque habitabilem terram usque ad loca inhabitabilia in latitudinem novimus. Hic enim prae frigore, illic prae aestu habitari nequit. Quae vero ultra Indiam et columnas Herculis sita sunt, propter mare continuari, ita ut habitabilis tota continens sit, non videntur. 16. Quoniam autem necesse est, quendam locum ad alterum polum esse, qui eam ad illum rationem habeat, quam is, quem incolimus, ad eum qui supra nos est, habet, perspicuum est, ut caetera alia, ita ventorum quoque statum eadem proportione respondere. Quare ut nobis aquilo, sic et illis ventus quidem ab ea, quae illic est, ursa exsistit, qui huc penetrare non potest, quandoquidem neque hic aquilo totam, quae apud nos est, habitabilem terram pervadit. 17. Aquilonius enim flatus ceu abterraneus est: sed quoniam habitatio nostra versus septentriones posita est, aquilones plurimi spirant. 18. Quamquam et apud nos deficit, et longe progredi non potest. Nam in mari australi, quod extra Africam porri-

κειν, ἐπεὶ περὶ τὴν ἔξω Λιβύης θάλατταν τὴν νοτίαν, ὥσπερ ἐνταῦθα οἱ βορέαι καὶ οἱ νότοι πνέουσιν, οὕτως ἐκεῖ εὖροι
19 καὶ ζέφυροι διαδεχόμενοι συνεχεῖς ἀεὶ πνέουσιν. 19. Ὅτι μὲν οὖν νότος οὐκ ἐστιν ὁ ἀπὸ τοῦ ἑτέρου πόλου πνέων ἄνεμος δῆλον, ἐπεὶ οὔτ' ἐκεῖνος οὐθ' ὁ ἀπὸ χειμερινῆς τροπῆς· δέοι γὰρ ἂν ἄλλον ἀπὸ θερινῆς εἶναι τροπῆς· οὕτω γὰρ τὸ ἀνάλογον ἀποδώσει. νῦν δ' οὐκ ἔστιν. εἷς γὰρ μόνος φαίνεται πνέων ἐκ τῶν ἐκεῖθεν τόπων ὥστ' ἀνάγκη τὸν ἀπὸ τοῦ κατα-
20 κεκαυμένου τόπου πνέοντα ἄνεμον εἶναι νότον. 20. Ἐκεῖνος δ' ὁ τόπος διὰ τὴν τοῦ ἡλίου γειτνίασιν οὐκ ἔχει ὕδατα καὶ νομάς, αἳ διὰ τὴν πῆξιν ποιήσουσιν ἐτησίας. ἀλλὰ διὰ τὸ τὸν τόπον εἶναι πολὺ πλείω ἐκεῖνον καὶ ἀναπεπταμένον, μείζων καὶ πλείων καὶ μᾶλλον ἀλεεινὸς ἄνεμος ὁ νότος ἐστὶ τοῦ βορέου, καὶ
21 διήκει μᾶλλον δεῦρο ἢ οὗτος ἐκεῖ. 21. Τίς μὲν οὖν αἰτία τούτων ἐστὶ τῶν ἀνέμων, καὶ πῶς ἔχουσι πρὸς ἀλλήλους, εἴρηται.

1 VI. Περὶ δὲ θέσεως αὐτῶν, καὶ τίνες ἐναντίοι τίσι, καὶ πόλους ἅμα πνεῖν ἐνδέχεται καὶ πόλους οὔ, ἔτι δὲ τίνες καὶ πόσοι τυγχάνουσιν ὄντες, καὶ πρὸς τούτοις περὶ τῶν ἄλλων

gitur, ut hic aquilones et austri, ita illic Vulturnus et Favonius vicissim semper sibi succedentes continenter spirant. 19. Perspicuum igitur est, non ab altero polo austrum spirare, quoniam neque is est, neque etiam ille, qui a conversionibus brumalibus spirat. Alium enim ab aestiva conversione esse oporteret, ut rationis aequalitas provocaretur. Nunc autem nullus est, quippe cum unus tantum ex illis locis spirare videatur. Qua re necesse est eum ventum, qui ex locis adustis flat, austrum esse. 20. Locus autem ille propter solis propinquitatem aquas non habet, aut pabulum quod liquefactum Etesias excitare posset. At quoniam locus ille multo amplior est, et longe lateque patet, auster maior et crebrior, calidiorque est, quam aquilo, magisque huc quam hic illuc solet pervenire. 21. Quaenam igitur horum ventorum causa sit, et quemadmodum se invicem habeant, dictum est.

Cap. VI. De situ autem eorum et qui contrarii sint, quosve simul flare contingat, et quos non simul, tum quales et

παθημάτων ὅσα μὴ συμβέβηκεν ἐν τοῖς προβλήμασιν ἰδίᾳ τοῖς κατὰ μέρος, νῦν λέγωμεν. 2. Δεῖ δὲ περὶ τῆς θέσεως 2
ἅμα τοὺς λόγους ἐκ τῆς ὑπογραφῆς θεωρεῖν. γέγραπται μὲν
οὖν, τοῦ μᾶλλον εὐσήμως ἔχειν, ὁ τοῦ ὁρίζοντος κύκλος· διὸ
καὶ στρογγύλος· δεῖ δὲ νοεῖν αὐτοῦ τὸ ἕτερον ἔκτμημα τὸ ὑφ'
ἡμῶν οἰκούμενον· ἔσται γὰρ κἀκεῖνο διελεῖν τὸν αὐτὸν τρόπον.
3. Ὑποκείσθω δὲ πρῶτον ἐναντία κατὰ τόπον εἶναι τὰ πλεῖ- 3
στον ἀπέχοντα κατὰ τόπον, ὥσπερ κατ' εἶδος ἐναντία τὰ
πλεῖστον ἀπέχοντα κατὰ τὸ εἶδος. πλεῖστον δ' ἀπέχει κατὰ
τόπον τὰ κείμενα πρὸς ἄλληλα κατὰ διάμετρον. 4. Ἔστω 4
οὖν τὸ μὲν ἐφ' ᾧ *A* δυσμὴ ἰσημερινή, ἐναντίος δὲ τούτῳ τό-
πος, ἐφ' οὗ τὸ *B*, ἀνατολὴ ἰσημερινή· ἄλλη δὲ διάμετρος
ταύτην πρὸς ὀρθὴν τέμνουσα, ἧς τὸ ἐφ' οὗ *H*, ἔστω ἄρκτος·
τούτῳ δ' ἐναντίον ἐξ ἐναντίας, τὸ ἐφ' οὗ *Θ*, μεσημβρία· τὸ
δ' ἐφ' οὗ *Z* ἀνατολὴ θερινή, τὸ δ' ἐφ' οὗ *E* δυσμὴ θερινή,
τὸ δ' ἐφ' οὗ *Δ* ἀνατολὴ χειμερινή, τὸ δ' ἐφ' οὗ *Γ* δυσμὴ
χειμερινή. ἀπὸ δὲ τοῦ *Z* ἤχθω διάμετρος ἐπὶ τὸ *Γ* καὶ ἀπὸ
τοῦ *Δ* ἐπὶ τὸ *E*. 5. Ἐπεὶ οὖν τὰ μὲν πλεῖστον ἀπέχοντα 5

quot sint, deque caeteris affectionibus, quae in Problematis particulariter expositae non sunt, nunc dicamus. 2. Situs autem rationes ex descriptione contemplari oportet. Ut igitur res clarior evadat, finitor circulus, ob eamque causam rotundus describatur. Alterum autem ipsius segmentum, quod a nobis habitatur, animo concipiendum est, quandoquidem et illud eodem modo dividere licebit. 3. Id vero primum ponatur, contraria loco esse, quae loco plurimum distant, quemadmodum contraria specie ea sunt, quae specie plurimum differunt. Ea autem plurimum loco disiunguntur, quae per diametrum e regione sunt posita. 4. Sit igitur *A* occasus aequinoctialis. Huic contrarius locus *B* ortus aequinoctialis. Alia autem diametrus hanc ad rectos angulos secans, cuius *H* sit ursa, hoc est septentrio. Huic vero contrarium *Θ*, id est meridies. *Z* sit ortus aestivus, *E* occasus aestivus: *Δ* ortus brumalis, *Γ* occasus hibernus. A *Z* vero ad *Γ* diametrus ducatur, itemque a *Δ* ad *E*. 5. Quoniam igitur, quae loco plurimum distant, loco sunt con-

κατὰ τόπον ἐναντία κατὰ τόπον, πλεῖστον δ' ἀπέχει τὰ κατὰ διάμετρον, ἀναγκαῖον καὶ τῶν πνευμάτων ταῦτα ἀλλήλοις ἐναν-
6 τία εἶναι, ὅσα κατὰ διάμετρόν ἐστιν. 6. Καλεῖται δὲ κατὰ τὴν θέσιν τῶν τόπων τὰ πνεύματα ὧδε· ζέφυρος μὲν τὸ ἀπὸ τοῦ *A*· τοῦτο γὰρ δυσμὴ ἰσημερινή. ἐναντίος δὲ τούτῳ ἀπηλιώτης ἀπὸ τοῦ *B*· τοῦτο γὰρ ἀνατολὴ ἰσημερινή. βορέας δὲ καὶ ἀπαρκτίας ἀπὸ τοῦ *H*· ἐνταῦθα γὰρ ἡ ἄρκτος· ἐναντίος δὲ τούτῳ νότος ἀπὸ τοῦ *Θ*· μεσημβρία τε γὰρ αὕτη ἀφ' ἧς πνεῖ, καὶ τὸ *Θ*
7 τῷ *H* ἐναντίον· κατὰ διάμετρον γάρ. 7. Ἀπὸ δὲ τοῦ *Z* καικίας· αὕτη γὰρ ἀνατολὴ θερινή. ἐναντίος δ' οὐχ ὁ ἀπὸ τοῦ *E* πνέων, ἀλλ' ὁ ἀπὸ τοῦ *Γ* λίψ. οὗτος γὰρ ἀπὸ δυσμῆς χειμερινῆς πνεῖ, ἐναντίος δὲ τούτῳ· κατὰ διάμετρον γὰρ κεῖται. ὁ δὲ ἀπὸ τοῦ *Δ* εὖρος· οὗτος γὰρ ἀπ' ἀνατολῆς χειμερινῆς πνεῖ, γειτνιῶν τῷ νότῳ, διὸ καὶ πολλάκις εὐρόνοτοι λέγονται πνεῖν. ἐναντίος δὲ τούτῳ οὐχ ὁ ἀπὸ τοῦ *Γ* λίψ, ἀλλ' ὁ ἀπὸ τοῦ *E*, ὃν καλοῦσιν οἱ μὲν ἀργέστην, οἱ δ' ὀλυμπίαν, οἱ δὲ σκίρωνα· οὗτος γὰρ ἀπὸ δυσμῆς θερινῆς πνεῖ, καὶ κατὰ διά-
8 μετρον αὐτῷ κεῖται μόνος. 8. Οὗτοι μὲν οὖν οἱ κατὰ διάμε-

traria: quae autem ex diametro opponuntur, plurimum distant, necesse est et ventos, qui per diametrum positi sunt, inter sese esse contrarios. 6. Ita vero ex locorum situ flatus appellantur. Zephyrus quidem, id est Favonius ab *A*; occasus enim aequinoctialis hic est. Huic contrarius Apeliotes id est Subsolanus a *B*: hic namque ortus est aequinoctialis. Boreas vero et Aparctias, hoc est aquilo et septentrio, ab *H*, siquidem ibi ursa est. Contrarius huic auster a *Θ*: meridies enim est unde spirat et *Θ* ipsi *H* adversatur, cum per diametrum posita sint. 7. A *Z* autem Caecias: ortus enim aestivus ille est. Contrarius autem illi est, non qui ab *E* spirat, sed qui a *Γ*, Africus, quippe cum ab occasu brumali spiret, atque hic illi adversetur, cum per diametrum distet. Eurus, id est Vulturnus, a *Δ*, a brumali enim ortu spirat, Austro vicinus: ob idque Euronoti dicuntur saepius spirare. Huic autem contrarius est, non qui a *Γ* Africus, sed qui ab *E*, quem alii Argesten, alii Olympiam, alii Scirona vocant. Hic enim ab occasu flat

τρόν τε κείμενοι ἄνεμοι, καὶ οἷς εἰσὶν ἐναντίοι· ἕτεροι δ' εἰσὶ καθ' οὓς οὐκ ἔστιν ἐναντία πνεύματα. ἀπὸ μὲν γὰρ τοῦ *I*, ὃν καλοῦσι Θρασκίαν· οὗτος γὰρ μέσος ἀργέστου καὶ ἀπαρκτίου· ἀπὸ δὲ τοῦ *K*, ὃν καλοῦσι μέσην· οὗτος γὰρ μέσος καικίου καὶ ἀπαρκτίου. ἡ δὲ τοῦ *IK* διάμετρος βούλεται μὲν κατὰ τὸν διὰ παντὸς εἶναι φαινόμενον, οὐκ ἀκριβοῖ δέ. 9. Ἐναντία 9
δὲ τούτοις οὐκ ἔστι τοῖς πνεύμασιν, οὔτε τῷ Θρασκίᾳ, οὔτε τῷ μέσῃ (ἔπνει γὰρ ἄν τις ἐφ' οὗ τὸ *M*· τοῦτο γὰρ κατὰ διάμετρον), οὔτε τῷ *I*, τῷ Θρασκίᾳ· ἔπνει γὰρ ἂν ἀπὸ τοῦ *N*· τοῦτο γὰρ κατὰ διάμετρον τὸ σημεῖον, εἰ μὴ ἀπ' αὐτοῦ καὶ ἐπ' ὀλίγον πνεῖ τις ἄνεμος, ὃν καλοῦσιν οἱ περὶ τὸν τόπον ἐκεῖνον φοινικίαν. 10. Τὰ μὲν οὖν κυριώτατα καὶ διωρισμένα 10
πνεύματα ταῦτ' ἐστὶ καὶ τοῦτον τέτακται τὸν τρόπον· τοῦ δ' εἶναι πλείους ἀνέμους ἀπὸ τῶν πρὸς ἄρκτον τόπων ἢ τῶν πρὸς μεσημβρίαν αἴτιον τό, τε τὴν οἰκουμένην ὑποκεῖσθαι πρὸς τοῦτον τὸν τόπον, καὶ ὅτι πολλῷ πλεῖον ὕδωρ καὶ χιὼν ἀπωθεῖται εἰς τοῦτο τὸ μέρος διὰ τὸ ἐκεῖν' ὑπὸ τὸν ἥλιον εἶναι

aestivo, solusque per diametrum ei opponitur. 8. Venti igitur, qui per diametrum positi sunt, et quibus alii adversantur, ii sunt. Alii autem sunt, quibus contrarii flatus nulli sunt. Ab *I* enim is quem vocant Thrasciam, inter Argesten et Aparctiam intermedius. Ab ipso autem *K* is, quem Mesen vocant, inter Caeciam et Aparctiam medius. Atque diameter *IK* iuxta circulum semper conspicuum esse solet, haud vero prorsus exacte. 9. His autem flatibus contraria non sunt neque videlicet Mesae (aliquis enim spiraret a puncto *M*, quod per diametrum opponitur), neque Thrasciae in *I*, a *N* enim, quod punctum per diametrum adversum est, spiraret; nisi ab hoc venit, qui tamen non longe progreditur, ventus quidam, quem accolae Phoeniciam vocant. 10. Praecipui igitur definitique venti hi sunt huncque in modum dispositi. Cur autem a locis, quae ad septentrionem posita sunt, plures exoriantur venti, quam ab iis, quae ad meridiem, causa est, quoniam habitabilis terra huic loco subiiciatur, quodque in hanc partem plus aquarum et nivis, quoniam illa soli eiusque motioni subdita sint, depellatur: quibus

καὶ τὴν ἐκείνου φοράν, ὧν τηκομένων εἰς τὴν γῆν καὶ θερμαινομένων ὑπὸ τοῦ ἡλίου καὶ τῆς γῆς ἀναγκαῖον πλείω καὶ ἐπὶ πλείω τόπον γίνεσθαι τὴν ἀναθυμίασιν διὰ ταύτην τὴν
11 αἰτίαν. 11. Ἔστι δὲ τῶν εἰρημένων πνευμάτων βορέας μὲν ὅ, τ' ἀπαρκτίας κυριώτατα, καὶ θρασκίας κοινὸς ἀργέστου καὶ μέσου· ὁ δὲ καικίας κοινὸς ἀπηλιώτου καὶ βορέου· νότος δ' ὅ τε ἰθαγενὴς ὁ ἀπὸ μεσημβρίας καὶ λίψ· ἀπηλιώτης δὲ ὅ τε ἀπ' ἀνατολῆς ἰσημερινῆς καὶ ὁ εὖρος· ὁ δὲ φοινικίας κοινός·
12 ζέφυρος δ' ὅ τε ἰθαγενὴς καὶ ὁ ἀργέστης καλούμενος. 12. Ὅλως δὲ τὰ μὲν βόρεια τούτων καλεῖται, τὰ δὲ νότια. προστίθεται δὲ τὰ μὲν ζεφυρικὰ τῷ βορέᾳ (ψυχρότερα γὰρ διὰ τὸ ἀπὸ δυσμῶν πνεῖν), νότῳ δὲ τὰ ἀπηλιωτικὰ (θερμότερα γὰρ τῷ
13 ἀπ' ἀνατολῆς πνεῖν). 13. Διωρισμένων οὖν τῷ ψυχρῷ καὶ τῷ θερμῷ καὶ ἀλεεινῷ τῶν πνευμάτων οὕτως ἐκάλεσαν. θερμότερα δὲ τὰ ἀπὸ τῆς ἕω τῶν ἀπὸ δυσμῆς, ὅτι πλείω χρόνον ὑπὸ τὸν ἥλιόν ἐστι τὰ ἀπ' ἀνατολῆς· τὰ δ' ἀπὸ δυσμῆς ἀπο-
14 λείπει τε θᾶττον καὶ πλησιάζει τῷ τόπῳ ὀψιαίτερον. 14. Οὕτω

in terram liquescentibus et a sole ac terra calescentibus, necesse est maiorem exhalationis copiam, et in ampliori loco, hanc ob causam oriri. 11. Eorum autem, qui dicti sunt, flatuum Boreas, hoc est, septentrio et aparctias vehementissimi, et Thrascias communis argestae ac mesae: Caecias vero communis aquiloni et subsolano: Auster et is qui verus ac germanus est a meridie spirans, et Africus: Subsolanus tam is qui ab ortu aequinoxiali flat, quam Eurus: Phoenicias autem communis. Favonius tam germanus ille quam qui Argestes vocatur. 12. Omnino vero alii horum Aquilonii nominantur, alii Austrini: ac favonii quidem Aquiloniis accensentur (quia enim ab occasu spirant, frigidiores sunt), austrinis vero Solani (calidiores enim utpote ab ortu spirantes). 13. Ventus igitur frigore et calore atque tempore distinctos hoc modo appellarunt. Porro ea, quae ad ortum pertinent, calidiora sunt illis, quae ad occasum, quod longiore tempore sub sole sunt loca versus orientem sita. Ea vero, quae ad occasum, citius descrit ad eumque locum tardius accedit. 14. Cum autem venti hunc in modum

δὲ τεταγμένων τῶν ἀνέμων, δῆλον ὅτι ἅμα πνεῖν τοὺς μὲν ἐναντίους οὐχ οἷόν τε (κατὰ διάμετρον γάρ. ἄτερος οὖν παύσεται ἀποβιασθείς), τοὺς δὲ μὴ οὕτω κειμένους πρὸς ἀλλήλους οὐθὲν κωλύει, οἷον τὸ Ζ καὶ Δ. διὰ τοῦτο ἅμα πνέουσιν ἐνίοτε ἀμφότεροι οὖριοι, ἐπὶ τὸ αὐτὸ σημεῖον, οὐκ ἐκ τοῦ αὐτοῦ οὐδὲ τῷ αὐτῷ πνεύματι. 15. Κατὰ δὲ τὰς ὥρας τὰς 15
ἐναντίας οἱ ἐναντίοι μάλιστα πνέουσιν, οἷον περὶ ἰσημερίαν τὴν μὲν ἐαρινὴν καικίας καὶ ὅλως τὰ ἐπέκεινα τροπῆς θερινῆς, περὶ δὲ τὴν μετοπωρινὴν λίβες, περὶ δὲ τροπὰς θερινὰς μὲν ζέφυρος, χειμερινὰς δ' εὖρος. 16. Ἐπιπίπτουσι δὲ τοῖς 16
ἄλλοις μάλιστα καὶ παύουσιν ἀπαρκτίαι καὶ θρασκίαι καὶ ἀργέσται· διὰ τὸ ἐγγυτάτω γὰρ τῆν ὁρμὴν αὐτῶν εἶναι πολλοί τε καὶ ἰσχυροὶ πνέουσι μάλιστα οὗτοι. διὸ καὶ αἰθριώτατοί εἰσι τῶν ἀνέμων· πνέοντες γὰρ ἐγγύθεν μάλιστα ἀποβιαζόμενοί τε τἆλλα πνεύματα παύουσι, καὶ ἀποφυσῶντες τὰ συνιστάμενα νέφη ποιοῦσιν αἰθρίαν, ἂν μὴ ψυχροὶ σφόδρα τύχωσιν ἅμα ὄντες. 17. Τότε δ' οὐκ αἴθριοι· ἂν γὰρ ὦσι μᾶλλον 17
ψυχροὶ ἢ μεγάλοι, φθάνουσι πηγνύντες ἢ προωθοῦντες. ὁ δὲ

dispositi sint, simul spirare non posse patet, qui contrarii, cum per diametrum opposita sint. Alter igitur vim passus alterius cessabit. Eos autem, qui ita inter se collocati non sunt, ut Ζ et Δ, nihil prohibet, ob eamque causam nautis secundi ad idem punctum interdum ambo spirant, non ex eodem loco, nec spiritu eodem. 15. Temporibus autem contrariis qui contrarii sunt, maxime spirant, ut circa aequinoctium vernum Caecias, et omnino qui ultra aestivum Tropicum positi sunt; circa autumnalem Africi. At circa conversiones aestivas Favonius, circa brumales Vulturnus. 16. Septentrio autem et Thrasciae et Argestae, quia e loco proximo ortum habent, in alios maxime incidunt, eosque sedant, iique omnium frequentissimi ac validissimi spirant, ob eamque causam omnium maxime sereni sunt. Cum enim ex propinquo spirent, vim inferendo et reliquos flatus sternunt et nubes concretas discutiendo serenitatem inducunt, nisi forte etiam frigidi sunt. 17. Tum vero sereni non sunt. Si enim magis frigidos quam vehementes esse

καικίας οὐκ αἴθριος, ὅτι ἀνακάμπτει εἰς αὐτόν· ὅθεν καὶ λέγεται ἡ παροιμία· ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας
18 νέφος. 18. Αἱ δὲ περιστάσεις γίνονται αὐτῶν καταπαυομένων εἰς τοὺς ἐχομένους κατὰ τὴν τοῦ ἡλίου μετάστασιν, διὰ τὸ κινεῖσθαι μάλιστα τὸ ἐχόμενον τῆς ἀρχῆς· ἡ δὲ ἀρχὴ οὕτω
19 κινεῖται τῶν πνευμάτων ὡς ὁ ἥλιος. 19. Οἱ ἐναντίοι δ' ἢ ταὐτὸ ποιοῦσιν ἢ ἐναντίον, οἷον ὑγροὶ λὶψ καὶ καικίας, ὃν ἑλλησποντίαν ἔνιοι καλοῦσι, καὶ εὖρος, ὃν ἀπηλιώτην. ξηροὶ δ' ἀργέστης καὶ εὖρος· ἀπ' ἀρχῆς δ' οὗτος ξηρός, τελευτῶν δὲ ὑδατώδης· νιφετώδης δὲ μέσης καὶ ἀπαρκτίας μάλιστα· οὗτοι γὰρ ψυχρότατοι. χαλαζώδης δ' ἀπαρκτίας καὶ θρασκίας καὶ
20 ἀργέστης. καυματώδης δὲ νότος καὶ ζέφυρος καὶ εὖρος. 20. Νέφεσι δὲ πυκνοῦσι τὸν οὐρανὸν καικίας μὲν σφόδρα, λὶψ δ' ἀραιοτέροις, καικίας μὲν διά τε τὸ ἀνακάμπτειν πρὸς αὐτὸν καὶ διὰ τὸ κοινὸς εἶναι βορέου καὶ εὔρου, ὥστε διὰ μὲν τὸ ψυχρὸς εἶναι πηγνὺς τὸν ἀτμίζοντα ἀέρα συνίστησι, διὰ δὲ τὸ τῷ τόπῳ ἀπηλιωτικὸς εἶναι ἔχει πολλὴν ὕλην καὶ ἀτμίδα ἣν προωθεῖ.

contigerit antea gelant quam repellant. Caecias autem, quum ad se reflectat, serenus non est. Unde et proverbium ductum est: Ad se trahens ut nubes Caecias. 18. Mutationes autem fiunt, illis in eos qui haerent pro solis mutatione desinentibus, propterea quia illud maxime movetur, quod cum principio cohaeret. Ventorum autem principium ita movetur ut sol. 19. Ii porro qui contrarii sunt, aut idem, aut contrarium efficiunt: ita humidi quidem sunt Africus et Caecias, quem Hellespontiam vocant, et Vulturnus, quem Subsolanum. Sicci autem Argestes et Vulturnus. Atque hic initio siccus, desinens vero aquosus. Nives afferunt Meses et maxime Septentrio, quandoquidem sunt frigidissimi: grandines Septentrio, Thrascias et Argestes: aestus Auster, Favonius et Vulturnus. 20. Nubibus autem caelum densant, Caecias spissioribus, Africus rarioribus: ac ille quidem quia ad se reflectit, quodque Aquiloni ac Vulturno communis est: eo igitur, quod frigidus est aërem vaporibus repletum coagulando nubes constituit: quod vero secundum locum in Subsolanis habendus est, multam materiam vaporemque habet, quam

αἴθριοι δὲ ἀπαρκτίας, Θρασκίας, ἀργέστης. ἡ δ' αἰτία εἴρηται πρότερον. 21. Ἀστραπαῖοι δὲ μάλιστα οὗτοί τε καὶ ὁ μέσης· 21 διὰ μὲν γὰρ τὸ ἐγγύθεν πνεῖν ψυχροί εἰσι, διὰ δὲ τὸ ψυχρὸν ἀστραπὴ γίνεται· ἐκκρίνεται γὰρ συνιόντων τῶν νεφῶν. διὸ καὶ ἔνιοι τῶν αὐτῶν τούτων χαλαζώδεις εἰσίν· ταχὺ γὰρ πηγνύουσιν. 22. Ἐκνεφίαι δὲ γίνονται μετοπώρου μὲν μάλιστα, 22 εἶτ' ἔαρος, καὶ μάλιστα ἀπαρκτίας καὶ Θρασκίας καὶ ἀργέστης. αἴτιον δ' ὅτι οἱ ἐκνεφίαι γίνονται μάλιστα ὅταν ἄλλων ἐκπνεόντων ἐμπίπτωσιν ἕτεροι, οὗτοι δὲ μάλιστα ἐμπίπτουσι τοῖς ἄλλοις πνέουσιν· ἡ δ' αἰτία εἴρηται καὶ τούτου πρότερον. 23. Οἱ δ' ἐτησίαι περίστανται τοῖς μὲν περὶ δυσμὰς οἰκοῦ- 23 σιν ἐκ τῶν ἀπαρκτίων εἰς Θρασκίας καὶ ἀργέστας καὶ ζεφύρους (ὁ γὰρ ζέφυρος ἀρκτικός ἐστιν), ἀρχόμενοι μὲν ἀπὸ τῆς ἄρκτου, τελευτῶντες δ' εἰς τοὺς πόρρω· τοῖς δὲ πρὸς ἕω περίστανται μέχρι τοῦ ἀπηλιώτου. 24. Περὶ μὲν οὖν ἀνέμων, 24 τῆς τε ἐξ ἀρχῆς αὐτῶν γενέσεως καὶ οὐσίας καὶ τῶν συμβαινόντων κοινῇ τε παθημάτων καὶ περὶ ἕκαστον τοσαῦθ' ἡμῖν εἰρήσθω.

propellit. Sereni sunt Septentrio, Thrascias, Argestes, cuius rei causam supra exposuimus. 21. Fulgura autem hi maxime et Meses adducunt. Quia enim e propinquo spirant, frigidi sunt: frigoris autem vi fulgur excitatur: quippe quod coeuntibus nubibus excernitur. Quocirca et horum nonnulli grandinem advehunt: celeriter enim gelu efficiunt. 22. At procellae autumno quidem maxime, deinde vere exsistunt, ac potissimum Septentrione, Thrascia et Argeste flantibus. Cuius rei causa est, quod procellae maxime fiunt, cum in alios spirantes alii incidunt, quod hi potissimum aliis flantibus faciunt; uti supra exposuimus. 23. Porro Etesiae iis, qui occasum versus habitant, ex Septentrionibus in Thrascias, Argestes et Favonios (siquidem Septentrio Favonius est) transeunt, ab ursa quidem incipientes, ac in eos desinentes, qui longe absunt: his autem qui versus ortum, ad Subsolanum usque permutantur. Ac de ventis quidem, et primo eorum ortu et natura deque affectionibus, quae tum omnibus tum uni cuique accidunt, hactenus dictum sit.

1 VII. Περὶ δὲ σεισμοῦ καὶ κινήσεως γῆς μετὰ ταῦτα λεκτέον· ἡ γὰρ αἰτία τοῦ πάθους ἐχομένη τούτου τοῦ γένους ἐστίν. ἔστι δὲ τά γε παρειλημμένα μέχρι τοῦ νῦν χρόνου τρία καὶ παρὰ τριῶν. Ἀναξαγόρας τε γὰρ ὁ Κλαζομένιος καὶ πρότερος Ἀναξιμένης ὁ Μιλήσιος ἀπεφήναντο, καὶ τούτων ὕστε-
2 ρος Δημόκριτος ὁ Ἀβδηρίτης. 2. Ἀναξαγόρας μὲν οὖν φησι τὸν αἰθέρα πεφυκότα φέρεσθαι ἄνω ἐμπίπτοντα δ' εἰς τὰ κάτω τῆς γῆς καὶ τὰ κοῖλα κινεῖν αὐτήν· τὰ μὲν γὰρ ἄνω συναληλίφθαι διὰ τοὺς ὄμβρους, ἐπεὶ φύσει γε πᾶσαν ὁμοίως εἶναι σομφήν, ὡς ὄντος τοῦ μὲν ἄνω τοῦ δὲ κάτω τῆς ὅλης σφαίρας καὶ ἄνω μὲν τούτου ὄντος τοῦ μορίου ἐφ' οὗ τυγχά-
3 νομεν οἰκοῦντες, κάτω δὲ θατέρου. 3. Πρὸς μὲν οὖν ταύτην τὴν αἰτίαν οὐθὲν ἴσως δεῖ λέγειν ὡς λίαν ἁπλῶς εἰρημένην· τό τε γὰρ ἄνω καὶ κάτω νομίζειν οὕτως ἔχειν ὥστε μὴ πρὸς τὴν γῆν πάντῃ φέρεσθαι τὰ βάρος ἔχοντα τῶν σωμάτων, ἄνω δὲ τὰ κοῦφα καὶ τὸ πῦρ, εὔηθες, καὶ ταῦθ' ὁρῶντας τὸν ὁρίζοντα τὴν οἰκουμένην, ὅσην ἡμεῖς ἴσμεν, ἕτερον ἀεὶ γινόμενον μεθισταμένων, ὡς οὔσης κυρτῆς καὶ σφαιροειδοῦς.

Cap. VII. De terrae autem concussione ac motu post haec disserendum est: affectionis enim causa ad hoc genus pertinet. Tres vero sententiae et a tribus ad hoc usque tempus traditae sunt. Nam Anaxagoras Clazomenius et ante eum Anaximenes Milesius et post utrumque Democritus Abderita de eo exposuerunt. 2. Anaxagoras igitur ait, aethera, qui sursum ferri aptus est, cum in terrae partes inferas cavasque inciderit, eam movere. Superas enim ob imbres esse constipatas, cum tota secundum naturam fungosa sit, perinde quasi totius sphaerae pars altera supera, altera infera sit: ac supera, in qua habitamus: altera infera. 3. Sed contra hanc causam, ut nimis simpliciter prolatam, nihil fortasse dicere opus foret: stultum enim est, superum et inferum non ita esse existimare, ut corpora pondere praedita non omni ex parte in terram ferantur, levia autem et ignis in superum; idque cum cernamus, orbem, qui omnem eam quam novimus habitabilem terminat, nobis locum mutantibus alium semper fieri, tamquam gibbosa terra sit et in rotundam

4. Καὶ τὸ λέγειν μὲν ὡς διὰ τὸ μέγεθος ἐπὶ τοῦ ἀέρος μένει, 4
σείεσθαι δὲ φάσκειν τυπτομένην κάτωθεν ἄνω δι' ὅλης, πρὸς
δὲ τούτοις οὐδὲν ἀποδίδωσι τῶν συμβαινόντων περὶ τοὺς
σεισμούς· οὔτε γὰρ χῶραι οὔτε ὧραι αἱ τυχοῦσαι μετέχουσι
τούτου τοῦ πάθους. 5. Δημόκριτος δέ φησι πλήρη τὴν γῆν 5
ὕδατος οὖσαν, καὶ πολὺ δεχομένην ἕτερον ὄμβριον ὕδωρ, ὑπὸ
τούτου κινεῖσθαι· πλείονός τε γὰρ γινομένου διὰ τὸ μὴ δύνα-
σθαι δέχεσθαι τὰς κοιλίας ἀποβιαζόμενον ποιεῖν τὸν σεισμόν,
καὶ ξηραινομένην καὶ ἕλκουσαν εἰς τοὺς κενοὺς τόπους ἐκ τῶν
πληρεστέρων τὸ μεταβάλλον ἐμπῖπτον κινεῖν. 6. Ἀναξιμένης 6
δέ φησι βρεχομένην τὴν γῆν καὶ ξηραινομένην ῥήγνυσθαι, καὶ
ὑπὸ τούτων τῶν ἀπορρηγνυμένων κολωνῶν ἐμπιπτόντων σεί-
εσθαι· διὸ καὶ γίνεσθαι τοὺς σεισμοὺς ἔν τε τοῖς αὐχμοῖς καὶ
πάλιν ἐν ταῖς ὑπερομβρίαις· ἔν τε γὰρ τοῖς αὐχμοῖς, ὥσπερ
εἴρηται ξηραινομένην ῥήγνυσθαι καὶ ὑπὸ τῶν ὑδάτων ὑπερυ-
γραινομένην διαπίπτειν. 7. Ἔδει δὲ τούτου συμβαίνοντος 7
ὑπονοστοῦσαν πολλαχοῦ φαίνεσθαι τὴν γῆν. ἔτι δὲ διὰ τίν'
αἰτίαν περὶ τόπους τινὰς πολλάκις γίνεται τοῦτο τὸ πάθος

figuram conglobata. 4. Praeterea dicere, eandem in aëre propter magnitudinem consistere, quati vero ab imo sursum versus per totum verberatam. Ad haec nihil de his, quae in terrae motibus accidunt, tradit: neque enim regiones quaevis aut tempora hanc affectionem participant. 5. Democritus autem ait terram, cum aquae sit plena aliamque pluviae copiam excipiat, ab hac moveri. Nam et cum amplior facta est, quod in cavitates excipi nequeat, vim inferendo terram concutere et cum terra exsiccatur et e locis plenioribus in inania attrahit, eam, quae locum mutat, irrumpendo commovere. 6. Anaximenes autem ait terram et cum siccatur rumpi et ab his fragmentis collabentibus concuti. Ob eamque causam aestu ac tempore pluvio concussiones terrae fieri. Aestu quidem, ut diximus, exsiccatam disrumpi, ab imbribus vero valde madefactam corruere. 7. Oportebat autem, si hoc eveniret, terram plerisque in locis in sese refugientem conspici. Quam praeterea ob causam affectio haec quibusdam in locis accidit,

οὐδεμιᾷ διαφέροντας ὑπερβολῇ τοιαύτῃ παρὰ τοὺς ἄλλους;
8 καίτοι ἐχρῆν. 8. Ὅλως δὲ τοῖς οὕτως ὑπολαμβάνουσιν ἀναγκαῖον ἦττον ἀεὶ τοὺς σεισμοὺς φάναι γίνεσθαι, καὶ τέλος παύσασθαί ποτε σειομένην· τὸ γὰρ σαττόμενον τοιαύτην ἔχει φύσιν. ὥστ' εἰ τοῦτ' ἀδύνατον, δῆλον ὅτι ἀδύνατον καὶ ταύτην εἶναι τὴν αἰτίαν.

1 VIII. Ἀλλ' ἐπειδὴ φανερόν, ὅτι ἀναγκαῖον καὶ ἀπὸ ὑγροῦ καὶ ἀπὸ ξηροῦ γίνεσθαι ἀναθυμίασιν, ὥσπερ εἴπομεν ἐν τοῖς πρότερον, ἀνάγκη τούτων ὑπαρχόντων γίνεσθαι τοὺς σεισμούς· ὑπάρχει γὰρ ἡ γῆ καθ' αὑτὴν μὲν ξηρά, διὰ δὲ τοὺς ὄμβρους ἔχουσα· ἐν αὐτῇ νοτίδα πολλήν, ὥσθ' ὑπό τε τοῦ ἡλίου καὶ τοῦ ἐν αὐτῇ πυρὸς θερμαινομένης πολὺ μὲν ἔξω πολὺ δ' ἐντὸς γίνεσθαι τὸ πνεῦμα. καὶ τοῦτο ὁτὲ μὲν συνεχὲς ἔξω ῥεῖ πᾶν, ὁτὲ δ' εἴσω ῥεῖ πᾶν, ἐνίοτε δὲ καὶ μερίζεται.
2 2. Εἰ δὴ τοῦτ' ἀδύνατον ἄλλως ἔχειν, τὸ μετὰ τοῦτο σκεπτέον ἂν εἴη ὁποῖον κινητικώτατον ἂν εἴη τῶν σωμάτων· ἀνάγκη γὰρ τὸ ἐπὶ πλεῖστόν τε πεφυκὸς ἰέναι καὶ σφοδρότατον μάλιστα

nulla eiusmodi exsuperantia ab aliis differentibus? Atqui oporteret. 8. Omnino autem ii, qui ita censent, terrae motus minores subinde fieri, et ad extremum tandem cessaturos inquiant, necesse est. Quidquid enim constipatum, eiusmodi natura praeditum est. Hoc igitur si fieri non potest, perspicuum quoque est, hanc veram esse causam nequire.

Cap. VIII. Quoniam autem constat, et ab humido et a sicco exhalationem, uti antea diximus, fieri oportere, terrae motus, cum haec ita se habeant, fiant necesse est. Est enim terra per se quidem sicca, ob imbres autem multum in se continet humiditatis, ita ut et a sole et ab igne, quem continet, excalefacta, multum spiritus extra intraque gignatur. Atque is interdum quidem omnis continenter extrorsum fluit, interdum vero totus intra, nonnunquam etiam dissipatur. 2. Si igitur hoc habere se aliter nequit, id, quod sequitur, considerandum est, quidnam videlicet corporum maximam movendi vim habeat. Id enim, quod longissime progredi aptum et vehementissimum est, potissimum tale sit, necesse est. 3. Ac vehe-

τοιοῦτον εἶναι. 3. Σφοδρότατον μὲν οὖν ἐξ ἀνάγκης τὸ τάχιστα φερόμενον· τύπτει γὰρ μάλιστα διὰ τὸ τάχος· ἐπὶ πλεῖστον δὲ πέφυκε διϊέναι τὸ διὰ παντὸς ἰέναι μάλιστα δυνάμενον, τοιοῦτον δὲ τὸ λεπτότατον, ὥστ' εἴπερ ἡ τοῦ πνεύματος φύσις τοιαύτη, μάλιστα τῶν σωμάτων καὶ γὰρ τὸ πῦρ ὅταν μετὰ πνεύματος ᾖ, γίνεται φλὸξ καὶ φέρεται ταχέως. 4. Οὐκ ἂν οὖν ὕδωρ οὐδὲ γῆ αἴτιον εἴη, ἀλλὰ πνεῦμα τῆς κινήσεως, ὅταν εἴσω τύχῃ ῥυὲν τὸ ἔξω ἀναθυμιώμενον. διὸ γίνονται νηνεμίαι οἱ πλεῖστοι καὶ μέγιστοι τῶν σεισμῶν· συνεχὴς γὰρ οὖσα ἡ ἀναθυμίασις ἀκολουθεῖ ὡς ἐπὶ τὸ πολὺ τῇ ὁρμῇ τῆς ἀρχῆς, ὥστε ἢ εἴσω ἅμα ἢ ἔξω ὁρμᾷ πᾶσα. 5. Τὸ δ' ἐνίους γίνεσθαι καὶ πνεύματος ὄντος οὐδὲν ἄλογον· ὁρῶμεν γὰρ ἐνίοτε ἅμα πλείους πνέοντας ἀνέμους, ὧν ὅταν εἰς τὴν γῆν ὁρμήσῃ θάτερον, ἔσται πνεύματος ὄντος σεισμός· ἐλάττους δ' οὗτοι τὸ μέγεθος γίνονται διὰ τὸ διῃρῆσθαι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν αὐτῶν. 6. Καὶ νυκτὸς δ' οἱ πλείους καὶ μείζους γίνονται τῶν σεισμῶν, οἱ δὲ τῆς ἡμέρας περὶ μεσημ- 3 4 5 6

mentissimum quidem necessario est, quod celerrime fertur, quippe quod ob celeritatem vehementer percutiat: longissime autem progredi id aptum est, quod omnia pertransire maxime potest: atque hoc est, quod tenuissimum. Itaque si spiritus natura eius modi est, maxime omnium corporum spiritus vim movendi habebit. Nam et ignis, quando cum spiritu fuerit, flamma fit, et celeriter rapitur. 4. Non igitur aqua aut terra motus erit causa, sed spiritus, quando eum, qui extra exhalatur, intro fluere contigerit. Quocirca plurimi iique maximi motus caelo a ventis tranquillo fiunt. Continuata enim exhalatio principii impetum ut plurimum sequitur, quare universa aut simul intro aut simul extra tendit. 5. Aliquos autem terrae motus etiam vento flante fieri, nihil absurdi est. Plures enim simul spirare interdum observamus, quorum cum alter in terram sese receperit, vento spirante terrae motus fiet. Minoris autem hi vehementiae sunt, quia eorum principium atque causa divisae sunt. 6. Noctu vero plures ac maiores terrae motus exsistunt: et qui interdiu fiunt circa meridiem excitan-

βρίαν· νηνεμώτατον γάρ ἐστιν ὡς ἐπὶ τὸ πολὺ τῆς ἡμέρας ἡ μεσημβρία (ὁ γὰρ ἥλιος ὅταν μάλιστα κρατῇ, κατακλείει τὴν ἀναθυμίασιν εἰς τὴν γῆν· κρατεῖ δὲ μάλιστα περὶ τὴν μεσημβρίαν) καὶ αἱ νύκτες δὲ τῶν ἡμερῶν νηνεμώτεραι διὰ
7 τὴν ἀπουσίαν τὴν τοῦ ἡλίου. 7. Ὥστ' εἴσω γίνεται πάλιν ἡ ῥύσις, ὥσπερ ἄμπωτις, εἰς τοὐναντίον τῆς ἔξωθεν πλημμυρίδος, καὶ πρὸς ὄρθρον μάλιστα· τηνικαῦτα γὰρ καὶ τὰ πνεύματα πέφυκεν ἄρχεσθαι πνεῖν. ἐὰν οὖν εἴσω τύχῃ μεταβάλλουσα ἡ ἀρχὴ αὐτῶν ὥσπερ Εὔριπος, διὰ τὸ πλῆθος ἰσχυρό-
8 τερον ποιεῖ τὸν σεισμόν. 8. Ἔτι δὲ περὶ τόπους τοιούτους οἱ ἰσχυρότατοι γίνονται τῶν σεισμῶν, ὅπου ἡ θάλασσα ῥοώ-
9 δης ἢ ἡ χώρα σομφὴ καὶ ὕπαντρος. 9. Διὸ καὶ περὶ Ἑλλήσποντον καὶ περὶ Ἀχαΐαν καὶ Σικελίαν, καὶ τῆς Εὐβοίας περὶ τούτους τοὺς τόπους· δοκεῖ γὰρ διαυλωνίζειν ὑπὸ τὴν γῆν ἡ θάλαττα. διὸ καὶ τὰ θερμὰ τὰ περὶ Αἴδεψον ἀπὸ τοιαύτης
10 αἰτίας γέγονεν. 10. Περὶ δὲ τοὺς εἰρημένους τόπους οἱ σεισμοὶ γίνονται μάλιστα διὰ τὴν στενότητα· τὸ γὰρ ῥεῦμα γινόμενον σφοδρὸν διὰ τὸ πλῆθος τῆς θαλάττης πολλῆς προσ-

tur: quandoquidem meridies omnium plerumque diei partium maxime tranquilla est. Sol enim cum maxime viget, exhalationem in terram secludit. Maxime autem viget meridie: quin etiam ob solis absentiam noctes diebus tranquilliores fiunt. 7. Quapropter fluxus intro rursus retrocedit (quo modo maris refluxus in contrariam fluxus fit partem) atque ad auroram maxime, quippe quum spiritus eo tempore flare vulgo incipiunt. Principium igitur eorum si intro, ut Euripus, recedit validiorem propter copiam terrae motum efficit. 8. In iis praeterea locis vehementissimi fiunt terrae motus, in quibus mare fluidum est, aut regio fungosa et cavernis plena. 9. Ideo in Hellesponto et Achaia et Sicilia et in Euboeae locis eius modi exsistunt. Mare enim terram per fistulas veluti quasdam videtur subire. Ideo et thermae prope Aedepsum ob talem causam exortae sunt. 10. In praedictis autem locis terrae motus maxime ob angustiam fiunt. Spiritus enim qui efflari e terra consuevit, vehementior, ob effluentis maris

φερομένης ἀπωθεῖται πάλιν εἰς τὴν γῆν, τό γε πεφυκὸς ἀπο-
πνεῖν ἀπὸ τῆς γῆς. 11. Αἵ τε χῶραι ὅσαι σομφοὺς ἔχουσι 11
τοὺς κάτω τόπους, πολὺ δεχόμεναι πνεῦμα σείονται μᾶλλον.
καὶ ἔαρος δὲ καὶ μετοπώρου μάλιστα καὶ ἐν ἐπομβρίαις καὶ
αὐχμοῖς γίνονται διὰ τὴν αὐτὴν αἰτίαν· αἱ γὰρ ὧραι αὗται
πνευματωδέσταται· 12. Τὸ γὰρ θέρος καὶ ὁ χειμὼν ἀεί, τὸ 12
μὲν διὰ τὸν πάγον, τὸ δὲ διὰ τὴν ἁλέαν ποιεῖ τὴν ἀκινησίαν·
τὸ μὲν γὰρ ἄγαν ψυχρόν, τὸ δ' ἄγαν ξηρόν ἐστιν. 13. Καὶ 13
ἐν μὲν τοῖς αὐχμοῖς πνευματώδης ὁ ἀήρ· τοῦτο γὰρ αὐτό
ἐστιν ὁ αὐχμός, ὅταν πλείων ἡ ἀναθυμίασις ἡ ξηρὰ γίνηται
τῆς ὑγρᾶς. 14. Ἐν δὲ ταῖς ὑπερομβρίαις πλείω τε ποιεῖ τὴν 14
ἐντὸς ἀναθυμίασιν, καὶ τῷ ἐναπολαμβάνεσθαι ἐν στενωτέροις
τόποις καὶ ἀποβιάζεσθαι εἰς ἐλάττω τόπον τὴν τοιαύτην ἀπό-
κρισιν, πληρουμένων τῶν κοιλιῶν ὕδατος, ὅταν ἄρξηται κρα-
τεῖν διὰ τὸ πολὺ εἰς ὀλίγον πιληθῆναι τόπον, ἰσχυρῶς κινεῖ
ῥέων ὁ ἄνεμος καὶ προσπίπτων. 15. Δεῖ γὰρ νοεῖν ὅτι ὥσπερ 15
ἐν τῷ σώματι ἡμῶν καὶ τρόμων καὶ σφυγμῶν αἴτιόν ἐστιν ἡ
τοῦ πνεύματος ἐναπολαμβανομένη δύναμις, οὕτω καὶ ἐν τῇ

magnam vim factus, in terram rursus repellitur. 11. Quin et regiones, quae loca infera fungosa habent, ubi multum spiritus excipiunt magis concutiuntur. Vere autem maxime et autumno ac sub imbres et aestus eandem propter causam fiunt. Haec enim tempora flatibus prae caeteris abundant. 12. Nam aestas et hiems aëris tranquillitatem faciunt: haec quidem ob gelu, illa propter aestum, quippe cum hiems admodum frigida, aestas admodum sicca esse solet. 13. Atque in aestibus aër est flatuosus. Siquidem hic fere aestus, cum sicca exhalatio copiosior est, quam humida. 14. Post imbres autem, quod exhalatio intra terram copiosior fiat, quodque terrae cavitatibus aqua repletis in locis angustioribus eius modi secretio intercipiatur, vique in minorem locum compellatur. Cum enim evincere coeperit, quia quod multum est in parvum locum comprimatur, ventus fluens atque incurrens graviter commovet. 15. Intelligendum enim est, uti in nostro corpore vis spiritus intercepti et tremorum et pulsuum causa est, ita et in terra

γῇ τὸ πνεῦμα παραπλήσια ποιεῖν, καὶ τὸν μὲν τῶν σεισμῶν οἷον τρόμον εἶναι, τὸν δ' οἷον σφυγμόν, καὶ καθάπερ συμβαίνει πολλάκις μετὰ τὴν οὔρησιν διὰ τοῦ σώματος (γίνεται γὰρ ὥσπερ τρόμος τις ἀντιμεθιστάμενου τοῦ πνεύματος ἔξωθεν εἰσω ἀθρόου), τοιαῦτα γίνεσθαι καὶ περὶ τὴν γῆν.
16 16. Ὅσην δ' ἔχει τὸ πνεῦμα δύναμιν, οὐ μόνον ἐκ τῶν ἐν τῷ ἀέρι δεῖ θεωρεῖν γινομένων (ἐνταῦθα μὲν γὰρ διὰ τὸ μέγεθος ὑπολάβοι τις ἂν τοιαῦτα δύνασθαι ποιεῖν) ἀλλὰ καὶ ἐν
17 τοῖς σώμασι τῶν ζώων. 17. Οἵ τε γὰρ τέτανοι καὶ οἱ σπασμοὶ πνεύματος μέν εἰσι κινήσεις, τοσαύτην δ' ἔχουσιν ἰσχὺν ὥστε πολλοὺς ἅμα πειρωμένους ἀποβιάζεσθαι μὴ δύνασθαι κρατεῖν τῆς κινήσεως τῶν ἀρρωστούντων. τὸ αὐτὸ δεῖ νομίζειν γινόμενον καὶ ἐν τῇ γῇ, ὡς εἰκάσαι πρὸς μικρὸν μεῖζον.
18 18. Σημεῖα δὲ τούτων καὶ πρὸς τὴν ἡμετέραν αἴσθησιν πολλαχοῦ γέγονεν· ἤδη γὰρ σεισμὸς ἐν τόποις τισὶ γινόμενος οὐ πρότερον ἔληξε, πρὶν ἐκρήξας εἰς τὸν ὑπὲρ τῆς γῆς τόπον φανερῶς ὥσπερ ἐκνεφίας ἐξῆλθεν ὁ κινήσας ἄνεμος, οἷον καὶ περὶ Ἡράκλειαν ἐγένετο τὴν ἐν τῷ Πόντῳ νεωστί, καὶ πρόσ

spiritum similia quaedam efficere, et terrae motuum alium quidem veluti tremorem esse, alium quasi pulsum et qualia cum urina reddita est, in corpore saepius accidunt (fit enim veluti tremor quidam, spiritu extrinsecus intro sese recipiente) talia etiam in terra fieri. 16. Quantam autem vim spiritus habeat, non solum ex his, quae in aëre oboriuntur, contemplari debemus (ibi enim magnitudine sua talia posse efficere aliquis putaverit) verum et in corporibus animalium. 17. Nam et tetani et convulsiones, id est, distentiones, spiritus motiones sunt vimque tantam obtinent, ut etiam si multi simul vim repellere enitantur, aegrotantium tamen motum evincere nequeant. Idem vero et in terra fieri, ut rem magnam cum parva conferamus, intelligendum est. 18. Horum autem signa et ipsi quoque nostro sensui manifesta multis in locis exstiterunt. Iam enim motus terrae quibusdam in locis excitatus non antea desiit, quam ventus ille, qui commoverat, eruptione supra terram facta, procellae modo aperte eruperit. Ut in

τερον περὶ τὴν Ἱερὰν νῆσον. αὕτη δ' ἐστὶ μία τῶν Αἰόλου καλουμένων νήσων. 19. Ἐν ταύτῃ γὰρ ἐξανῴδει τι τῆς γῆς, 19
καὶ ἀνῆει οἷον λοφώδης ὄγκος μετὰ ψόφου· τέλος δὲ ῥαγέντος ἐξῆλθε πνεῦμα πολύ, καὶ τὸν φέψαλον καὶ τὴν τέφραν ἀνῆκε, καὶ τήν τε Λιπαραίων πόλιν οὖσαν οὐ πόρρω πᾶσαν κατετέφρωσε, καὶ εἰς ἐνίας τῶν ἐν Ἰταλίᾳ πόλεων ἦλθεν· καὶ νῦν ἔτι ὅπου τὸ ἀναφύσημα τοῦτο ἐγένετο, δῆλόν ἐστιν. 20. Καὶ γὰρ δὴ τοῦ γινομένου πυρὸς ἐν τῇ γῇ ταύτην οἰη- 20
τέον εἶναι τὴν αἰτίαν, ὅταν κοπτόμενον ἐκπρησθῇ πρῶτον εἰς μικρὰ κερματισθέντος τοῦ ἀέρος. τεκμήριον δ' ἐστὶ τοῦ ῥεῖν ὑπὸ τὴν γῆν τὰ πνεύματα καὶ τὸ γινόμενον περὶ ταύτας τὰς νήσους. 21. Ὅταν γὰρ ἄνεμος μέλλῃ πνευσεῖσθαι νότος, 21
προσημαίνει πρότερον· ἠχοῦσι γὰρ οἱ τόποι ἐξ ὧν γίνεται τὰ ἀναφυσήματα, διὰ τὸ τὴν θάλατταν μὲν προωθεῖσθαι ἤδη πόρρωθεν, ὑπὸ δὲ ταύτης τὸ ἐκ τῆς γῆς ἀναφυσώμενον ἀπωθεῖσθαι πάλιν εἴσω, ᾗπερ ἐπέρχεται ἡ θάλαττα ταύτῃ· ποιεῖ δὲ ψόφον ἄνευ σεισμοῦ διά τε τὴν εὐρυχωρίαν τῶν τόπων (ὑπερχεῖται γὰρ εἰς τὸ ἀχανὲς ἔξω) καὶ δι' ὀλιγότητα τοῦ

Heraclea Ponti nuper accidit et antea in Hiera insula, quae una est ex iis, quae Aeoli insulae vocantur. 19. In hac enim pars terrae extumuit et cum sono in tumuli speciem adscendit, quoad extremum disrupto multum spiritus prodiit, qui scintillas cineremque sustulit et Liparacorum urbem, quae haud procul abest, totam cinere operuit, et ad quasdam etiam Italiae urbes pervenit. Atque nunc etiam, ubi efflatio illa facta est, conspicere licet. 20. Etenim ignis in terra accensi hanc esse causam censendum est, cum videlicet spiritus collisus incenditur, aëre prius in partes exiguas diviso. At vero spiritum sub terram fluere illud quoque est argumento, quod circa hasce insulas fieri solet. 21. Cum enim auster flaturus est, antea significatur. Nam ea loca, ubi efflationes fiunt, resonant, quod mare e longinquo propelli iam coeperit et quod e terra efflat, ab eo rursum intro compellatur, qua parte mare invadit. Sonitum autem sine motu terrae edit, partim propter locorum amplitudinem (intro enim subiens per immensum dif-

22 ἀπωθουμένου ἀέρος. 22. Ἔτι τὸ γίνεσθαι τὸν ἥλιον ἀχλυώδη καὶ ἀμαυρότερον ἄνευ νέφους, καὶ πρὸ τῶν ὀρθρίων σει-
23 σμῶν ἐνίοτε νηνεμίαν τε καὶ κρύος ἰσχυρόν, σημεῖον τῆς εἰρη-
μένης αἰτίας ἐστίν. 23. Τόν τε γὰρ ἥλιον ἀχλυώδη καὶ ἀ-
μαυρὸν ἀναγκαῖον εἶναι ὑπονοστεῖν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ διαλύοντος τὸν ἀέρα καὶ διακρίνοντος, καὶ πρὸς τὴν ἕω καὶ περὶ τοὺς ὄρθρους νηνεμίαν τε καὶ ψῦχος.
24 24. Τὴν μὲν γὰρ νηνεμίαν ἀναγκαῖον ὡς ἐπὶ τὸ πολὺ συμ-
βαίνειν, καθάπερ εἴρηται καὶ πρότερον, οἷον μεταῤῥοίας εἴσω γινομένης τοῦ πνεύματος, καὶ μᾶλλον πρὸ τῶν μειζόνων σει-
σμῶν· μὴ διασπώμενον γὰρ τὸ μὲν ἔξω τὸ δ' ἐντός, ἀλλ'
25 ἀθρόον φερόμενον ἀναγκαῖον ἰσχύειν μᾶλλον. 25. Τὸ δὲ ψῦ-
χος συμβαίνει διὰ τὸ τὴν ἀναθυμίασιν εἴσω περιτρέπεσθαι, φύσει θερμὴν οὖσαν καθ' αὑτήν. οὐ δοκοῦσι δ' οἱ ἄνεμοι εἶναι θερμοὶ διὰ τὸ κινεῖν τὸν ἀέρα πλήρη ψυχρᾶς ὄντα καὶ πολλῆς ἀτμίδος, ὥσπερ τὸ πνεῦμα τὸ διὰ τοῦ στόματος φυ-
26 σώμενον. 26. Καὶ γὰρ τοῦτο ἐγγύθεν μέν ἐστι θερμόν, ὥσπερ καὶ ὅταν ἀάζωμεν, ἀλλὰ δι' ὀλιγότητα οὐχ ὁμοίως

funditur) partim propter aëris, qui repellitur, exiguam quantitatem. 22. Sol praeterea, qui caliginosus fit et obscurior sine nube, aërisque interdum ante matutinos terrae motus tranquillitas et frigus vehemens, eam quae dicta est, causam declarant. 23. Cum enim spiritus aërem dissolvens atque dissipans intra terram recedere incipit, et solum caliginosum et obscurum fieri et ad auroram atque diluculum tranquillitatem et frigus esse necesse est. 24. Tranquillitatem enim ut plurimum accidere, quemadmodum et prius diximus, oportet, spiritus videlicet intra terram refluxu: atque id potissimum ante terrae motus vehementiores. Nam cum spiritus non partim extra partim intra distrahitur, sed universus fertur, plus virium habeat necesse est. 25. Frigus autem accidit, cum exhalatio quae suapte natura calida est, intro convertitur. Calidi vero non videntur esse venti, quia aërem frigido ac multo vapore repletum movent, quomodo et spiritus ille, qui per os efflatur. 26. Nam et hic e propinquo quidem calidus est, qualis etiam est cum

ἐπίδηλον, πόρρωθεν δὲ ψυχρὸν διὰ τὴν αὐτὴν αἰτίαν τοῖς ἀνέμοις. 27. Ἐπιλειπούσης οὖν εἰς τὴν γῆν τῆς τοιαύτης δυ- 27
νάμεως, συνιοῦσα δι' ὑγρότητα ἡ ἀτμιδώδης ἀπορροὴ ποιεῖ τὸ ψῦχος, ἐν οἷς συμβαίνει τόποις γίνεσθαι τοῦτο τὸ πάθος. 28. Τὸ δ' αὐτὸ αἴτιον καὶ τοῦ εἰωθότος ἐνίοτε γίνεσθαι ση- 28
μείου πρὸ τῶν σεισμῶν· ἢ γὰρ μεθ' ἡμέραν ἢ μικρὸν μετὰ δυσμάς, αἰθρίας οὔσης, νεφέλιον λεπτὸν φαίνεται διατεῖνον καὶ μακρόν, οἷον γραμμῆς μῆκος εὐθύτητι διηκριβωμένον, τοῦ πνεύματος ἀπομαραινομένου διὰ τὴν μετάστασιν. 29. Τὸ δ' 29
ὅμοιον συμβαίνει καὶ ἐν τῇ θαλάττῃ περὶ τοὺς αἰγιαλούς· ὅταν μὲν γὰρ κυμαίνουσα ἐκβάλλῃ, σφόδρα παχεῖαι καὶ σκολιαὶ γίνονται αἱ ῥηγμῖνες, ὅταν δὲ γαλήνη ᾖ, διὰ τὸ μικρὸν ποιεῖσθαι τὴν ἔκκρισιν λεπταί εἰσι καὶ εὐθεῖαι. 30. Ὅπερ 30
οὖν ἡ θάλαττα ποιεῖ περὶ τὴν γῆν, τοῦτο τὸ πνεῦμα περὶ τὴν ἐν τῷ ἀέρι ἀχλύν, ὥσθ' ὅταν γένηται νηνεμία, πάμπαν εὐθεῖαν καὶ λεπτὴν καταλείπεσθαι ὥσπερ ῥηγμῖνα οὖσαν ἀέρος τὴν νεφέλην. 31. Διὰ ταῦτα δὲ καὶ περὶ τὰς ἐκλείψεις ἐνίοτε 31
τῆς σελήνης συμβαίνει γίνεσθαι σεισμόν· ὅταν γὰρ ἤδη πλη-

eius modi loquimur, quae hiante magis ore enuntiamus, sed ob exiguam copiam non aeque percipitur. E longinquo autem frigidus est ob eandem causam, ob quam et venti. 27. Tali igitur facultate in terram secedente, vaporosa effluxio ob humorem coiens, in iis locis, quibus affectionem hanc pati contingit, frigus adducit. 28. Eadem vero etiam causa est et eius indicii, quod terrae motus antecedere consuevit. Aut enim interdiu, aut paullo post occasum sereno tempore tenuis nubecula extenta in longum apparet, lineae instar rectitudinem exquisitam habentis, quod spiritus ob loci mutationem languescit. 29. Simile autem quiddam et in maris littoribus accidit. Cum enim fluctuans exundat, valde crassi et obliqui fluctus appellunt. Cum vero tranquillum est, cum exigua sit effluxio, tenues et recti. 30. Quod igitur mare in terra, id spiritus in aëris nebula efficit, ita ut cum aëris tranquillitas fuerit, recta et tenuis nubecula, veluti quidam aëris appellens fluctus, derelinquatur. 31. Ob hoc vero etiam accidit, ut circa lunae defectus terrae

σιον ἢ ἡ ἀντίφραξις, καὶ μήπω μὲν ᾖ πάμπαν ἀπολελοιπὸς τὸ φῶς καὶ τὸ ἀπὸ τοῦ ἡλίου θερμὸν ἐκ τοῦ ἀέρος, ἤδη δ' ἀπομαραινόμενον, νηνεμία γίνεται ἀντιμεθισταμένου τοῦ πνεύματος εἰς τὴν γῆν, ὃ ποιεῖ τὸν σεισμὸν πρὸ τῶν ἐκλείψεων. 32 32. Γίνονται γὰρ καὶ ἄνεμοι πρὸ τῶν ἐκλείψεων πολλάκις, ἀκρόνυχοι μὲν πρὸ τῶν μεσονυκτίων ἐκλείψεων, μεσονύκτιοι δὲ πρὸ τῶν ἑῴων. συμβαίνει δὲ τοῦτο διὰ τὸ ἀμαυροῦσθαι τὸ θερμὸν τὸ ἀπὸ τῆς σελήνης, ὅταν πλησίον ἤδη γίνηται ἡ 33 φορὰ ἐν ᾧ γενομένων ἔσται ἡ ἔκλειψις. 33. Ἀνιεμένου οὖν ᾧ κατείχετο ὁ ἀὴρ καὶ ἠρέμει, πάλιν κινεῖται καὶ γίνεται πνεῦμα τῆς ἐκλείψεως πρωϊαίτερον. ὅταν δ' ἰσχυρὸς γένηται σεισμός, οὐκ εὐθὺς οὐδ' εἰσάπαξ παύεται σείσας, ἀλλὰ τὸ πρῶτον μὲν μέχρι περὶ τετταράκοντα πρόεισι πολλάκις ἡμέρας, ὕστερον δὲ καὶ ἐφ' ἓν καὶ ἐπὶ δύο ἔτη ἐπισημαίνει κατὰ τοὺς 34 αὐτοὺς τόπους. 34. Αἴτιον δὲ τοῦ μὲν μεγέθους τὸ πλῆθος τοῦ πνεύματος καὶ τῶν τόπων τὰ σχήματα δι' ὧν ἂν ῥυῇ· ἢ γὰρ ἂν ἀντιτυπήσῃ καὶ μὴ ῥαδίως διέλθῃ, μάλιστά τε σείει καὶ ἐγκαταλείπεσθαι ἀναγκαῖον ἐν ταῖς δυσχωρίαις, οἷον ὕδωρ

motus interdum efficiatur. Cum enim iam terrae obiectus instat et nondum prorsus lumen obscuratum est, nec calor solis aërem dereliquit, sed tamen iam tabescere incoepit, aëris tranquillitas oritur, commigrante in terram spiritu, qui ante defectiones terram movet. 32. Oriuntur enim et saepius venti ante defectiones, initio quidem noctis, ante mediae noctis defectiones: media autem nocte, ante eas, quae mane fiunt. Id autem accidit, quod lunae calor tunc hebetatur, cum motio proxima est, ad quam cum accesserint, defectio exsistit. 33. Eo igitur quo aër detinebatur et quiescebat, remisso, rursus movetur et oritur spiritus, defectione anterior. Cum autem vehemens fit terrae motus, non statim, nec cum semel concusserit, desinit, sed primum quidem ad quadraginta usque dies saepe protenditur, deinde et ad unum duosve annos, iisdem in locis percipitur. 34. Ac vehementiae quidem causa est spiritus copia, et locorum, per quae fluit, figura. Qua enim repercutitur, nec facile penetrat et maxime quatit et in locorum

οὐ δυνάμενον διεξελθεῖν. 35. Διὸ καθάπερ ἐν σώματι οἱ 35
σφυγμοὶ οὐκ ἐξαίφνης παύοντα οὐδὲ ταχέως, ἀλλ' ἐκ προσα-
γωγῆς ἅμα καταμαραινομένου τοῦ πάθους, καὶ ἡ ἀρχὴ ἀφ'
ἧς ἡ ἀναθυμίασις ἐγένετο καὶ ἡ ὁρμὴ τοῦ πνεύματος δῆλον ὅτι
οὐκ εὐθὺς ἅπασαν ἀνάλωσε τὴν ὕλην, ἐξ ἧς ἐποίησε τὸν ἄνεμον,
ὃν καλοῦμεν σεισμόν. 36. Ἕως ἂν οὖν ἀναλωθῇ τὰ ὑπόλοιπα 36
τούτων, ἀνάγκη σείειν, ἠρεμαίτερον δὲ καὶ μέχρι τούτου ἕως
ἂν ἔλαττον ᾖ τὸ ἀναθυμιώμενον ἢ ὥστε δύνασθαι κινεῖν ἐπι-
δήλως. 37. Ποιεῖ δὲ καὶ τοὺς ψόφους τοὺς ὑπὸ τὴν γῆν γι- 37
νομένους τὸ πνεῦμα, καὶ τοὺς πρὸ τῶν σεισμῶν· καὶ ἄνευ δὲ
σεισμῶν ἤδη που γεγόνασιν ὑπὸ γῆν. ὥσπερ γὰρ ῥαπιζόμενος
ὁ ἀὴρ παντοδαποὺς ἀφίησι ψόφους, οὕτως καὶ τύπτων αὐτός·
οὐθὲν γὰρ διαφέρει· τὸ γὰρ τύπτον ἅμα καὶ αὐτὸ τύπτεται
πᾶν. 38. Προέρχεται δ' ὁ ψόφους τῆς κινήσεως διὰ τὸ λε- 38
πτομερέστερον εἶναι καὶ μᾶλλον διὰ παντὸς ἰέναι τοῦ πνεύμα-
τος τὸν ψόφον. ὅταν δ' ἔλαττον ᾖ ἢ ὥστε κινῆσαι τὴν γῆν
διὰ λεπτότητα, διὰ μὲν τὸ ῥᾳδίως διηθεῖσθαι οὐ δύναται κι-

angustiis, more aquae, quae exire nequit, intercludatur necesse est. 35. Quocirca, ut in corpore nec celeriter, nec repente pulsus sedantur, sed paulatim, una tabescente affectione, ita perspicuum est, principium, a quo exhalatio orta est, spiritusque impetum non eam omnem illico materiam, e qua ventum, quem terrae motum nominamus, excitavit, consumsisse. 36. Quoad igitur horum reliquiae fuerint absumtae, terram concuti necesse est, remissius vero et eo usque, donec quod exhalatur, minus fuerit, quam ut evidenter possit movere. 37. Eos vero etiam sonos, qui sub terra et ante terrae motus fiunt, spiritus efficit. Quamquam et sine motu alibi iam sub terra facti sint. Ut enim aër, cum verberatur, varii generis sonos edit, ita et cum ipse verberat: siquidem nihil differt. Nam quicquid verberat, id etiam simul omne verberatur. 38. Quia autem sonus tenuis est et facilius quam spiritus omnes res penetrat, motum antecedit. At cum minor fuerit, quam ut terram ob tenuitatem possit movere, quia quidem facile penetrat, movere non potest, sed quia in solida corpora et

νεῖν, διὰ δὲ τὸ προσπίπτειν στερεοῖς ὄγκοις καὶ κοίλοις καὶ παντοδαποῖς σχήμασι παντοδαπὰς ἀφίησι φωνάς, ὥστ' ἐνίοτε δοκεῖν ὅπερ λέγουσιν οἱ τερατολογοῦντες, μυκᾶσθαι τὴν γῆν.
39 39. Ἤδη δὲ καὶ ὕδατα ἀνερράγη γινομένων σεισμῶν. ἀλλ' οὐ διὰ τοῦτο αἴτιον τὸ ὕδωρ τῆς κινήσεως, ἀλλ' ἂν ἢ ἐξ ἐπιπολῆς ἢ κάτωθεν βιάζηται τὸ πνεῦμα, ἐκεῖνο τὸ κινοῦν ἐστιν, ὥσπερ τῶν κυμάτων οἱ ἄνεμοι ἀλλ' οὐ τὰ κύματα τῶν ἀνέμων ἐστὶν αἴτια, ἐπεὶ καὶ τὴν γῆν οὕτως ἄν τις αἰτιῷτο τοῦ πάθους· ἀνατρέπεται γὰρ σειομένη, καθάπερ ὕδωρ (ἡ γὰρ ἔκ-
40 χυσις ἀνάτρεψίς τίς ἐστιν). 40. Ἀλλ' αἴτια ταῦτα μὲν ἄμφω ὡς ὕλη (πάσχει γάρ, ἀλλ' οὐ ποιεῖ), τὸ δὲ πνεῦμα ὡς ἀρχή· ὅπου δ' ἅμα κῦμα σεισμῷ γέγονεν, αἴτιον, ὅταν ἐναντία γί-
41 νηται τὰ πνεύματα. 41. Τοῦτο δὲ γίνεται, ὅταν τὸ σεῖον τὴν γῆν πνεῦμα φερομένην ὑπ' ἄλλου πνεύματος τὴν θάλατταν ἀπῶσαι μὲν ὅλως μὴ δύνηται, προωθοῦν δὲ καὶ συστέλ-
42 λον εἰς ταὐτὸν συναθροίσῃ πολλήν. 42. Τότε γὰρ ἀναγκαῖον ἡττηθέντος τούτου τοῦ πνεύματος ἀθρόαν ὠθουμένην ὑπὸ τοῦ ἐναντίου πνεύματος ἐκρήγνυσθαι καὶ ποιεῖν τὸν κατακλυσμόν.

cava, figurisque omnis generis praedita incidit omnes vocum differentias emittit, adeo ut nonnunquam terra (ut portentorum scriptores aiunt) mugire videatur. 39. Iam vero et aquae, quum terrae motus fiunt, eruperunt. Sed non idcirco aqua motus causa est. Verum spiritus, seu in summis partibus seu ex imo vim inferat, illa est qui movet, quemadmodum fluctuum venti causa sunt, non ventorum fluctus. Nam et terram affectionis huius causam hoc modo esse aliquis diceret: concussa enim velut aqua evertitur, quippe cum effusio quasi quaedam sit eversio. 40. At haec quidem ambo quoniam patiuntur, nec agunt, causa sunt, tamquam materia: spiritus vero, tamquam principium. Ubi autem inundatio una cum terrae motu facta est, ventorum contrariorum pugna in causa fuit. 41. Hoc autem evenit, cum spiritus terram concutiens, mare quod ab alio vento fertur, omnino repellere nequit: sed propellendo et in unum contrahendo, magnam eius vim colligit. 42. Tum enim spiritu hoc superato, confestim a vento pulsum erumpat et exundet ne-

43. Ἐγένετο δὲ τοῦτο καὶ περὶ Ἀχαΐαν· ἔξω μὲν γὰρ ἦν νό- 43
τος, ἐκεῖ δὲ βορέας, νηνεμίας δὲ γενομένης καὶ ἡσυχίου
τοῦ ἀνέμου ἐγένετο τό τε κῦμα καὶ ὁ σεισμὸς ἅμα, καὶ μᾶλλον
διὰ τὸ τὴν θάλατταν μὴ διδόναι διαπνοὴν τῷ ὑπὸ τὴν γῆν
ὡρμημένῳ πνεύματι, ἀλλ' ἀντιφράττειν· ἀποβιαζόμενα γὰρ
ἄλληλα τὸ μὲν πνεῦμα τὸν σεισμὸν ἐποίησεν, ἡ δ' ὑπόστασις
τοῦ κύματος τὸν κατακλυσμόν. 44. Κατὰ μέρος δὲ γίνονται 44
οἱ σεισμοὶ τῆς γῆς, καὶ πολλάκις ἐπὶ μικρὸν τόπον, οἱ δ' ἄνε-
μοι οὐ κατὰ μέρος· κατὰ μέρος μέν, ὅταν αἱ ἀναθυμιάσεις
αἱ κατὰ τὸν τόπον αὐτὸν καὶ τὸν γειτνιῶντα συνέλθωσιν εἰς
ἕν, ὥσπερ καὶ τοὺς αὐχμοὺς ἔφαμεν γίνεσθαι καὶ τὰς ὑπερομ-
βρίας τὰς κατὰ μέρος. 45. Καὶ οἱ μὲν σεισμοὶ γίνονται διὰ 45
τρῦτον τὸν τρόπον, οἱ δ' ἄνεμοι οὔ· τὰ μὲν γὰρ ἐν τῇ γῇ
τὴν ἀρχὴν ἔχει, ὥστ' ἐφ' ἓν ἁπάσας ὁρμᾶν· ὁ δ' ἥλιος οὐχ
ὁμοίως δύναται, τὰς δὲ μετεώρους μᾶλλον, ὥστε ῥεῖν, ὅταν
ἀρχὴν λάβωσιν ἀπὸ τῆς τοῦ ἡλίου φορᾶς ἤδη κατὰ τὰς δια-
φορὰς τῶν τόπων, ἐφ' ἕν. 46. Ὅταν μὲν οὖν ᾖ πολὺ τὸ 46
πνεῦμα, κινεῖ τὴν γῆν, ὥσπερ ἂν ὁ τρόμος, ἐπὶ πλάτος μέν,

cesse est. 43. Quod sane circa Achaiam factum est. Extra enim Auster erat, ibi Aquilo. Tranquillitate autem exorta, et spiritu intus fluente, inundatio simul et terrae motus acciderunt, eoque magis, quod mare nullam spiritui sub terra excurrenti transpirationem concedebat, verum sese obiiciebat. Vim enim sibi vicissim inferendo spiritus terram commovit, inundatioque residens diluvium fecit. 44. Per partes autem terrae motus fiunt et plerumque in spatio exiguo: venti vero non per partes. Ac per partes quidem, cum loci illius atque etiam finitimi exhalationes in unum coiverint, eadem ratione qua et siccitates et imbrium copiam per partes fieri dicebamus. 45. Ac eo quidem modo terrae motus efficiuntur: venti haud quaquam. Illa enim principium in terra obtinent, ut in unum omnes possint confluere, nec adeo in eas sol potest, magis autem in eas, quae in sublime elatae sunt, ita ut a solis motione principium cum sumpserint, pro varia locorum natura in unum confluant. 46. Ac spiritus quidem cum multus fuerit, terram quasi

γίνεται δ' ὀλιγάκις καὶ κατά τινας τόπους, οἷον ὁ σφυγμός, ἄνω καὶ κάτωθεν· διὸ καὶ ἐλαττονάκις σείει τοῦτον τὸν τρόπον. οὐ γὰρ ῥᾴδιον οὕτω πόλλην συνελθεῖν ἀρχήν· ἐπὶ μῆκος
47 γὰρ πολλαπλασία τῆς ἀπὸ τοῦ βάθους ἡ διάκρισις. 47. Ὅπου δ' ἂν γένηται τοιοῦτος σεισμός, ἐπιπολάζει πλῆθος λίθων, ὥσπερ τῶν ἐν τοῖς λίκνοις ἀναβραττομένων· τοῦτον γὰρ τὸν τρόπον γενομένου σεισμοῦ τὰ περὶ Σίπυλον ἀνετράπη καὶ τὸ Φλεγραῖον καλούμενον πεδίον καὶ τὰ περὶ τὴν Λιγυστικὴν
48 χώραν. 48. Ἐν δὲ ταῖς νήσοις ταῖς ποντίαις ἧττον γίνεται σεισμὸς τῶν προσγείων· τὸ γὰρ πλῆθος τῆς θαλάττης καταψύχει τὰς ἀναθυμιάσεις καὶ κωλύει τῷ βάρει καὶ ἀποβιάζεται, ἔτι δὲ ῥεῖ καὶ οὐ σείεται κρατουμένη ὑπὸ τῶν πνευμάτων· καὶ διὰ τὸ πολὺν ἐπέχειν τόπον οὐκ εἰς ταύτην ἀλλ' ἐκ ταύτης αἱ ἀναθυμιάσεις γίνονται καὶ ταύταις ἀκολουθοῦσιν αἱ ἐκ τῆς γῆς.
49 49. Αἱ δ' ἐγγὺς τῆς ἠπείρου μόριόν ἐστι τῆς ἠπείρου· τὸ γὰρ μεταξὺ διὰ μικρότητα οὐδεμίαν ἔχει δύναμιν· τὰς δὲ ποντίας οὐκ ἔστι κινῆσαι ἄνευ τῆς θαλάττης ὅλης, ἐφ' ἧς περιεχόμεναι

tremeret in latum movet. Fit vero et quibusdam in locis raro (veluti pulsus) ex infero in superum. Quocirca et rarius hoc modo concutitur, cum facile non sit, tantam principii multitudinem in unum coire. Illa enim secretio, quae in longum patet, multiplo illam superat, quae a profundo. 47. Ubi vero eius modi motus exortus fuerit, lapidum multitudo in terrae superficiem eiicitur, eorum instar, quae in vannis ventilantur. Hoc enim modo terrae motu facto Sipylus et qui Laborius vocatur campus nuncupatur ac regio Ligustica eversa fuerunt. 48. Porro in insulis, quae in alto sitae sunt, terrae motus minus vehementes fiunt, quum in iis, quae continenti magis propinquae. Maris enim multitudo exhalationes refrigerat et pondere prohibet atque vim infert. Quin et cum flatibus superatur, fluit, nec concutitur: et quia multum locum occupat, non ad ipsum, sed ex ipso exhalationes proficiscuntur, quas, quae e terra veniunt, comitantur. 49. Quae autem insulae vicinae habentur, eius partem efficiunt: siquidem, quod interiacet, ob exiguitatem nullius momenti est. At quae in mari procul

τυγχάνουσιν. 50. Περὶ μὲν οὖν σεισμῶν, καὶ τίς ἡ φύσις, καὶ 50
διὰ τίν' αἰτίαν γίνονται, καὶ περὶ τῶν ἄλλων τῶν συμβαινόν-
των περὶ αὐτούς, εἴρηται σχεδὸν περὶ τῶν μεγίστων.

IX. Περὶ δὲ ἀστραπῆς καὶ βροντῆς, ἔτι δὲ περὶ τυφῶ- 1
νος καὶ πρηστῆρος καὶ κεραυνῶν λέγωμεν· καὶ γὰρ τούτων τὴν
αὐτὴν ἀρχὴν ὑπολαμβάνειν πάντων δεῖ. 2. Τῆς γὰρ ἀναθυ- 2
μιάσεως, ὥσπερ εἴπομεν, οὔσης διττῆς, τῆς μὲν ὑγρᾶς τῆς δὲ
ξηρᾶς, καὶ τῆς συγκρίσεως ἐχούσης ἄμφω ταῦτα δυνάμει καὶ
συνισταμένης εἰς νέφος ὥσπερ εἴρηται πρότερον, ἔτι δὲ πυκνο-
τέρας τῆς συστάσεως τῶν νεφῶν γινομένης πρὸς τὸ ἔσχατον
πέρας. 3. Ἡ γὰρ ἐκλείπει τὸ θερμὸν διακρινόμενον εἰς τὸν 3
ἄνω τόπον, ταύτῃ πυκνοτέραν καὶ ψυχροτέραν ἀναγκαῖον εἶναι
τὴν σύστασιν. 4. Διὸ καὶ οἱ κεραυνοὶ καὶ οἱ ἐκνεφίαι καὶ 4
πάντα τὰ τοιαῦτα φέρεται κάτω, καίτοι πεφυκότος ἄνω τοῦ
θερμοῦ φέρεσθαι παντός. ἀλλ' εἰς τοὐναντίον τῆς πυκνότητος
ἀναγκαῖον γίνεσθαι τὴν ἔκθλιψιν, οἷον οἱ πυρῆνες οἱ ἐκ τῶν
δακτύλων πηδῶντες· καὶ γὰρ ταῦτα βάρος ἔχοντα φέρεται
πολλάκις ἄνω. 5. Ἡ μὲν οὖν ἐκκρινομένη θερμότης εἰς τὸν 5

a continenti sitae sunt, absque toto mari, quo ambiuntur, moveri nequeunt. 50. Ac de terrae quidem motibus, qualis natura eorum, et quam ob causam fiant et de reliquis, quae iis accidunt, de potissimis saltem, iam dictum est.

Cap. IX. De tonitru autem et fulgure, praeterea de typhone et prestere et de fulminibus dicamus. Horum enim omnium idem principium esse existimandum est. 2. Nam cum duplex, ut diximus, exhalatio sit, altera humida, altera sicca: cumque concretio ambo haec potestate habeat et in nubem (ut antea dictum est) concrescat: insuper cum nubium constitutio ad extremum terminum densior fiat: 3. Qua enim calor in superum locum secretus deficit, hac frigidior densiorque sit concretio necesse est. 4. Quocirca et fulmina et ecnephiae et omnia eius modi deorsum feruntur. Nam quamvis calidum omne sursum ferri natura aptum sit, in partem tamen densitati contrariam expressio fiat necesse est, quo modo et nuclei ex digitis elisi, qui pondus tametsi habent, sursum saepius feruntur. 5. Is qui-

ἄνω διασπείρεται τόπον. ὅση δ' ἐμπεριλαμβάνεται τῆς ξηρᾶς ἀναθυμιάσεως ἐν τῇ μεταβολῇ ψυχομένου τοῦ ἀέρος, αὕτη συνιόντων τῶν νεφῶν ἐκκρίνεται, βίᾳ δὲ φερομένη καὶ προσπίπτουσα τοῖς περιεχομένοις νέφεσι ποιεῖ πληγήν, ἧς ὁ ψόφος
6 καλεῖται βροντή. 6. Γίνεται δ' ἡ πληγὴ τὸν αὐτὸν τρόπον, ὥσπερ εἰκάσαι μείζονι μικρὸν πάθος, τῷ ἐν τῇ φλογὶ γινομένῳ ψόφῳ, ὃν καλοῦσιν οἱ μὲν τὸν Ἥφαιστον γελᾶν, οἱ δὲ τὴν Ἑστίαν, οἱ δ' ἀπειλὴν τούτων. γίνεται δ' ὅταν ἡ ἀναθυμίασις εἰς τὴν φλόγα συνεστραμμένη φέρηται, ῥηγνυμένων καὶ ξηραι-
7 νομένων τῶν ξύλων. 7. Οὕτω γὰρ καὶ ἐν τοῖς νέφεσι γινομένη ἡ τοῦ πνεύματος ἔκκρισις πρὸς τὴν πυκνότητα τῶν νεφῶν εἰσπίπτουσα ποιεῖ τὴν βροντήν. παντοδαποὶ δ' οἱ ψόφοι διὰ τὴν ἀνωμαλίαν τε γίνονται τῶν νεφῶν καὶ διὰ τὰς μεταξὺ κοιλίας, ᾗ τὸ συνεχὲς ἐκλείπει τῆς πυκνότητος. ἡ μὲν οὖν
8 βροντὴ τοῦτ' ἐστι καὶ γίνεται διὰ ταύτην τὴν αἰτίαν. 8. Τὸ δὲ πνεῦμα τὸ ἐκθλιβόμενον τὰ πολλὰ μὲν ἐκπυροῦται λεπτῇ καὶ ἀσθενεῖ πυρώσει, καὶ τοῦτ' ἐστιν ἣν καλοῦμεν ἀστραπήν, ἢ ἂν
9 ὥσπερ ἐκπῖπτον τὸ πνεῦμα χρωματισθὲν ὀφθῇ. 9. Γίνεται δὲ

dem, qui secernitur calor, in superum locum dispergitur: quantum vero siccae exhalationis in aëris frigescentis mutatione intercipitur, id coëuntibus nubibus excernitur, quae cum vi feratur et in nubes, quae ambiunt, incidat, ictum facit, cuius sonitus tonitru nuncupatur. 6. Fit autem ictus ea ratione, (si parva licet componere magnis) qua sonus, qui in flamma excitatur, quem alii Vulcani, alii Vestae risum vocant, alii horum minas. Fit vero cum exhalatio in flammam conversa disruptis exsiccatisque lignis fertur. 7. Sic enim et quae in nubibus fit spiritus secretio, in nubium incidens densitatem, tonitruum facit. Varii autem soni fiunt, tum ob nubium inaequalitatem, tum ob concavitates intermedias, qua videlicet densitatis continuatio deficit. Atque hoc quidem tonitru est, et ob hanc causam efficitur. 8. Spiritus autem extenditur, tenui et imbecilli ardore frequenter accenditur, idque est, quod fulgur vocamus, qua parte excidens spiritus variis coloribus tinctus visus fuerit. 9. Fit vero post ictum, posteriusque est tonitruo sed prius ap-

μετὰ τὴν πληγὴν καὶ ὕστερον τῆς βροντῆς· ἀλλὰ φαίνεται πρότερον διὰ τὸ τὴν ὄψιν προτερεῖν τῆς ἀκοῆς. δηλοῖ δ' ἐπὶ τῆς εἰρεσίας τῶν τριήρων· ἤδη γὰρ ἀναφερόντων πάλιν τὰς κώπας ὁ πρῶτος ἀφικνεῖται ψόφος τῆς κωπηλασίας. 10. Καίτοι τι- 10
νὲς λέγουσιν ὡς ἐν τοῖς νέφεσιν ἐγγίνεται πῦρ· τοῦτο δ' Ἐμπεδοκλῆς μέν φησιν εἶναι τὸ ἐμπεριλαμβανόμενον τῶν τοῦ ἡλίου ἀκτίνων, Ἀναξαγόρας δὲ τοῦ ἄνωθεν αἰθέρος, ὃ δὴ κεῖνος καλεῖ πῦρ, κατενεχθὲν ἄνωθεν κάτω. 11. Τὴν μὲν οὖν διά- 11
λαμψιν ἀστραπὴν εἶναι τούτου τοῦ πυρός, τὸν δὲ ψόφον ἐναποσβεννυμένου καὶ τὴν σίξιν βροντήν, ὡς καθάπερ φαίνεται καὶ γινόμενον οὕτω καὶ πρότερον τὴν ἀστραπὴν οὖσαν τῆς βροντῆς. 12. Ἄλογος δὲ καὶ ἡ τοῦ πυρὸς ἐμπερίληψις, ἀμ- 12
φοτέρως μέν, μᾶλλον δ' ἡ κατάσπασις τοῦ ἄνωθεν αἰθέρος· τοῦ τε γὰρ κάτω φέρεσθαι τὸ πεφυκὸς ἄνω δεῖ λέγεσθαι τὴν αἰτίαν, καὶ διὰ τί ποτε τοῦτο γίνεται κατὰ τὸν οὐρανὸν ὅταν ἐπινέφελον ᾖ μόνον, ἀλλ' οὐ συνεχῶς οὕτως. 13. Αἰθρίας 13
δ' οὔσης οὐ γίνεται· τοῦτο γὰρ παντάπασιν ἔοικεν εἰρῆσθαι προχείρως. ὁμοίως δὲ καὶ διὰ τὸ τὴν ἀπὸ τῶν ἀκτίνων θερμό-

paret, propterea quod adspectus auditum antevertit id quod triremium remigatione declaratur. Cum enim rursus remos referunt, primus remigerationis sonus ad aures pervenit. 10. Quamquam nonnulli aiunt intra nubes ignem generari. Hunc autem Empedocles id esse ait, quod ex solis radiis intra eas intercipitur. Anaxagoras vero, quod o supero aethere, quem ille ignem vocat, e sublimi deorsum delatum est. 11. Huius igitur ignis coruscationem fulgur esse, sonitum vero et stridorem, quem facit, cum intra nubes exstinguitur, tonitruum, quasi ut fulgur tonitruo prius apparet, ita quoque prius oriatur. 12. Sed illa quoque ignis interceptio a sana ratione prorsus aliena est, et utroque quidem modo, sed tamen magis superi aetheris detractio. Nam et causa dicenda est, cur deorsum id feratur, quod sursum ferri idoneum est, et quam id ob causam in caelo, cum nubilum est, tantum fiat, neque perpetuo cum ita affectum est. 13. Sereno autem non fit. Hoc enim inconsiderate dictum modis omnibus videtur. Eodem modo neque id,

τητα φάναι τὴν ἀπολαμβανομένην ἐν τοῖς νέφεσιν εἶναι τού-
14 των αἰτίαν οὐ πιθανόν. 14. Καὶ γὰρ οὗτος ὁ λόγος ἀπραγ-
μόνως εἴρηται λίαν· ἀποκεκριμένον τε γὰρ ἀναγκαῖον εἶναι τὸ
αἴτιον ἀεὶ καὶ ὡρισμένον, τῆς τε βροντῆς καὶ ἀστραπῆς καὶ
τῶν ἄλλων τῶν τοιούτων, καὶ οὕτω γίνεσθαι. τοῦτο δὲ δια-
15 φέρει πλεῖστον. 15. Ὅμοιον γὰρ κἂν εἴ τις οἴοιτο τὸ ὕδωρ
καὶ τὴν χιόνα καὶ τὴν χάλαζαν ἐννπάρχοντα πρότερον ὕστερον
ἐκκρίνεσθαι καὶ μὴ γίνεσθαι, οἷον ὑπὸ χεῖρα ποιούσης ἀεὶ τῆς
16 συγκρίσεως ἕκαστον αὐτῶν. 16. Ὡσαύτως γὰρ ἐκεῖνά τε συγ-
κρίσεις καὶ ταῦτα διακρίσεις ὑπολεπτέον εἶναι, ὥστ' εἰ θάτερα
τούτων μὴ γίνεται ἀλλ' ἔστι, περὶ ἀμφοτέρων ὁ αὐτὸς ἁρμόσει
λόγος. τήν τε ἐναπόληψιν τί ἂν ἀλλοιότερον λέγοι τις ἢ κάθα-
περ ἐν τοῖς πυκνοτέροις; καὶ γὰρ τὸ ὕδωρ ὑπὸ τοῦ ἡλίου καὶ
17 τοῦ πυρὸς γίνεται θερμόν. 17. Ἀλλ' ὅμως ὅταν πάλιν συνῇ
καὶ ψύχηται τὸ ὕδωρ πηγνύμενον, οὐδεμίαν συμβαίνει γίνεσθαι
τοιαύτην ἔκπτωσιν οἵαν ἐκεῖνοι λέγουσιν. καίτοι γ' ἐχρῆν κατὰ
λόγον τοῦ μεγέθους τὴν ζέσιν ποιεῖν τὸ ἐγγινόμενον πνεῦμα
ὑπὸ τοῦ πυρός, ἣν οὔτε δυνατὸν ἐννπάρχειν πρότερον, οὔτ'

quod dicitur, calorem e radiis in nubibus interceptum horum causam esse, probabile est. 14. Ratio enim haec nimis oscitanter adlata est, quippe cum et tonitrui et fulguris et aliarum eius modi rerum secretam semper ac definitam causam esse, atque ita oriri ea oporteat. Hoc autem plurimum differt. 15. Simile enim est atque si quis putet aquam, nivem et grandinem, cum antea inessent, postea excerni et non oriri, quasi eorum quodque, ut sub manu sit, semper faciente concretione. 16. Eodem namque modo illa concretiones et haec secretiones esse censendum est. Quare si horum altera non fiunt, sed sunt, utrisque eadem ratio congruet. Praeterea interceptionem cur magis diversam quis dixerit, quam ut in rebus densioribus? Nam et aqua a sole et igne calida redditur. 17. Nec tamen cum rursus illa coit et gelatione refrigeratur, tale quidpiam, quale illi aiunt, excidit. Atqui et spiritum, qui ab igne ingignitur, fervorem pro magnitudinis ratione facere oportebat, quam nec antea inesse possibile est, nec illi sonitum fervorem

ἐκεῖνοι τὸν ψόφον ζέσιν ποιοῦσιν, ἀλλὰ σίξιν. ἔστι δὲ καὶ ἡ σίξις μικρὰ ζέσις. ἢ γὰρ τὸ προσπῖπτον κρατεῖ σβεννύμενον, ταύτῃ ζέσιν ποιεῖ τὸν ψόφον. 18. Εἰσὶ δέ τινες οἳ τὴν ἀστρα- 18
πήν, ὥσπερ καὶ Κλείδημος, οὐκ εἶναί φασιν ἀλλὰ φαίνεσθαι, παρεικάζοντες ὡς τὸ πάθος ὅμοιον ὂν καὶ ὅταν τὴν θάλαττάν τις ῥάβδῳ τύπτῃ· φαίνεται γὰρ τὸ ὕδωρ ἀποστίλβον τῆς νυκτός. οὕτως ἐν τῇ νεφέλῃ ῥαπιζομένου τοῦ ὑγροῦ τὴν φαντασίαν τῆς λαμπρότητος εἶναι τὴν ἀστραπήν. 19. Οὗτοι μὲν οὖν οὔπω 19
συνήθεις ἦσαν ταῖς περὶ τῆς ἀνακλάσεως δόξαις, ὅπερ αἴτιον δοκεῖ τοῦ τοιούτου πάθους εἶναι· φαίνεται γὰρ τὸ ὕδωρ στίλβειν τυπτόμενον ἀνακλωμένης ὑπ' αὐτοῦ τῆς ὄψεως πρός τι τῶν λαμπρῶν. διὸ καὶ γίνεται τοῦτο μᾶλλον νύκτωρ· τῆς γὰρ ἡμέρας οὐ φαίνεται διὰ τὸ πλέον ὂν τὸ φέγγος τὸ τῆς ἡμέρας ἀφανίζειν. 20. Τὰ μὲν οὖν λεγόμενα περὶ βροντῆς καὶ ἀστρα- 20
πῆς παρὰ τῶν ἄλλων ταῦτ' ἐστί, τῶν μὲν ὅτι ἀνάκλασις ἡ ἀστραπή, τῶν δ' ὅτι πυρὸς μὲν ἡ ἀστραπὴ διάλαμψις, ἡ δὲ βροντὴ σβέσις, οὐκ ἐγγινομένου παρ' ἕκαστον πάθος τοῦ πυρὸς ἀλλ' ἐνυπάρχοντος. 21. Ἡμεῖς δέ φαμεν τὴν αὐτὴν εἶναι 21

faciunt, sed stridorem. Est vero stridor exiguus quidam fervor. Qua enim parte quod incidit, dum exstinguitur, evincit, ea parte effervescens sonitum reddit. 18. Sunt autem nonnulli, inter quos Clidemus, qui fulgur aiunt non esse, sed apparere iique comparatione utuntur, quasi affectio similis sit, atque ea quae exsistit, quando mare quispiam virga percutiat. Ut enim noctu aqua splendere videtur, ita et in nebula humore verberato splendorem, qui fulgur est, apparere. 19. Sed his, quae de reflexione sunt, opinionibus ii assueti nondum erant: quod quidem videtur eius modi affectionis causa esse. Aqua enim dum percutitur micare videtur, adspectu ab ea ad aliquid splendidum reflexo, quam ob rem et noctu hoc magis accidit: interdiu enim non apparent, propterea quod maiore diei lumine obscuratur. 20. Quae igitur de tonitru et fulgure ab aliis dicuntur, haec sunt: aliis quidem fulgur reflexionem esse dicentibus, aliis fulgur quidem esse ignis splendorem, tonitru vero ignis exstinctionem, non eius, qui in singulis affectionibus in

φύσιν ἐπὶ μὲν τῆς γῆς ἄνεμον, ἐν δὲ τῇ γῇ σεισμόν, ἐν δὲ τοῖς νέφεσι βροντήν· πάντα γὰρ εἶναι ταῦτα τὴν οὐσίαν ταὐτόν, ἀναθυμίασιν ξηράν, ἣ ῥέουσα μέν πως ἄνεμός ἐστιν, ὠδὶ δὲ ποιεῖ τοὺς σεισμούς, ἔν δὲ τοῖς νέφεσι μεταβάλλουσα ἐκκρινομένη, συνιόντων καὶ συγκρινομένων αὐτῶν εἰς ὕδωρ, βροντάς τε καὶ ἀστραπὰς καὶ πρὸς τούτοις τἆλλα τὰ τῆς αὐτῆς
22 φύσεως τούτοις ὄντα. 22. Καὶ περὶ μὲν βροντῆς εἴρηται καὶ ἀστραπῆς.

nubibus ingeneretur, sed qui insit. 21. Nos vero eiusdem naturae esse dicimus, supra terram ventum, in terra terrae motum, in nubibus tonitruum. Omnia enim haec idem esse, videlicet aridam exhalationem, quae modo quodam fluens ventus est, alio modo terrae motus provocat; cum vero in nubibus mutata excernitur, illis in aquam coëuntibus et concrescentibus, tonitrua et fulgura caeteraque omnia eandem, quam haec, naturam habentia. 22. Ac de tonitru quidem et fulgure dictum est.

EXCERPTA

EX

COMMENTARIIS

ALEXANDRI, IOHANNIS PHILOPONI

ET OLYMPIODORI

IN

ARISTOTELIS METEOROLOGICORUM

LIBRUM PRIMUM.

Blank page retained for pagination

Τὸ γνήσιον· τινὲς νοθείαν τοῦ πρώτου βιβλίου κατεψηφίσαντο. πρῶτον μὲν ἐκ τοῦ παραβῆναι αὐτὸν τὸν Ἀριστοτέλην καὶ σαφήνειαν ἐπιτηδεῦσαι. ἀλλ' ἐροῦμεν πρὸς αὐτούς, ὅτι πολλῇ καὶ πάνυ ἀσαφηνείᾳ κέχρηται ἐν τῷ λέγειν αὐτόν. ὧν τὰ μὲν ἀποροῦμεν, τῶν δ' ἐφαπτόμεθά τινα τρόπον. καὶ ἔστιν εἰπεῖν μᾶλλον ἐνταῦθα, ὅτι ἀσαφῶς φέρεται μᾶλλον ἢπερ ἐν τῇ περὶ ψυχῆς· καὶ γὰρ διὰ τὸ ὅμοιον εἶναι τὸ γίνωσκον τῷ γινωσκομένῳ σαφῆ εἶσι τὰ διδασκόμενα. ἐνταῦθα δὲ κατὰ μὲν τὴν λέξιν σαφῶς φέρεται, κατὰ δὲ τὰ ἐνθυμήματα πάνυ ἀσαφῶς, ὥς φησιν αὐτός· ὧν τὰ μὲν ἀποροῦμεν, τῶν δ' ἐφαπτόμεθα τρόπον τινά. ἐν ἄλλῃ δὲ πραγματείᾳ οὐκ εἴρηται αὐτῷ τοιοῦτόν τι· ἄλλως τε τὸ κατὰ συμβεβηκὸς ἐνταῦθα σαφῶς διδάσκει, ὅτι περὶ μερικῶν διαλαμβάνει, χρειώδης δὲ τοῖς μερικοῖς ἡ σαφήνεια· πάλιν φασὶ νόθον τὸ παρὰ πρῶτον βιβλίον, ἐπειδὴ ψευδῆ λέγει καὶ ἐναντία ἑαυτῷ κατὰ ἐκπομπὴν λέγων γίνεσθαι τὴν ὅρασιν· φαμὲν οὖν, ὅσον ἐπὶ τούτῳ ἀθετήσομεν καὶ τὴν φυσικὴν ἀκρόασιν. κἀκεῖ γὰρ φαίνεται τοῦτο λέγων. φησὶ γὰρ *) ἐναντίως ἔχει ἡ μαθηματικὴ τῇ ὀπτικῇ· ἡ μὲν γὰρ μαθηματικὴ τὴν φυσικὴν εὐθεῖαν μαθηματικὴν ποιεῖ, ἡ δέ γε ὀπτικὴ τὴν μαθηματικὴν εὐθεῖαν φυσικὴν ποιεῖ· καὶ ὅρα, ὅτι εὐθεῖαν εἶπεν· ᾧ δῆλον, ὅτι κατ' ἐκπομπὴν εἶπε κἀκεῖσε γίνεσθαι τὴν ὅρασιν· ἡμεῖς δὲ φαμέν, ὅτι οὐκ ἐπειδὴ ἐνταῦθα πρεσβεύει

*) *Phys. Auscult.* II, 2. p. 194, a: δῆλοῖ δὲ καὶ τὰ φυσικώτερα τῶν μαθημάτων, οἷον ὀπτικὴ καὶ ἁρμονικὴ καὶ ἀστρολογία· ἀνάπαλιν γὰρ τρόπον τιν' ἔχουσι τῇ γεωμετρίᾳ· ἀλλ' ἡ μὲν γεωμετρία περὶ γραμμῆς φυσικῆς σκοπεῖ, ἀλλ' οὐχ ᾗ φυσική, ἡ δ' ὀπτικὴ μαθηματικὴν μὲν γραμμήν, ἀλλ' οὐχ ᾗ μαθηματικὴ ἀλλ' ᾗ φυσική.

τὴν ὄψιν, ἤδη καὶ νόθον ἐστὶ τὸ βιβλίον. ἡνίκα μὲν γὰρ σκόπον ἔχει ὁ φιλόσοφος περὶ ὄψεως διαλεχθῆναι, τότε τὴν οἰκείαν ἐμφαίνεται δόξαν, ὡς ἐποίησεν ἐν τῇ περὶ αἰσθήσεως καὶ αἰσθητῶν πραγματείᾳ τὸ ἀληθὲς παραδιδούς *). ὡσαύτως δὲ καὶ ἐν τῇ περὶ ψυχῆς **) τὴν ἑαυτοῦ ἐμφαίνει δόξαν εἰ καὶ σαφῶς ***). ἐκεῖ γὰρ τὴν ὄψιν κατ' εἰσδοχὴν ἐπρέσβευσεν ἀκαίρως τὴν οἰκείαν δόξαν δημοσιεύων. ἡνίκα δὲ ὡς ἐν παρεκβάσει γίνεται αὐτῷ ὁ λόγος, τότε τῇ τῶν πολλῶν δόξῃ κατακολουθεῖ. ὥσπερ οὖν ἐν τῇ φυσικῇ ἀκροάσει πεποίηκεν, οὕτως καὶ ἐνταῦθα κατ' ἐκπομπὴν πρεσβεύων εἶναι τὴν ὄψιν· πάλιν φασὶ νόθον τὸ παρὸν βιβλίον, ἐπειδὴ τῆς θερμότητος τοῦ ἀέρος αἰτιᾶται τὴν παράτρεψιν τῶν ἀκτίνων μὴ οὐσῶν κατ' αὐτόν †). ἀσώματον γὰρ τὸ φῶς βούλεται· ὅπου γὰρ εἰ καὶ εἴησαν, οὐδὲ οὕτως ἠδύναντο παρατρίβεσθαι, διότι οὐκ ἔχουσι φύσιν μάχεσθαι· τὰ γὰρ ὁμογενῆ τοῖς ὁμογενέσι μάχεται. ἀνόμοιος δὲ ὁ ἀὴρ πρὸς τὰ οὐράνια καθ' αὑτόν· πέμπτης γὰρ ταῦτα λέγει τῆς οὐσίας· τί οὖν φαμέν; ὅτι τῇ τῶν πολλῶν καὶ ἐν τούτῳ δόξῃ κατηκολούθησεν. πάλιν φασὶ νόθον τὸ παρὸν βιβλίον, διότι τὸν γαλαξίαν πάθος εἶναί φησι τοῦ ἀέρος, ὅπερ ψεῦδος· ἀεὶ γὰρ ὡσαύτως φαίνεται ἔχων, ὅπότε καὶ περὶ αὐτοῦ ἀνεγράψαντο οἱ Χαλδαῖοι· τί οὖν φαμέν; οὐδὲ αὐτὸ περὶ τούτου ἀπεφήνατο. ἔχομεν γὰρ τρόφια ††) αὐτοῦ ἀποφήναντες δεῖξαι, ὅτι μετὰ τὴν ἀπαριθμησιν γαλαξίου ἐπήγαγεν. ὧν τὰ μὲν ἀποροῦμεν, τῶν δ' ἐφαπτόμεθα τρόπον τινά· καὶ οὐ περὶ ἄλλου οἶμαι, ὅτι εἴρηται τὸ ἀπορούμενον, εἰ μὴ περὶ τοῦ γαλαξίου. Olymp.

Ἡ εἰς τὰ μόρια διαίρεσις.] Διαιρεῖται τὸ παρὸν βιβλίον εἰς τέσσαρας λόγους· καὶ ἐν μὲν τῷ πρώτῳ παραδίδωσι τὰ πάθη πάντα τὰ ἐκ τῆς καπνώδους ἀναθυμιάσεως καὶ τῆς ἀτμιδώδους· ἐν δὲ τῷ πέρατι καί τινα σαφῆ παραδίδωσι τὰ πάθη πάντα τῆς καπνώδους· ὁμοίως δὲ καὶ ἐν τῷ δεν-

*) Cap. 3. p. 440, a.

**) II, 7. p. 418, b. sq.

***) Scr. ἀσαφῶς.

†) Scr. καθ' αὑτόν.

††) Locus procul dubio corruptus, quamvis intelligere nequeam, quomodo sanandus sit.

τέρῳ περὶ τῶν ἀσαφῶν τῆς καπνώδους ἀναθυμιάσεως διαλέγεται· ἐν δὲ τῷ τρίτῳ τὰ ὑπόλοιπα τῆς ἀτμιδώδους· ἀπαντα-χοῦ γὰρ καὶ ἐν τοῖς σαφέσι καὶ ἐν τοῖς ἀσαφέσι προτάττει τὰ τῆς καπνώδους τῇ τάξει τοῦ παντὸς κατακολουθήσας· πρότερον γὰρ τὸ πύρινον στοιχεῖον, εἶτα τὸ ἀέρινον. ἀναλογεῖ δὲ τῷ μὲν πυρὶ ἡ καπνώδης ἀναθυμίασις· τῷ δ' ἀέρι ἡ ἀτμιδώδης· ἐν δὲ τῷ πέρατι τοῦ τρίτου βιβλίου περί τινων ἀψύχων διαλέγεται, οἷον περὶ τῶν μετάλλων· ἐν δὲ τῷ τετάρτῳ περὶ τῶν ἁπλῶς συνθέτων ὁμοιομερῶν, ἀψύχων φημὶ καὶ ἐμψύχων· ἐπεὶ δὲ τῶν ὁμοιομερῶν συνθέτων ἐμνήσθημεν, χρὴ μὲν εἰδέναι, ὅτι τῶν συνθέτων τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ, καὶ ἑκάτερον τούτων τριτόν ἐστι σύνθετα ὁμοιομερῆ ἄψυχα, ἅπερ διδάσκει ἐν τῷ πέρατι τοῦ τρίτου λόγου τῆς προσούσης πραγματείας καὶ ἐν τῷ μονοβίβλῳ περὶ μετάλλων γεγραμμένῃ *). Olymp.

Ἰστέον δέ, ὅτι Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς τὸ πέρας τοῦ τρίτου λόγου τῆς παρούσης πραγματείας καὶ τὸν τέταρτον λόγον χωρίζει ἀπὸ τῶν μετεώρων καὶ συνάπτει τῷ περὶ γενέσεως καὶ φθορᾶς τοὺς πρώτους τῶν μετεώρων λόγους· ἔδει γάρ φησι μετὰ τὴν εἴδησιν τῶν στοιχείων εἰδέναι καὶ τὰ ἐξ αὐτῆς γινόμενα, φησὶ δὲ τὰ σύνθετα· ὁ δέ γε φιλόσοφος Ἀμμώνιος συνηγορεῖ λέγων, ὅτι δεῖ ἀπὸ τῶν μετεώρων διακρίνεσθαι αὐτά, καὶ προσάπτεσθαι τῇ περὶ γενέσεως καὶ φθορᾶς. οὕτω γὰρ εὑρεθήσεται διασπωμένη ἡ περὶ τῶν στοιχείων διδασκαλία μεσολαβουμένη καὶ διακοπτομένη ὑπὸ τῆς τῶν συνθέτων πραγμάτων ὑφηγήσεως· δέον γάρ ἐστι μετὰ τὰ περὶ γενέσεως καὶ φθορᾶς τοὺς πρώτους μαθεῖν τῶν μετεώρων λόγους· περὶ γὰρ τῶν στοιχείων οὗτοι διδάσκουσι, καὶ οὕτω τοὺς τελευταίους λόγους **) τῶν μετεώρων, ἐν ᾧ ἡ περὶ συνθέτων διδασκαλία. Olymp.

---

*) Qui liber de metallis, nunc deperditus, utrum ab Aristotele an a discipulo Theophrasto compositus fuerit, iam antiquitus dubitatum est, quod patet ex Polluc. *Onomast.* VII, 99. cfr. Schneider ad Theophrast. Tom. IV. p. 539.

**) Fort. *καὶ οὕτω καὶ ὁ τελευταῖος λόγος.*

Cap. I. *Ὅσα τε θείημεν ἀέρος εἶναι κοινὰ πάθη καὶ ὕδατος*] *Κοινὰ λέγει πάθη ἀέρος καὶ ὕδατος τὴν ἶριν καὶ τὴν ἅλω. ὅθεν ὡς ἐπιτοπλεῖστον ὑετοῦ μέλλοντος κατενεχθῆναι γίνονται**), *καὶ δηλοῖ μάλιστα ἡ ἶρις τὸν ὑετὸν ἐσόμενον. διὸ καὶ ὁ ποιητὴς ὑετῶν μάντιν καλῶν αὐτὴν* **), *οὐκ ἄνευ τῶν πραγμάτων τῷ ἐπιθέτῳ χρήσεται· ἶρις δὲ ἐκλήθη παρὰ τὸ ἀγγέλλειν, ἐπειδὴ καὶ ἡ παρὰ τοῖς θεοῖς ἶρις ἄγγελός ἐστιν. ἅλως δὲ ἐκλήθη διὰ τὸ ἐοικέναι ἁλωνίᾳ· καὶ γὰρ ὥσπερ ἡ ἁλωνία περιφερὴς διὰ τὸ κύκλῳ τοὺς βόας τὸν δημητριακὸν* ***) *καρπὸν καταθραύοντας καὶ διακρίνοντας τὸν καρπὸν ἀπὸ τῆς καλάμης* †), *οὕτως καὶ ἡ ἅλως αὕτη περὶ σελήνην γινομένη κυκλοτερής ἐστιν.* Olymp.

Ἐν οἷς τὰ μὲν ἀποροῦμεν, τῶν δ' ἐφαπτόμεθά τινα τρόπον] *Περὶ μὲν γὰρ τῶν ἐν τούτοις γινομένων τὰ μὲν ἀποροῦμεν, οἷον περὶ τοῦ πῶς ἶρις γίνεται, διὰ τί τὸ τῆς θαλάσσης ὕδωρ ἁλμυρόν, τῶν δὲ ἐφαπτόμεθά τινα τρόπον, οἷον περὶ τῆς τῶν νεφῶν συστάσεως καὶ περὶ τῆς εἰς ὕδωρ αὐτῶν μεταβολῆς· καὶ γὰρ, εἰ μὴ τὸ ἀκριβὲς εἰπεῖν περὶ τῶν τοιούτων ἔχομεν, ἀλλ' οὐ πάντη ἐν ἀγνοίᾳ τῆς γενέσεως αὐτῶν ἐσμέν.* Alex.

Ἔτι δὲ περὶ κεραυνῶν πτώσεως καὶ πρηστήρων καὶ τυφώνων] *Ἰστέον ὅτι ἡ καπνώδης ἀναθυμίασις ἢ ἐκ τοῦ νέφους ἐκπυρηνιζομένη καὶ θλιβομένη διὰ τὴν ψῦξιν, ἢ αὐτὴ καθ' αὑτὴν ἐκκρίνεται, ἢ μετὰ ἀτμίδος καὶ καθ' ἑκάτερον τούτων ἐκπυρωθεῖσα ποιεῖ τὸν κεραυνόν· οὗτος δὲ διττός ἐστιν· ἢ γὰρ οὔκ ἐστι καυστικὸς οὐδὲ μελαίνει, ὃν φησιν ὁ ποιητὴς ἀργῆτα κεραυνόν* ††), *ἢ καίει καὶ μελαίνει ὃν καλεῖ ψολοέντα* †††). *οὐ πάνυ δ' ἐστὶ καυστικὸς ὁ κεραυνὸς διὰ τὸ*

---

*) *Meteorol. vet.* X, 49. p. 205 sq.

**) *Iliad.* XVII, 547—550.

***) Ald. *δημιτριακόν.*

†) Cfr. Heyne et Voss ad Virgil. *Georg.* I, 178. Ruhkopf ad Senec. *Quaest. nat.* I, 2. p. 22.

††) Cfr. *Meteorol.* III, 1.

†††) *Ψολοείς κεραυνός* plus semel apud Homerum occurrit, sed

λεπτομερὲς τῆς καπνώδους ἀναθυμιάσεως ὅπερ οὐκ ἔχει τὸ ἀντίτυπον· διὰ τοῦτο γὰρ καὶ ἀργῆτα κεραυνὸν εἶπε διὰ τὸ ἀργῶς καίειν. ψολοέντα δὲ διὰ τὸ ψαύοντα μελαίνειν. εἰ δὲ ἐκκριθείη ἐκπυρωθεῖσα μετὰ ἀτμίδος ποιεῖ τὸν πρηστῆρα, ὅστις καίει. πλὴν μὴ ἀπορήσῃς, διὰ τί ὁ κεραυνὸς ὢν ἔχων ξηροτέραν ὕλην μὴ μᾶλλον καίει. ῥητέον γάρ, ὅτι διὰ τὸ μὴ ἀντιβαίνειν· οὕτως καὶ σιδήρου πυρωθέντος, ἐπ' ἔλαττον καίει τὸ πῦρ· μᾶλλον γὰρ ἁπτόμεθα πυρὸς ἢ σιδήρου πυρωθέντος. οὕτω μὲν οὖν εἰ ἐκπυρωθεῖσα ἐξενεχθῇ. εἰ δὲ ἀνεκπύρωτος, εἰ μὲν αὐτὴ καθ' αὑτήν, ποιεῖται ἐκνέφια πνεύματα, ἅπερ ἑλικοειδῶς ἀνελίττονται καὶ κινοῦνται διὰ τὸ λοξὴν ποιεῖσθαι τὴν ἐκ τῶν νεφῶν δίοδον· καὶ γὰρ αἱ τρίχες οὖλαι γίνονται, ἡνίκα τύχωσι λοξότητος πόρων. ταῦτα μὲν οὖν, εἰ αὐτὴ καθ' αὑτὴν ἐκκριθείη. εἰ μέντοι μετὰ ἀτμίδος, ποιεῖ τοὺς καλουμένους τυφῶνας. οἵ τινες πολλάκις καὶ αὔτανδρα πλοῖα ἀνήρπασαν ἢ πρόρριζα δένδρα, ἅπερ ἀπολύουσιν ἡνίκα ταῦτα γενόμενα διὰ τὴν πολλὴν κίνησιν καύσεως γινομένης· τούτους δὲ τοὺς τυφῶνας καὶ σίφωνας καλοῦσι διὰ τὸ καὶ ὕδωρ πολλάκις ἀναρπάσαι *). καλοῦσι δὲ αὐτὴν καὶ οὐρανίαν **) ἰδιωτικῷ ὀνόματι. τυφὼν δὲ καλεῖται διὰ τὸ τύπτειν διὰ τοῦ τάχους τοῦ πνεύματος. διὰ γὰρ τοῦτο καὶ ὁ ποιητὴς φησι καὶ τὰς ἀέλλας καὶ τὰς συστροφὰς τῶν πνευμάτων ***). Olymp.

3. *Διελθόντες δὲ περὶ τούτων, θεωρήσομεν εἴ τι δυνάμεθα .... χωρίς*] Μετὰ γὰρ τὰ μετεωρολογικὰ ἡ περὶ ζῴων καὶ φυτῶν λείπεται θεωρία. περὶ γὰρ τούτων ἄλλων ἐν τῷ τετάρτῳ τῶν προκειμένων ἐδίδαξε †). Phil

in extremis tantum Odysseae libris. Spohn de *extrem. O parte* p. 158. Adde Stanley ad Aeschyl. *Prometh.* 359. p ed. Schütz.

*) Infra fol. 46, *a* dicit Graecis audire *σίφωνας, διὰ τὸ δίκην σ νος ἀνασπᾶν τὸ ὕδωρ θαλάσσης.*

**) Cfr. Erfurdt ad Sophocl. *Antigon.* 414, qui docet quodvis ingens et portentosum a Graecis, praesertim poëtis, *οὐράνιον* vocatum esse.

***) Hesiodus *Theogon.* v. 869 — 880.

†) Unde patet Philoponi aetate nullum de metallis librum sub Aristotelis nomine circumlatum esse.

Cap. III. §. 2 et 3. *Πρῶτον μὲν οὖν ἀπορήσειεν ἄν τις περὶ τὸν καλούμενον ἀέρα*]. *Ἐν τοῖς πέντε* (στοιχείοις) *ὕδωρ μόνον καὶ γῆν ὁρῶμεν. τῶν δ' ἄλλων οὐδὲν ὁρῶμεν· οὐκ ἄρα οὐδὲ τὸ πέμπτον σῶμα, οὐδὲ τὸ ὑπέκκαυμα. τούτων οὕτως ἐχόντων, μάτην γὰρ *) καὶ τὸ ὕδωρ καὶ τὸ ὑπόλοιπον ὅλον τὸ ἀπὸ τούτων μέχρι τῶν ἐσχάτων ἄστρων τί ἂν εἴη. ἢ γὰρ πῦρ μόνον ἐστίν, ἢ ἀὴρ μόνον, ἢ καὶ ἀὴρ καὶ πῦρ. καὶ τοῦτο διχῶς· ἢ γὰρ τὰ ἄστρα καὶ αἱ σφαῖραι πύρεια, μόνον δὲ τὰ μεταξὺ ἀέρια, ἢ τὰ μὲν ἄστρα μόνον πύρεια, αἱ δὲ σφαῖραι καὶ τὸ μεταξὺ ὅλον ἀέριον· αὗται γὰρ αἱ δόξαι δοκοῦσί πως εἶναι πιθαναί. καὶ γὰρ δοκεῖ πᾶν ἀὴρ εἶναι διὰ τὸ ἀόρατον. ἀλλὰ μὴν τῶν μὲν ἄστρων πύρειον **), τὸ δὲ λοιπὸν ὅπαν ἀέριον διὰ τὸ καὶ τὸν ἀέρα καὶ τὸ ὑπέκκαυμα, καὶ τὰς σφαίρας ἀοράτους εἶναι· μόνα δὲ τὰ ἄστρα πυρώδη εἰσίν, ὡς καὶ τὸν Ἀναξαγόραν μύδρον καλέσαι τὸν ἥλιον ***) διὰ τὸ ἄμετρον τῆς πυρώσεως· μύδρος γάρ ἐστιν ὁ πεπυρωμένος σίδηρος· διὸ καὶ ὁ Ἀναξαγόρας ἐξωστρακίσθη ἐκ τῶν Ἀθηναίων †), ὡς τοιοῦτόν τι τολμήσας εἰπεῖν· ὕστερον δ' ἀνεκλήθη διὰ τῆς Περικλέους ῥητορείας ††). ἀκροατὴς γὰρ ὢν ἔτυχεν ὁ Περικλῆς τοῦ Ἀναξαγόρου †††). τριῶν οὖν οὐσῶν τούτων ὑποθέσεων, ἐὰν δείξωμεν, ὅτι οὐδεμία τούτων ἀληθής, λείπεται δῆλον τὸ ὑπόλοιπον πρὸς τῇ γῇ καὶ τοῦ ὕδατος παντὸς ἀέρα*

---

*) Fort. *μάθωμεν.*

**) Fort. *τὰ μὲν ἄστρα πύρεια* sive *τῶν μὲν ἄστρων πυρείων ὄντων, τὸ λοιπὸν* et q. s.

***) Menag. ad Diogen. Laërt. II, 8. p. 74. Schaubach *Anax. Clazom. fragm.* (Lips. 1827. 8.) p. 49 sqq.

†) Menag. ad Diogen. Laërt. II, 12. p. 78. ed. Meibom. Forte etiam *ἐκ τῶν Ἀθηνῶν* scribendum. Cfr. tamen Winer *Gr. gr. nov. foed.* p. 314 sq.

††) Menag. l. l. Schaubach p. 18 sq. p. 45. Bene tamen monet Schaubachius p. 49. not.: *In his errat Olympiodorus vel confundit nonnulla. Non enim in exilium missus, indeque revocatus est Periclis consilio, sed capitis damnatus, a Pericle liberatus, denique in exilium profectus est.*

†††) Schaubach p. 17 sqq.

εἶναι καὶ ὑπέκκαυμα καὶ τὸ πέμπτον σῶμα· πῦρ μὲν οὖν δυνατὸν τὰς σφαίρας καὶ τὰ ἄστρα, τὸ δὲ μεταξὺ μόνον ἀέρα· ἢ γὰρ ἐκ πολλοῦ τὸ ὅλον διέφθαρτο καὶ πῦρ μόνον ἦν· ἐπειδὴ γὰρ δείκνυται ἐν ἀστρονομικοῖς ἡ γῆ κέντρου λόγον ἐπέχουσα πρὸς τὸ πᾶν*). καὶ τοῦτο δῆλον ἐκ τῶν * καὶ ἐκ τῶν ἀκροτάτων ὀρέων διὰ τὸ ὑψηλόν, μείζων ἂν ὁ ἥλιος ἐφαίνετο· εἰ οὖν γῆ κέντρου λόγον ἐπέχει, ἔμελλεν ἂν τὰ οὐράνια σώματα ἀεὶ πύρεια καὶ διὰ τὸ μέγεθος καὶ τὴν δύναμιν τοῦ πυρὸς δραστικὴν οὖσαν ἐκ πολλοῦ καταφλεχθέντα φροῦδα γεγενῆσθαι· ἀλλὰ μὲν κἂν πάντα ἀέρια ὑποθώμεθα, ἄτοπός ἐστιν ὁ λόγος· ὥσπερ οὖν κἂν εἰ μόνα τὰ ἄστρα πύρεια, τὰς δὲ σφαίρας καὶ τὰ μεταξὺ ἀέρια, ἑκατέρᾳ γὰρ ὑποθέσει συνάγεται τὸ ἀφάτως πολὺ εἶναι τὸ ἀέριον στοιχεῖον· εἴγε καὶ ὀλίγον ὕδωρ εἰς ἄφατον ἀέρα ἀναλύεται· δόγμα γάρ ἐστι φυσικὸν τὸ λέγον, ὅτι ὡς ἔχει τὸ μερικὸν πρὸς τὸ μερικόν, οὕτω καὶ ἡ ὁλότης ὅλη πρὸς τὴν ὅλην ὁλότητα· ἀλλὰ μὴν ὁρῶμεν, ὅτι πηχυαῖον ὕδωρ εἰς δεκάπηχυν ἀέρα μεταβάλλεται καὶ οὐκ εἰς ἄφατον· οὐκ ἄρα οὐδ' ἡ τοῦ ἀέρος ὁλότης ἄφατός ἐστιν· εἰ οὖν μηδεμία τούτων τῶν δοξῶν ἀληθής, ὑπολείπεται τὸ μεταξὺ πᾶν ἀέρα εἶναι καὶ ὑπέκκαυμα καὶ τὸ πέμπτον στοιχεῖον· οὕτως ὁ Ἀριστοτέλης· ἔστι δ' ἀποῤῥῆσαι πρὸς μὲν τὸ πρῶτον ἐπιχείρημα οὕτως· οὐκ ἀνάγκη, εἰ τὰ οὐράνια σώματα πύρεια εἶναι ὑποθώμεθα, καταπεφλέχθαι τὸ πᾶν· ἰδοὺ γὰρ ἄφατος ἀὴρ περικεχυμένος λυχνίᾳ φλογὶ οὐ κατασβέννυσιν αὐτήν. τί οὖν φαμεν; ὅτι αὐτὴ ἐπιχείρησις τῷ Ἀριστοτέλει εἴρηται ἐπὶ μόνου τοῦ πυρὸς διὰ τὴν δραστικὴν αὐτοῦ δύναμιν. μόνον γὰρ τοῦτο τῶν ἄλλων στοιχείων ὥς φησι καὶ Θεόφραστος τὰ παρακείμενα αὐτῷ ἐξισχύει ὅμοια ποιῆσαι**). λεπτέον οὖν τὸ ἐπιχείρημα οὐκ ἐκ μίνου τοῦ μεγέθους τοῦ πυρὸς ὅπερ ἔχει ὁ ἀήρ,

*) Quam sententiam ab Aristarcho Samio esse prolatam, docuimus in commentariis.

**) Fortasse spectat ad libellum *de igne* §. 6. p. 707: *τὸ δὲ πῦρ — γεννητικὸν μὲν αὑτοῦ, φθαρτικὸν δὲ ὡς ἐπίπαν τῶν ἄλλων.* Quae si vera est coniectura, patet iam Olympiodori aetate, hunc libellum pro Theophrasteo circumlatum esse, quod an iure factum sit et adhuc fiat dubito.

ἀλλὰ καὶ ἐκ τῆς δραστικῆς δυνάμεως, ἥτις οὐ πρόσεστιν ἀέρι *). Olymp.

Ὁ μὲν δὴ τῆς γῆς ὄγκος πηλίκος ἄν τις εἴη πρὸς τὰ περιέχοντα μεγέθη, οὐκ ἄδηλον. ἤδη γὰρ ὦπται διὰ τῶν ἀστρολογικῶν θεωρημάτων ἡμῖν, ὅτι πολὺ καὶ τῶν ἄστρων ἑνίων ἐλάττων ἐστί]. Πρὸς μὲν τὸν πάντα οὐρανὸν σημείου καὶ κέντρου λόγον ἔχουσα δέδεικται, καὶ τὴν περίμετρον αὐτῆς εὗρον. δύο γὰρ ἀστέρας μετρίαζον **) ἀλλήλων ἀπέχοντας διάστημα λαβόντες, καὶ τὴν ὑποτείνουσαν τούτοις γραμμὴν ἐν τῇ γῇ μετρήσαντες, πεντακοσίων σταδίων ἔχουσαν ταύτην εὗρον διάστημα. τοῦ μεγίστου δὲ κύκλου εἰς τριακοσίας ἑξήκοντα μοίρας διαιρουμένου, ταύτας ἐπὶ τοὺς πεντακοσίους σταδίους πολυπλασιάζοντες, δέκα ὀκτὼ μυριάδων σταδίων τὴν πᾶσαν αὐτῆς περίμετρον εὗρον ὑπάρχουσαν ***)· δηλονότι συναπειλημμένου καὶ τοῦ παντὸς ὕδατος συνερρυηκότος ἐν τοῖς αὐτῆς κοιλώμασιν. Ἀρριανὸς δ' ἐν τῷ περὶ μετεώρων φησίν †), ὡς Ἐρατοσθένης ὁ Κυρηναῖος ἰσχυρίζεται, εἴκοσι καὶ πέντε μυριάδας σταδίων ἔχειν ††)

---

*) Reliqua, quae contra Aristotelem proponi posse monet Olympiodorus, omisimus.

**) Scr. *μοίρας μιᾶς*. Ita enim Simplicius, qui eandem rem tractat ad Arist. *de coel.* fol. 134, a.

***) Cfr. Simplic. l. l. et quae Pater exposuit in commentatione vernacule conscripta: *Ueber die Längen- und Flächenmaasse der Alten.* p. 18.

†) Eundem librum laudant Johannes Philoponus ad Aristot. *Phys.* p. 24. Photius p. 1378. Excerpta ex eo reperiuntur apud Stobaeum *Eclog. Phys.* I, 29. p. 584. 30, p. 602. Plane diversus est is Arrianus ab Arriano Stoico. Cfr. Heeren *Commentat. de font. Stob.* Vol. II. p. 180 sq. qui *ὡς* h. l. pro *ὅτι* positum esse censet, ut nihil inde de Arriani aetate concludi queat.

††) Nisi fallor addendum *καὶ διοχιλίους*, quod patet ex Strabone II. p. 113. p. 123. Vitruv. I, 6. Plin. *Hist. nat.* II, 102. Censorin. *de die natali* c. 13. laudatis a Bernhardy *Eratosthenic.* p. 61 sq. quamvis dissentiant etiam Marcianus Heracleot. p. 6. ed. Hudson. Martian. Capella VIII, 289, quorum correctus ille ab Hudsono. Vide etiam *Eratosthen. Geographicor.*

τὴν περίμετρον τοῦ μεγίστου τῆς γῆς κύκλου· εὑρεθείσης δὲ τῆς περιμέτρου καὶ ἡ διάμετρος αὐτῆς ἐστι δήλη· κύκλου γὰρ παντὸς ἡ περίμετρος τριπλασιέφδομός *) ἐστι τῆς διαμέτρου· ἐξ ὧν καὶ τὸ στερεὸν αὐτῆς ἅπαν κατείληπται· ἀλλ' ὅμως τηλικαύτη οὖσα, μόνου τοῦ ἡλίου πολλῷ λίαν ἐλάττω ὑπάρχουσα δέδεικται. καί τινων ἀστέρων τοῦ κυνός φασι καὶ τοῦ κανώβου καὶ εἴ τινες ἕτεροι τοῦ μεγέθους αὐτοῦ· ρὺ μὴν ἁπάντων ἐλάττων· τῆς γοῦν σελήνης μείζων φαίνεται. εἰς τὸ σκίασμα γὰρ τῆς γῆς ἐμπίπτει πᾶσα. καὶ χρόνον ἐν ταῖς ἐκλείψεσιν ἐν αὐτῷ τινα ποιεῖται, μέχρις ἂν αὐτὸ παραλλάξῃ. εἶπον δὲ ἤδη, ὅτι συμπεριείληφε τοῖς κοιλώμασιν ἑαυτοῖς τὴν οὐσίαν ὅλην τοῦ ὕδατος· ἀφωρισμένον γὰρ ὕδωρ καὶ καθ' ἑαυτὸ συνεστὼς ἔξω τοῦ κέντρου οὔτε ἐστίν, οὔτε εἶναι τῶν ἐνδεχομένων ἐστίν. δεῖται γὰρ στερεμνίου τοῦ συνέχοντος· οὐδὲν δὲ τοιοῦτόν ἐστιν ἕτερον παρὰ τὴν γῆν. ὡς ἓν οὖν τι σῶμα καὶ ὄγκος εἷς εἰς τὸ συναμφότερον ἐμετρήθη. Philopon. fol. 79, a.

Ἤδη γὰρ ὤπται διὰ τῶν ἀστρολογικῶν θεωρημάτων, ὅτι πολὺ καὶ τῶν ἄστρων ἐνίων ἐλάττων ἐστί]. *Δέδεικται γὰρ τοῦτο ἐν ἀστρονομίᾳ, ὅτι ὁ ἥλιος τῆς γῆς ἑκατὸν ἑβδομηκονταπλασίων ἐστίν· οὐκ ἔδει δὲ εἰπεῖν ἀστρολογικῶν, ἀλλ' ἀστρονομικῶν· ἡ γὰρ ἀστρονομία οἶδε τὴν κίνησιν. τί οὖν; φαμὲν ὅτι ἀρχαϊκῶς ἐχρήσατο. πάλαι γὰρ ἡ περὶ οὐρανοῦ πραγματεία καὶ ἡ ἀστρολογία ὡς μία ἐπιστήμη ἦν **), ἡ μὲν τὴν οὐσίαν τῶν ἄστρων διδάσκουσα, ἡ δὲ κίνησιν, τὰ ἀποτελέσματα· ὃ οὖν Ἀριστοτέλης τὴν ἀστρονομίαν ἀστρολογίαν ἐκάλεσεν· ὁ δέ γε Πλάτων τὴν φυσιολογίαν ἀστρονομίαν καλεῖ ἐν Τιμαίῳ ***). Καλῶς δὲ ἐνίων. δέδεικται γὰρ ἡ γῆ σώματος τῆς σελήνης τριακονταεννεαπλα-*

---

fragm. collecta a Seidel Goetting. 1789. p. 57 sqq. Schneider ad Vitruv. I, 6. 9. Tom. II. p. 63. Balfour ad Cleomed. *Meteor.* I, 10. p. 368 sqq. Ideler l. l. p. 8 sqq.

*) Vocabulum lexicis addatur.

**) Cfr Balfour ad Cleomed. *Meteor.* p. 249. ed. Bake.

***) Procul dubio ante oculos habuit verba p. 27 A: ἔδοξε γὰρ ἡμῖν Τίμαιον μέν, ἅτε ὄντα ἀστρονομικώτατον καὶ περὶ φύσεως τοῦ παντὸς εἰδέναι μάλιστα ἔργον πεποιημένον et q. s.

σίων ἐλάττων οὖσα *). εἰ δὲ τοῦτο, ἔχεις πόσον ἥλιος μείζων σελήνης. πολυπλάσιον γὰρ τὸν τριάκοντα ἐννέα ἐπὶ τὸν ρν * καὶ εὑρήσεις τὸ πόσον τῆς ὑπεροχῆς τοῦ ἡλίου. Olympiod. fol. 5, b.

Ὄντος δήλου τοῦ τῆς γῆς ὄγκου τε καὶ μεγέθους, πηλίκον τί ἐστιν ὡς πρὸς τὰ περιέχοντα αὐτὴν σώματα, ὡς γὰρ πρὸς ταῦτα συγκρινομένους οὐ μέγα, λέγοι δ' ἂν περιέχοντα τὴν γῆν μεγέθη τάς τε τοῦ κυκλοφορικοῦ σώματος σφαίρας καὶ τὰ ἐν αὐταῖς ἄστρα· καὶ γὰρ ἄστρων τινῶν πολὺ ἐλάττων οὖσα ὤπται διὰ τῶν ἀστρολογικῶν θεωρημάτων, δείκνυται γὰρ ὁ ἥλιος αὐτῆς ἐκκαιδεκαπλάσιος **)· πρόδηλον δὲ καὶ τὸ τοῦ ὕδατος μέγεθος πόσον τι, οὐ γάρ ἐστιν ἀφωρισμένον ὕδωρ αὐτὸ καθ' αὑτό, οὐδὲ ἐνδέχεται εἶναι, ἀλλ' ἐστὶν ἐν ταύτῃ καὶ ταύτῃ περικέχυται. Alex. fol. 72, b sq.

§. 3. Ἡμῖν μὲν οὖν εἴρηται πρότερον περὶ τοῦ πρώτου στοιχείου] Ἐν τῇ περὶ οὐρανοῦ τουτέστιν· ἐκεῖ γὰρ ἐζήτησε περὶ τοῦ πέμπτου σώματος καὶ ἔδειξε, τίς ἡ οὐσία καὶ ὅτι ἐκ τούτου πάντα τὰ οὐράνια σύγκειται· καὶ ταύτην τὴν δόξαν οὐ μόνον ἡμεῖς τυγχάνομεν ἔχοντες, ὅτι ἔκ τινος σώματος συνίσταται τὰ οὐράνια· οὐχ ἡμεῖς μόνον εἰρήκαμεν, ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες σχεδὸν τοῦτο ἐνενόησεν· καὶ τοῦτο δῆλον, ἐπειδὴ τὸν οὐρανὸν οὐδενὶ ὀνόματι τῶν τεσσάρων στοιχείων προσηγόρευσαν, ἀλλ' αἰθέρα αὐτὸν ἐκάλεσαν παρὰ τὸ ἀεὶ θεῖν. ἀεὶ γὰρ κινοῦνται τὰ οὐράνια καὶ κατὰ ῥυθμόν. Ἀναξαγόρας δὲ ἐχρήσατο μὲν τούτῳ τῷ ὀνόματι, πλὴν οὐ κα-

*) Ne quis locum corruptum esse censeat, sibi in memoriam revocet, hanc sententiam de lunae magnitudine, in Stoicorum praesertim placitis fuisse (cfr. Stob. *Eclog. phys.* I. p. 554), non tamen omnium. Certe Balbus apud Ciceronem *de nat. deor.* II, 40: *Luna autem*, inquit, *quae est, ut ostendunt mathematici, major quam dimidia pars terrae.* Adde Plutarch. *de fac. in orbe lunae* p. 932, A. B.

**) Fort. δωδεκαπλάσιος. Apud Plutarchum enim *de anim. procreat. in Tim.* p. 1028 C. memorantur qui λόγον εἶναι δωδεκαπλασίονα statuerent inter solis terraeque diametros. Qui ἐκκαιδεκαπλάσιον volnerint nescio.

λῶς ἐτυμολογίᾳ· αἰθέρα γὰρ αὐτὸν ἔφησε καλεῖσθαι παρὰ τὸ αἴθειν καὶ καίειν· οὕτω γαρ αἴθοπα οἶνον τὸν μέλανα καὶ καυστικὸν λέγομεν· οὐκ ἀποδεκτέον οὖν τὴν τούτου ἐτυμολογίαν· εἰ οὖν καὶ οἱ παλαιοὶ ἐδόξασαν ἐξ ἄλλου εἶναι σώματος καὶ πρὸ Ἀριστοτέλους, οὐ δεῖ σεμνύνεσθαι*) ἐφ οἷς τις εὑρίσκει. ἀπείρου γὰρ ὄντος τοῦ κόσμου**) συμβαίνει πολλοὺς αὐτὸ εἰρηκέναι. καὶ ὥσπερ ἐστὶ καρπῶν εὐφορία οὕτω καὶ ψυχῶν. Olymp. fol. 6, a.

4. *Οὐ γὰρ δὴ φήσομεν ἅπαξ, οὐδὲ δίς, οὐδ' ὀλιγάκις τὰς αὐτὰς δόξας ἀνακυκλεῖν γινομένας ἐν ἀνθρώποις, ἀλλ' ἀπειράκις*] Συμφώνως μὲν τοῦτο τῇ αὐτοῦ δόξῃ γέγραφεν ἄναρχον εἶναι τὸ πᾶν καὶ ἀγέννητον ὑποτιθέμενος· οὐκ ἤσθετο δὲ τοῖς ἑαυτοῦ περιπίπτων δικτύοις. εἰ γὰρ ἀπειράκις διὰ τὸ ἀρχὴν τοῦ εἶναι μὴ ἔχειν τὸν κόσμον, αἱ αὐταὶ γίνονται δόξαι, καὶ οὐκ ἀπειράκις μόνον, ἀλλὰ καὶ τοῦ ἀπείρου πολλαπλάσιον. ὡς τὰς αὐτὰς ἀνακυκλεῖσθαι δόξας ἀνάγκη. οὐ γὰρ μέχρις Ἀριστοτέλους ἀπειράκις αἱ αὐταὶ δόξαι ἀνεκύκλησαν, ἀλλὰ καὶ πρὸ αὐτοῦ λίαν χρόνον πολὺν ἀπειράκις ἦσαν ἀνακυκληθεῖσαι· εἰ γὰρ μὴ ἀπειράκις, ἀρχὴν ἔσχεν τὸ πᾶν· εἰ δὲ ἔσχεν ἀρχήν, ὁποῖον ἂν χρόνου μύριον τοῦ παρεληλυθότος λάβοις ἀναποδίζων, ἐπ' ἄπειρον τὰς αὐτὰς ἀνάγκη πάντως ἀπειράκις ἀνακυκληθῆναι μέχρις ἐκείνου δόξας; οὐ μόνον ὅτι ἄναρχος, ἀλλ' ὅτι καὶ ἀρχὴν ἔσχεν ὁ κόσμος. καὶ οὕτως ὁ ἑκάτερον δοξάζων, ὁμοίως ἐκ τοῦ χρόνου τὸ ἀξιόπιστον ἕξει. δεύτερον, εἰ ἄπειρον τὸ παρῳχημένον, προστιθεμένων τῶν ἐφεξῆς αὔξεσθαι τὸ ἄπειρον ἀνάγκη καὶ μηδέποτε λήγειν αὐξόμενον, τοῦ χρόνου προϊόντος ἐπ' ἄπειρον. εἰ οὖν καὶ αὐτὸν μόνον τὸ γεγονέναι τὸ ἄπειρον ἀδύνατον. ὡς αὐτὸς ἔδειξε πολλῷ μᾶλλον ἀδυνατώτερον τοῦ ἀπείρου μεῖζόν τι γίνεσθαι κατ' ἀπειρότερον· εἰ οὖν ἀδύνατον ἀπειράκις τὰς αὐτὰς ἀνακυκλεῖσθαι δόξας, οὐδεὶς δὲ τῶν πρὸ αὐτοῦ τῆν δόξαν φαίνεται ταύτην προϋποθέμενος, πρῶτος ἄρα ταύτης Ἀριστοτέλης κατ-

*) Ald. *σεμναύεσθαι.*

**) Qua in re ab Aristotelica theoria recedit. cfr. Commentar. ad I, 2, 1.

ἤρξατο· ὅτι μὲν οὖν ἑαυτῷ περιπέπτωκεν, ἐναργῶς ἐδείχθη διὰ τούτων δ' ὅμως ὡς ἀρχαιοτέρα ἐστὶ δόξα τὸ ἑτέρας οὐσίας εἶναι τῶν ὑπὸ σελήνην τὸν οὐρανόν, καὶ ὡς ἐστιν ἀΐδιος, συλλογίσασθαι βούλεται. τοῦτο γὰρ περὶ αὐτοῦ φησιν. οἱ πρὸ ἡμῶν ὑπολαμβάνοντες, αἰθέρα τοῦτο τὸ σῶμα προσαγορεύουσιν ἐκ τοῦ ἀεὶ θέειν καὶ παῦλαν τῆς κινήσεως μὴ ἔχειν, καὶ θεῖον εἶναι οὕτως αὐτὸν ὀνομάσαντες· ὅπερ οὐθενὶ τῶν ὑπὸ σελήνης ἁρμόζει, τὸ ἀεὶ καὶ ἀπαύστως κινεῖσθαι· ταύτης δὲ χρόνῳ φησὶ τῆς δόξης ἀφανισθείσης, τὸ ὄνομα μεμένηκεν ἐπ' ἀλλὴν σημασίαν· τὸ αἰθειν ὑπὸ τῶν ὕστερον γενομένων μετενεχθὲν ὡς πῦρ ὄντα τὴν οὐσίαν· οὐ γὰρ μόνον πόλεις τε καὶ ἔθνη φησὶν *) ἀρχὰς καὶ τέλος λαμβάνουσιν ὡς εἰς πολλὴν λήθην ἀναπεσεῖν, ἀλλὰ καὶ δόξαι καὶ τέχναι καὶ ἐπιστῆμαι τοῦτο πάσχουσιν· ἃς συμβαίνει πάλιν ἀνακυκλεῖσθαι τῷ μακρῷ χρόνῳ· καὶ γὰρ ἡ μουσικὴ καὶ ἡ ἀνδριαντοπλαστικὴ καὶ ἕτεραί τινες εὑρηνται μὲν ὑπὸ τῶν πρὸ ἡμῶν, ἠμβλύνθησαν δὲ νῦν **). καὶ τῷ χρόνῳ πάλιν ἴσως †) ἀκμάσουσιν· εἰκὸς οὖν τὰς περὶ τῶν πραγμάτων δόξας τὸ αὐτὸ πάσχειν· λέγουσι δὲ καὶ Ἀλέξανδρον ἐξ Ἰνδῶν Ἀριστοτέλει γράψαι, ὡς ἕτεροί φασιν ἐκ Βαβυλῶνος, ὡς καὶ οἱ ἐνταῦθα σοφοὶ σώματος ἑτέρου φασὶν εἶναι τὸν οὐρανόν. τοῦτο μὲν οὖν ὅπως ἀληθείας ἔχει, λέγειν οὐκ ἔχω· παρ' Ἕλλησι δὲ τοῦτο φρονῶν φαίνεται τῶν πρὸ Ἀριστοτέλους οὐδείς· ὁ Πλάτων ἐν τῷ Κρατύλῳ ††) περὶ ὀρθότητος ὀνομάτων διαλεγόμενος τὸν αἰθέρα παρὰ τοῦ ἀεὶ θεῖν ἠτυμολόγηκε· τῶν γὰρ μετὰ τὸν κατακλυσμὸν φησιν ὑπολειφθέντας ἐν τοῖς ὑψηλοτάτοις διάγειν ὄρεσι, καὶ τέως βοσκηματώδη βίον ζῆν, καὶ περὶ τὴν συλλογὴν ἐνασχολεῖσθαι, καὶ μόνον τῶν σοφῶν καὶ τῶν ἄλλων τῶν πρὸς τὸ ζῆν ἀναγ-

---

*) Cfr. I, 14.

**) Vestigia sententiae ab illustriss. Bailly propositae. *Histoire de l'astronom. ancienne* (Paris 1775. 4.) p. 323 sq.

†) *ἴσως aeque.* Cfr. Schaefer ad Aristophan. *Plut.* p. 502. ad Theognid. 224. Heindorf. ad Platon. *Gorg.* p. 230. Neque Aristoteli prorsus ignotum. Cfr. *Ethic. Nicomach.* II, 6, 6.

††) p. 410, b.

καίων· ἀναλήψαντες δὲ τῷ χρόνῳ μικρὸν ἐκ τῆς τοῦ κατακλυσμοῦ ταραχῆς εἰς ἔννοιαν ἐλθεῖν τοῦ εἶναί τι τῶν φαινομένων αἴτιον. κατανοήσαντες δὲ τὰ οὐράνια καὶ ἀεὶ ταῦτα κινούμενα βλέποντες ἀϊθέρα καὶ θεὸν αὐτὰ ὠνόμασαν. τὸ μὲν παρὰ τὸ αἴθειν, τὸ δὲ παρὰ τὸ ἀεὶ θέειν· καὶ ἐπειδὴ τοῦτον μὲν ἑώρων μήτε γινόμενον, μήτε φθειρόμενον, τῇ κινήσει δὲ αὐτοῦ τὰ ἐντὸς μεταβάλλοντα, αἴτιον εἶναι τούτων καὶ δημιουργὸν ὑπετόπασαν· εἶτα τοῦ λόγου κατὰ μέρος προϊόντος, ἐπὶ τὸ λεπτότερόν τε καὶ ζητητικώτερον· καὶ αὐτοῦ λοιπὸν τοῦ οὐρανοῦ τὸ αἴτιον τῆς τοιᾶσδε κινήσεώς τε καὶ διαμονῆς περιεργαζόμενον ἐπὶ τὴν ἀφανῆ καὶ ἀσώματον μετῆλθον αἰτίαν· μηδὲ γὰρ ἂν διαρκεῖν ἐς ἀεὶ σῶμα ὄντα πεπερασμένον μένειν τε καὶ κινεῖσθαι μὴ ὑπὸ δυνάμεως ἀπείρου συνεχόμενον ἀσωμάτου πάντως, οὐχ ὁρωμένης μέν, ἐκ δὲ τῶν ἔργων αὐτῆς νοουμένης· μὴ γὰρ εἶναι δύναμιν ἐν σώμασιν ἄπειρον, καὶ οὕτως ἀνέδραμον ἐπὶ τὴν μίαν τῶν πάντων ἀρχήν, κἀκείνην τῷ ὀνόματι τοῦ τῶν φαινομένων κρείττονι θεὸν ὠνόμασαν. Philopon. fol. 79, b.

5. Ὅσοι δὲ πῦρ καθαρὸν εἶναί φασι τὸ περιέχον καὶ μὴ μόνον τὰ φερόμενα σώματα ..... ἡμῖν ἐντεῦθεν ἴσως] Ὅτι μὴ ἐκ πυρὸς μόνου συνέστηκε τὸ ἀπὸ τῆς γῆς μέχρι τῆς ἀπλανοῦς διὰ τῶν ἐν ἀστρονομίᾳ δειχθέντων παρίστησιν· εἰ γάρ τις ἐννοήσειέ φησι τὴν ὑπερβολὴν τῶν περιεχόντων τὴν γῆν σωμάτων, ῥᾳδίως ἂν συλλογίσαιτο μὴ δύνασθαι πυρὸς εἶναι τὸν ἔσχατον οὐρανόν. δείκνυται μὲν διὰ τῶν ἀστρονομικῶν ἐναργῶς μεθόδων. οὐχ ἥκιστα δὲ καὶ ἐκ τοῦ μικρὰ τῆς γῆς διαστήματα μεγάλας ἡμῖν προσαποφαινόμενα τὰς διαφορὰς ποιεῖν· οἱ γὰρ ἐν Βυζαντίῳ φέρε τῶν ἀστέρων ἀφανεῖς ἐν Ἀλεξανδρείᾳ φαίνονται *), ὡς ὁ καλούμενος κάνωβος **) ὑπὸ τοῖς ποσὶ τοῦ Ὡρίωνος ὢν, πρὸς

*) Cfr. Ideler *Ueber den Ursprung und die Bedeutung der Sternnamen* (Berlin 1809. 8.) p. 260.

**) Ideler l. l. p. 250. 259. Aegyptium esse nomen et χρυσοῦν ἔδαφος significare narrat Aristides *Aeg.* p. 360. ed. Iebb quod recte se habere docuit pater.

αὐτῷ κείμενος τῷ νοτίῳ ὁρίζοντι· λαμπρότατος δ' ἐστὶ καὶ τοῦ κυνὸς μείζων τε καὶ φανότερος*), καὶ ταῦτα περὶ αὐτὸν ὢν τὸν ὁρίζοντα καὶ δι' ὁμιχλώδους ἀέρος φαινόμενος, ἀλλ' ὅμως τῇ ὑπερβολῇ τῆς λαμπρότητος ἀμφιπεριστάς**) ἐστι τῷ κυνί· ἐξ οὗ δῆλον, ὡς ἐν Ἑλλάδι ὢν ἠγνόησε ***) τοῦτον ὁ ποιητὴς περὶ τοῦ κυνὸς εἰπών †).

Ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσιν
λαμπρότατος μὲν ὄγ' ἐστί.

Πάλιν ἡ ἄρκτος ἐν Βυζαντίῳ φαινομένη, μετέωρος λίαν ὡς δοκεῖν σχεδὸν μεσουρανεῖν· ἐν Ἀλεξανδρείᾳ μὲν παραξέει τὸν ὁρίζοντα, ἐν δὲ τῇ Διοσπόλει πολλοὶ ταύτης ἀστέρες δύνουσιν· ὅπερ οὐκ ἂν συνέβαινεν εἰ μὴ μικρόν τι τὸ τῆς γῆς μέγεθος ἦν καὶ τί λέγω μέγεθος, ὅτε πρὸς τὴν ὑπερβολὴν τοῦ μεγέθους τῆς ἐξωτάτω σφαίρας σημείου καὶ κέντρου λόγον ἔχουσα δείκνυται πρὸς αὐτήν. ἔστω γὰρ κύκλος ὁ αβγ. κέντρον δὲ αὐτοῦ τὸ δ, καὶ διάμετρος ἡ αε. αὕτη πάντως εἰς δύο τὸν κύκλον ἴσα τέμνει ἡμικύκλια. καὶ ἄλλος δὲ κύκλος περὶ τὸ αὐτὸ κέντρον γραφέσθω ἐλάσσων, τοῦ ἐκτὸς δηλονότι. ἔστω δὲ ὁ μὲν ἐκτὸς ὁ ἀπλανής, ὁ δὲ ἐντὸς ἡ γῆ τῇ ἐπιφανείᾳ τῆς γῆς οὔσης ††)· εἰ ἐξ αὐτῆς εὐθεῖαν ἐξαγάγῃς ἐπί τε τὸν ἀνατολικὸν ὁρίζοντα καὶ ἐπὶ τὸν δυτικόν τὴν ζην (καὶ γὰρ τὴν ἀπλανῆ εἰς δύο τμήματα ἄνισα τέμνει) †††) ἔλαττον μὲν ἡμικύκλιον *†) τὸ ὑπὲρ γῆν, εἰ τύχοι ζωδίων πέντε, μεῖζον δὲ τὸ ὑπὸ γῆν οἷον ἑπτά, ἢ ὅπως ἂν τύχοιεν τὸ μὲν ὑπὲρ γῆν τὸ ζβη, τὸ

*) Ald. φανώτερος. Cfr. Stallbaum ad Platon. *Phileb.* p. 31.

**) Ald. ἀμφίπριστός ἐστι.

***) Sub terra latere sidera, nostris regionibus ignota, docet Vitruvius IX, 5; eiusque rei testimonio utitur Canobo, *qui his regionibus*, ut ait, *est ignotus: renuntiant autem negotiatores, qui ad extremas Aegypti regiones proximasque ultimis finibus terrae terminationes fuerunt.*

†) Hom. *Il.* XXII, 29 sq. Pro ὄγε in editis est ὅδε.

††) Verba ἡ γῆ ..... οὔσης corrupta sunt atque ita quidem procul dubio, ut post ἡ γῆ maiori interpunctione sit distinguendum, deinde vero desiderentur nonnulla.

†††) τέμνει de meo adieci.

*†) Ald. ἡμικυκλίον.

δὲ ὑπὸ γῆν τὸ ζγη'. ἡ μὲν οὖν διὰ τοῦ κέντρου, ἐπειδὴ μηδένα λόγον ἔχει τὸ ἀμερὲς πρὸς τὸ μέγεθος, εἰς δύο ἴσα διεῖλε τὸν ἔσωθεν κύκλον, ἡ δὲ διὰ τῆς ἐπιφανείας τοῦ ἐντὸς ἀχθεῖσα κύκλου εἰς ἄνισα· οὐκοῦν εἰ ἐν λόγῳ τινὶ τὸ μέγεθος ὑπῆρχε τῆς γῆς πρὸς τὴν ἁπλανῆ, πᾶσα ἦν ἀνάγκη [ἡ] *) ἔλαττον εἶναι ἡμικύκλιον **) τὸ ὑπὲρ γῆν τοῦ οὐρανοῦ καὶ ὑφ' ἡμῶν ὁρώμενον· εἰ δὲ ἐν παντὶ καιρῷ ἔξ ὁρῶμεν ***) ἀκριβῶς ζώδια ὑπὲρ γῆν, δῆλόν ἐστιν, ὅτι ὥσπερ οὐδένα λόγος ἔχει τὸ κέντρον πρὸς τὴν ἁπλανῆ, οὕτως οὐδὲ ἡ γῆ πρὸς αὐτὴν ἔχει· καίτοι μεγίστη οὖσα καὶ διὰ τὸ μέγεθος ἤπειρος οἱονεὶ ἄπειρος ὀνομαζομένη· οἷόν ἐστι τὸ, ἤπειρον εἰς ἄπειρον εἰσεπλεύσαμεν †), ὅθεν οὐδὲν ἀποκρύπτει τῆς ἁπλανοῦς, ὡς οὐδὲ τὸ ἀμερὲς σημεῖον. οὐ γὰρ εἰ εἶχε λόγον τινὰ τὸ μέγεθος πρὸς τὴν ἁπλανῆ, ἔλαττον τὸ ὑπὲρ γῆν ἡμικύκλιον ††) ὁρᾶν ἐμέλλομεν, τοῦ λοιποῦ μορίου τοῦ τὸ ἄνω πληροῦντος ἡμικυκλίου ὑπὸ τοῦ μεγέθους τῆς γῆς καλυπτομένου, οἷόν ἐστι ἐπὶ τῶν καταγραφέντων κύκλων ἐν μὲν τῷ ἀνατολικῷ ὁρίζοντι τὸ ἀπὸ τοῦ α, ἕως τοῦ ζ, ἐν δὲ τῷ δυτικῷ τὸ ἀπὸ τοῦ ε ἕως τοῦ η. εἰ οὖν τὸ μηδὲν ἡ γῆ πρὸς τὸν ἔξωθέν ἐστιν οὐρανόν, οὐκ ἄλογον τὸ ζητεῖν, εἴ τινων ἀστέρων ἐστὶν ἐλάττων, ἀλλ' εἴ τινων ὅλως ἐστὶ μείζων. ὁ γοῦν ἥλιος, ἑκατονταεβδομηκονταπλασίων αὐτῆς εἶναι δείκνυται παρὰ τοῖς μαθηματικοῖς· καὶ τὸν κύνα δέ φασιν αὐτῆς ὑπάρχειν μείζονα, διὰ δὲ τὴν ὑπερβολὴν τοῦ ἀποστήματος μικρὸν οὕτω φαίνεσθαι, ὡς καὶ ἡ τοῦ ἡλίου διάμετρος ποδιαίά τις εἶναι σχεδὸν τοῖς ὁρῶσι δοκεῖ, καὶ ταῦτα τῆς ἡλιακῆς σφαίρας πολλῷ κατωτέρω τῆς ἁπλανοῦς ὑπαρχούσης· δείκνυται γάρ φασι διὰ τῶν μαθημάτων τοῦ διαστήματος τοῦ ἀπὸ τοῦ κέντρου τῆς γῆς, μέχρι τῆς κυρτῆς ἐπιφανείας τῆς σεληνιακῆς σφαίρας, τὸ ἀπὸ ταύτης μέχρι τοῦ

*) Vocula ἡ delenda est.

**) Ald. ἡμικυκλίου.

***) Ald. ἐξορῶμεν.

†) Similem versum Euripidis servavit Suidas v. ἤπειρον. Tom. II. p. 66: ἤπειρον εἰς ἄπειρον ἐμβαλὼν πόδα.

††) Ald. ἡμικυκλίου.

ἡλίου διατεῖνον, ἔλαττον μὲν εἶναι ἢ εἰκοσαπλάσιον, μεῖζον δὲ ἢ ἐννεακαιδεκαπλάσιον, ὥστε τὸ ὅλον στερεὸν τὸ ἀπὸ τῆς σελήνης μέχρι τοῦ ἡλίου τοῦτον ἔχει τὸν λόγον πρὸς τὸ ἀπὸ τῆς σελήνης μέχρι τῆς γῆς, ὃν ἔχει τὰ ὀκτακισχίλια πρὸς τὸ ἕν· μετρεῖται γὰρ πᾶν στερεὸν τοῦ μήκους ἐπὶ τὸ πλάτος πολυπλασιασθέντος καὶ τοῦ γενομένου ἀριθμοῦ ἐπὶ τὸ βάθος πάλιν πολυπλασιαζομένου· οἷον ὡς ἐπὶ κύβου, εἰ δύο πήχεων ἡ πλευρὰ εἴη τούτου, δύο ἐπὶ δύο πολυπλασιάζων ποιεῖς τέσσαρα· καὶ τὰ τέσσαρα πάλιν ἐπὶ τὸ βάθος καὶ αὐτὸ δύο πήχεων ὑπάρχον, καὶ γίνεται ὁ κύκλος ὅλος ὀκτὼ πήχεων στερεῶν· ἐπεὶ οὖν ἑνός τινός ἐστι τὸ ἀπὸ τῆς γῆς μέχρι τῆς σελήνης καὶ τὸ ὅλον αὐτοῦ στερεόν, ἑνὸς ἔσται (ἅπαξ γὰρ ἓν πάλαι γίνεται ἕν), καὶ τοῦτο ἐπὶ τὸ βάθος ἑνὸς ὂν πάλιν, ὁμοίως γίνεται ἓν ἐν τῷ βάθει· τὸ δὲ ἀπὸ σελήνης μέχρις ἡλίου ἐπειδὴ τοιοῦτόν ἐστιν, εἰκοσάκις τὰ εἴκοσι τετρακόσια γίνεται. καὶ ταῦτα ἐπὶ τὰ εἴκοσι τοῦ βάθους πολυπλασιαζόμενα ποιεῖ τὰ ὀκτακισχίλια· οὐκοῦν ὃν λόγον ἔχει τὰ ὀκτακισχίλια πρὸς τὸ ἕν, τοῦτον ἔχει τὸν λόγον πρὸς τὸ ἀπὸ τοῦ κέντρου τῆς γῆς μέχρι τῆς σελήνης τὸ ἀπὸ τῆς σελήνης μέχρι τοῦ ἡλίου· τούτων οὕτως ἐχόντων τὸ ἀπὸ τοῦ ἡλίου μέχρι τῆς ἀπλανοῦς εἰς ἄπειρον ἀνάγκη σχεδὸν ἐκτείνεσθαι μέγεθος. ὅπερ διὰ τὴν ὑπερβολήν, οὐδὲ μετρηθῆναι ὑπὸ τῶν ἀστρονομικῶν δεδύνηται μεθόδων· ὅτι δὲ πολλῷ μεῖζων τῆς γῆς ἐστιν ὁ ἥλιος, ὡς ἂν εἴη δίχα τῶν μαθηματικῶν μεθόδων δεικνύειν πειράσομαι· προδεικνύσθω δὲ συντόμως ἡμῖν, ὅτι σφαιροειδὲς ἡ γῆ τὸ σχῆμα ἔχει τὸν τρόπον τοῦτον, ὅτι ἡ νὺξ οὐδὲν ἄλλο ἐστὶν ἢ σκίασμα γῆς· ἐν ᾧ γὰρ ἂν μέρει τῆς γῆς τὰς ἀκτῖνας ὁ ἥλιος προσβάλλῃ, κατὰ τὸ ἀντικείμενον τοῦ φωτίζοντος μέρος ἡ σκιὰ γίνεται· καὶ τοῦτο καὶ ἐκ τοῦ λυχνιαίου φωτὸς καὶ ἐκ τῆς σκιᾶς τῶν σωμάτων ὁρᾶν πάρεστιν ἐναργῶς· οὐδὲν δὲ σῶμα φωτιζόμενον κυκλοτερῆ πανταχόθεν ποιεῖ τὴν σκιάν, εἰ μὴ τὸ σφαιροειδές καὶ μόνον προσπίπτουσαι γὰρ αἱ ἀκτῖνες τοῦ φωτίζοντος ταῖς τοῦ φωτιζομένου πλευραῖς, ὁμοιόσχημον αὐτῷ τὴν σκιὰν ἀποτελοῦσιν. εἰ δὲ ἐκ τῶν πλαγίων ἐπὶ τὸ μῆκος προσίῃ τὸ φῶς τοῦ κυλίνδρου παραλληλόγραμμον ποιεῖ τὴν σκιὰν ὑπὸ παραλλήλων εὐθειῶν περιγραφομένην· κατὰ μίαν γὰρ εὐθεῖαν τοῦ

κυλίνδρου προσπιπτουσῶν τῶν ἀκτίνων ἁπασῶν, ἀνάγκη καὶ τὴν ἀντικειμένην τῷ φωτιζομένῳ σκιὰν ὑπ' εὐθειῶν περιέχεσθαι. καὶ μόνον οὐχ ὡς εἴρηται τὸ σφαιρικὸν σχῆμα κατὰ πᾶν μέρος αὐτοῦ κυκλοτερῆ τὴν σκιὰν ἀποτελεῖ. τοιαύτη δ' ἐστὶν ἡ ἀπὸ τῆς γῆς ἀποτελουμένη σκιά. διόπερ ἐν ταῖς ἐκλείψεσιν αὐτῆς ἡ σελήνη ἀφ' οἱουδήποτε μέρους ἐκλείπειν ἄρξεται, εἴτε ἐκ τοῦ ἀνατολικοῦ, εἴτε ἐκ τοῦ δυτικοῦ, εἴτε ἐξ ὁτουοῦν ἄλλου κατὰ κυκλοτερῆ γραμμὴν ἐκλιμπάνουσα φαίνεται· ὡς ὅτε μηνοειδὴς γίνεται. καὶ οὐδαμοῦ κατ' εὐθεῖαν, οἷά ἐστιν ἐν τῇ διχοτόμῳ, ὡς πανταχόθεν τῆς σκιᾶς οὔσης κυκλοτεροῦς. οὐδέποτε γὰρ, ὡς εἶπον, τὸ γινόμενον αὐτῆς μέρος ἀφώτιστον ἐκ τῆς ἐμπτώσεως τῆς εἰς τὸ σκίασμα τῆς γῆς, κατ' εὐθεῖαν γραμμὴν ἐκ τοῦ πεφωτισμένου τεμνόμενον φαίνεται. δῆλον οὖν ὡς ἡ τὸ σκίασμα ποιοῦσα γῆ σφαιροειδὲς ἔχει τὸ σχῆμα. τούτου δεδειγμένου προειλήφθω κἀκεῖνο, ὡς ὅταν σφαῖρα ὑπὸ σφαίρας φωτίζηται, εἰ μὲν ἴση εἴη ἡ φωτιζομένη τῇ φωτιζούσῃ, κυλινδροειδὴς ἡ σκιὰ γίνεται τῶν ἀκτίνων κατ' εὐθείας ἀπαρεγκλίτους *) προσπιπτουσῶν τῷ φωτιζομένῳ, ὡς μήτε συννεύειν προϊούσας μήτε τοὔμπαλιν ὑπτιάζεσθαι· διόπερ κύλινδρος η σκιά· εἰ δὲ ἔλαττον εἴη τοῦ φωτιζομένου τὸ φωτίζον, τῶν ἀκτίνων ἐξωθουμένων ὑπὸ τοῦ φωτιζομένου καὶ κλωμένων ὑπτίων ἐφ' ἑκάτερα, καὶ οὕτως ἐπὶ τὸ πρόσω φερομένων καὶ διὰ τὴν κλάσιν πρόσω προϊοῦσαν εὐρυνομένων καὶ εἰς μείζονα τὴν μεταξὺ διάστασιν ἀεὶ χωρούσης αὐτῶν τῆς σχίσεως μέχρι τῆς αὐτῶν συνεμπτώσεως, συμβαίνει καλαθοειδὲς τῆς σκιᾶς γίνεσθαι τὸ σχῆμα ἐκ μικροτέρου πυθμένος εὐρυνομένης μέχρι τῆς τῶν ἀκτίνων συμπτώσεως· εἰ δὲ τοὔμπαλιν τὸ φωτίζον μεῖζον εἴη τοῦ φωτιζομένου, τῶν ἀκτίνων ῥεουσῶν ὑπὲρ τὸ φωτιζόμενον, καὶ κατὰ μικρὸν ὅσον προβαίνουσι συμβαινουσῶν εἰς ἀλλήλας, ἕως ἂν τελείως συμπέσωσι, κῶνος ἡ σκιὰ γίνεται· ὁ δὲ κῶνος κυκλοτερῆ μὲν ἔχει τὴν βάσιν, ἐκ ταύτης δὲ πρόεισιν εἰς ὕψος κατὰ μικρὸν δι' ἀναλογίας ἐν τῷ προούδῳ στενούμενος, ἄχρις ἂν εἰς σημεῖον τὴν ἑαυτοῦ κορυφὴν ἀποτελευτήσῃ· ὅτι δὲ κωνοειδές ἐστι τὸ σκίασμα τῆς γῆς, πάλιν αἱ

*) Vocabulum lexicis addatur.

τῆς σελήνης δεικνύουσιν ἐκλείψεις· εἰ μὲν γὰρ περιγειοτέρα οὖσα τέλειος ἐκλείποι πλείονα χρόνον, τελείως ἀφώτιστος μένει, ὡς εὐρυτέρῳ μέρει τοῦ κώνου προσπίπτουσα· εἰ δὲ ἀπόγειος ἐλάττονα, ὡς γὰρ στενοτέρᾳ προσβαλοῦσα τῇ σκιᾷ ἧττον αὐτὴν παραλλάττει· ἔχει γὰρ ὁ τῆς σκιᾶς δηλονότι κῶνος τὴν μὲν βάσιν πρὸς αὐτῇ τῇ γῇ· ὑπερεκπίπτων δὲ τὴν σεληνιακὴν σφαῖραν τὴν κορυφὴν αὐτοῦ τῇ Ἑρμαϊκῇ προσβάλλουσαν ἔχει. εἰ μὴ γὰρ ὑπερέπιπτε τὴν σεληνιακήν, οὐκ ἔμελλεν εἰς αὐτὸν ἐμπίπτειν ἡ σελήνη πᾶσα καὶ χρόνον διατρίβειν ἀφώτιστος διὰ τὸ τῆς σκιᾶς πλάτος τοῦ λεπτοτάτου μέρους τοῦ κώνου περαιτέρω ταύτης κεχωρηκότος· εἰ οὖν κῶνός ἐστιν ἡ σκιὰ τῆς γῆς, πολλῷ ἄρ' ἐστι τοῦ ἡλίου ἐλάττων ἡ γῆ. τίς οὖν ἂν εἴη τῷ ἔξωθεν οὐρανῷ παραβαλλομένη, εἰ μὴ τῷ ὄντι σημείῳ· διὰ μὲν οὖν τούτων, ἡ τοῦ μεγέθους τῶν περιεχόντων σωμάτων ὑπερβολή, πρὸς τὴν ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος ἀποτελουμένην σφαῖραν ἐδείχθη *). Ioh. Philopon. fol. 80, a. b.

8. *Διαφέρει γὰρ οὐδέν, οὐδ' εἴ τίς φησι..... εἶναι*] Ἡ μετὰ χεῖρα λέξις δύο τινὰ προβλήματα περὶ τῆς ὁλότητος τοῦ πυρὸς παραδίδωσιν. Ἓν μέν, εἰ ὅλως ἐστίν; ἕτερον δὲ καὶ εἰ ἐστι μέχρι [ποῦ]; κατὰ δύο γὰρ ἀμφίβολα ἐποίησε τὸ μὴ ὁρᾶσθαι τὸ ὑπέκκαυμα· πρὸ δὲ τῶν δύο προβλημάτων, ἀπορίαν τινὰ προβάλλεται καὶ τῆς ἀπορίας λέγει τέσσαρας ψευδεῖς ἐπιλύσεις καὶ διελέγχει αὐτάς· καὶ τελευταῖον τὴν ἀληθῆ ἐπάγει ἐπίλυσιν. τὴν δὲ ἀπορίαν προλαμβάνει, διότι ἡ ἐπίλυσις τῆς ἀπορίας τῶν δύο προβλημάτων ἐστὶ κατασκευαστική· ἐστὶ δ' ἡ ἀπορία τοιαύτη· τί δή ποτε ἐν τῷ ἀπογείῳ ἀέρι οὐ συνίστανται νέφη; καίτοι μᾶλλον ἔδει συνίστασθαι, διότι ψυχρότερός ἐστιν ὁ ἀπόγειος ἀήρ. διὰ τί δὲ μαθησόμεθα ὅτι οὐ συνίστανται νέφη ἐκεῖσε δηλοῖ ἡ ἱστορία. φησὶ γὰρ ὁ Ἀλέξανδρος **), ὅτι ἐν Κυλλήνῃ ὄρος ὑψηλότατον, ἐν ᾧ ἐγίνοντο

*) Non adscripsissem haec Philoponi verba innumeris fere mendis, quibus in editione Aldina scatebant, tacito lectore purgata, nisi alicuius in historia astronomiae ponderis esse intellexissem.

**) Nihil ea de re in commentario (sive paraphrasi) quae hodie sub

θυσίαι, καὶ ἐν αὐτῇ τῇ τέφρᾳ ἔγραφον γράμματα. καὶ ταῦτα ἔμενον ἐξαλειφόμενα ὅλον τὸν ἐνιαυτόν, ἐπειδὴ οὐδ' ἄνεμος εἰς αὐτὸ κατέπνεεν. ἄνωθεν γὰρ τοῦ ὄρους οὐδὲ ἀτμὶς οὐδὲ ὑγρότης γίνεται. κάτω δὲ ἐν τῷ περιγείῳ ἀέρι συνίσταται νέφος· αὕτη μὲν ἡ ἀπορία. καὶ μὴ λέγωσί τινες ἐν τῷ ἀπογείῳ ἀέρι διὰ τοῦτο οὐ συνίστασθαι νέφη, διότι τὰ ἀστρῷα πύρεια κατ' Ἡράκλειτον *) ἢ θερμοποιὰ κατ' Ἀριστοτέλην **) ἐκεῖνον τὸν ἀέρα, ὃς ἂν μᾶλλον αὐτοῖς ἐγγίζει πλησιάζοντα ἐκθερμαίνουσι καὶ οὐ συγχωροῦσι συστῆναι νέφος. οὐ γὰρ τοῦτο ἀληθές, διότι μὴ ὄντος ὑπεκκαύματος, κατ' αὐτοὺς οὐκ ἐστι πολλὴ διαφορὰ τῶν διαστημάτων ἐκ τοῦ ἀπογείου ἀέρος μέχρι τῶν ἄστρων· μηδὲ πάλιν τινὲς λεγόντων, ὅτι αἱ τοῦ ἡλίου ἀκτῖνες παρατριβόμεναι πρὸς τὸν ἀέρα καὶ πάλιν φερόμεναι ὡς πρὸς τὰς σφαίρας μᾶλλον ἐκθερμαίνουσι τὸν περίγειον ἀέρα καὶ διὰ τοῦτο οὐ συνίστανται νέφη ἐν αὐτῷ· ἄτοπον γὰρ τοῦτο· τὸ γὰρ ἐναντίον αἱ ἀκτῖνες μᾶλλον ἐκθερμαίνουσι τὸν περίγειον ἀέρα. διότι ὡς εἰς κέντρον ἐκεῖσε συνερχόμεναι στενοῦνται καὶ μᾶλλον ἀλλήλων ἐφάπτονται· ἐν δὲ τῷ ἀπογείῳ ἀέρι ὡς διϊστάμεναι καὶ περὶ πλείστων διακρινόμεναι οὐχ οὕτω ἐκθερμαίνουσι. μηδὲ πάλιν λεγέτωσάν τινες, ὅτι τοῦ ἀέρος πέφυκεν ὁ μὲν περίγειος εἰς ὕδωρ μεταβάλλειν· ὁ δὲ ἀπόγειος οὐκέτι, διὰ τοῦτο ποῦ μὲν συνίστανται νέφη, ποῦ δὲ οὐ, ἀποκληρωτικὸν γάρ ἐστι τὸ τοιοῦτο· μηδὲ πάλιν τινὲς λεγέτωσαν, ὡς ὅλος μὲν ὁ ἀὴρ πέφυκε μεταβάλλειν εἰς ὕδωρ, ἀλλ' οὐχ ὁμοίως· ὁ μὲν γὰρ περίγειος ῥᾳδίως, δυσχερῶς δὲ ὁ ἀπόγειος· τούτου δὲ τὸ αἴτιον, τὸ τὸν μὲν ἀπόγειον ἀτμίδα ἔχειν πολλήν, τὸν δὲ ἀπόγειον μὴ ἔχειν· ἄτοπος γὰρ οὗτος ὁ λόγος· εὑρεθήσεται γὰρ τὸ ὕδωρ ἀπείρῳ μεγέθει διαλλάττον τῆς γῆς μέχρι τοῦ ἀπογείου ἀέρος· ὑποθώμεθα τὸ ὕδωρ, οὐδὲν γὰρ ἄλλο ἐστὶ λέγειν ἀτμίδα ἢ ὕδωρ· ἡ γὰρ ἀτμὶς οἷον ὕδωρ, ὅπερ ἄτοπον·

Alexandri Aphrodisiensis nomine circumferri solet, reperitur. Cfr. not. ad Excerpt. I, 8, 1. Gemini verba huc spectantia (*Isagog.* 13. p. 209 sq.) adscripsi in commentario.

*) Cfr. Stob. *Eclog. phys.* I, 25. p. 510. ed. Heeren.

**) *De caelo.* II, 7. p. 289, a.

οὐκέτι γὰρ ἐκεῖνος φυλάττεται κανών, ὅτι ὡς ἔχει τὸ μερικὸν πρὸς τὸ μερικόν, οὕτως ἡ ὁλότης πρὸς τὴν ὁλότητα· οὐ γὰρ εἰς ἄπειρον ὕδωρ ὀλίγη γῆ μεταβάλλει, ὅπερ ἔδει διὰ τὴν τῶν ταῦτα λεγόντων δόξαν· αὗται μὲν αἱ ψευδεῖς ἐπιλύσεις· μετὰ ταῦτα οἱονεὶ προκαθαρθεῖσαν ἐπάγει τὴν ἀληθῆ δόξαν οὖσαν τοιαύτην. ὅτι τὸ ὑπέκκαυμά ἐστιν, ὅπερ αἴτιον γίνεται τοῦ μὴ συνίστασθαι ἐν τῷ ἀπογείῳ ἀέρι νέφη· ἐπειδὴ γὰρ θερμόν ἐστι, τοῦτο πάνυ ἐκθερμαίνει τὸν πλησίον ἀέρα μᾶλλον ἢπερ τὸν πόρρω καὶ διὰ τοῦτο μὴ οὔσης ἐν τῷ ἀπογείῳ ψύξεως τῆς πυκνούσης οὐ γίνεται νέφη· ἔστιν οὖν τὸ ὑπέκκαυμα, καὶ ἔχεις τὸ πρῶτον πρόβλημα· λοιπὸν ζητητέον καὶ τὸ δεύτερον, μέχρι τίνος ἐστὶν ἄνω μὲν μέχρι τῶν σφαιρῶν, κάτω δὲ μέχρι τῶν σεληναίων ὄρων*) ἢ ἀνωτέρω μικρόν, ὅπερ καὶ ἀληθέστερον· ὅσον γὰρ ἐπὶ τῷ προειρημένῳ οὐδαμοῦ ἔσται ἀπόγειος ἀήρ· πλὴν ἡ λέξις ἄμφω φαίνεται λέγουσα καὶ τοῦτο ἐπιστήσομένη εἴρηται οὖν μέχρι τίνος ἐστίν· ἐν οὖν τῷ ἀπογείῳ ἀέρι διὰ τὴν ἀπὸ τοῦ ὑπεκκαύματος γινομένην Θερμασίαν οὐ συνίστανται νέφη· ἀλλ' ἴσως τις ἀπορεῖ καὶ τί δήποτε τοὐναντίον ἐστί, καὶ ὁ μὲν περίγειος ἀὴρ Θερμότερός ἐστι διὰ τὴν παράτριψιν τὴν τῶν ἀκτίνων, πολλὴ δὲ ψύξις ἐστὶν ἐν τοῖς ὑψηλοτάτοις ὄρεσιν, ὡς ἂν τοῦ ἀπογείου ψυχροτάτου ὄντος**). τί οὖν φαμεν; ὅτι ὁ περίγειος ἀὴρ διὰ τὴν παράτριψιν τὴν ἀπὸ τῶν ἀκτίνων σφόδρα ἐστὶ Θερμότατος καὶ καυστικὴ μᾶλλον Θερμασία· ὁ δὲ ἀπόγειος Θερμός ἐστι μᾶλλον ζῳογόνῳ Θερμῷ· εἶπε δὲ καὶ ἄλλην αἰτίαν, δι' ἣν οὐ γίνονται νέφη ἐν τῷ ἀπογείῳ, ἐπειδὴ οὐ φθάνει μέχρι τῶν ἐκεῖσε ἡ ἀτμίς· οἷον γὰρ βάρος τὸ πνεῦμα τὸ ἀέριον τὴν ὑγρότητα ἀνοχοῦν φέρεται μέχρι τοῦ περιγείου· καὶ μὴ ἐξισχύον ἀπολύει αὐτὴν καὶ πίπτει***) κάτω· ἐπειδὴ οὖν οὐδὲ τὸ ὑλικὸν αἴτιον, φημὶ δὲ ἡ ὑδατώδης οὐσία, οὐδὲ τὸ ποιητικόν, φημὶ δὲ ἡ ψύξις παρ-

*) Perperam Ezech. Spanhemius in margine exemplaris, quod olim possederat, in bibl. Reg. Berol. nunc cum reliquis eius libris adservato, quo utor, de lunae montibus cogitavit.

**) *Meteorol. vet. Gr. et Roman.* XI, 53 p. 215 sqq.

***) Fort. *ῥίπτει*.

οὖσα *) ἐν τῷ ἀπογείῳ, διὰ τοῦτο οὐ συνίσταται ἐν τούτῳ νέφη· εἰπὲ δὲ καὶ ἄλλην αἰτίαν, ὅτι οὐ συνίσταται νέφη ἄνω, ἐπειδὴ ἀπόγειος ἀὴρ ἀεὶ ῥέει καὶ κινεῖται συμπεριφερόμενος τῇ κινήσει τοῦ παντός· χρείαν γὰρ ἔχει τὸ νέφος ἠρεμίας, ἵνα ἡ πῆξις γένηται· διὸ ἐπειδὴ κύκλῳ κινεῖται ὁ ἀπόγειος ἀήρ, οὐδὲ ἄνεμοι ἐν αὐτῷ γίνονται· ἐπιῤῥαπίζεται γὰρ αὐτῶν ἡ κίνησις λοξῶς γινομένη ἐκ τῆς κινήσεως τοῦ παντὸς κύκλῳ γινομένης· οὐ γὰρ αἰτία ἡ κύκλῳ κίνησις τῆς κινήσεως τῶν ἀνέμων· ἦ γὰρ ἂν πάντες ἀπηλιῶται ἦσαν κύκλῳ φερόμενοι. λοξὴ δέ ἐστι πάντων κίνησις πλὴν ἀπηλιώτου **). οὗτος γὰρ ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς φέρεται· ἀλλ' ἴσως ἀπορήσει τις, διὰ τί μὴ καὶ ὁ περίγειος ἀὴρ συμπαραφέρεται τῷ παντί· πρὸς οὓς ῥητέον, ὅτι κωλύει αὐτὸν τὰ ἄντρα καὶ τὰ κοιλώματα τῆς γῆς· συνελόντι οὖν φάναι οὔτε ἐν τῷ ἀπογείῳ ἀέρι συνίστανται νέφη, οὔτε εἰς τὸ κάτω μέρος τοῦ περιγείου· τῷ μὲν διὰ τὸ μὴ παρεῖναι τὸ ποιητικὸν καὶ ὑλικὸν αἴτιον, τουτέστι τὴν ἀτμίδα καὶ τὴν ψύξιν, ἀλλὰ καὶ ἀεὶ κίνησιν σφοδροτάτην εἶναι ἐν αὐτῷ, τῷ δὲ διὰ τὸ μὴ παρεῖναι τὸ ποιητικὸν αἴτιον, φημὶ δὲ τὴν ψύξιν· πολλὴ γάρ ἐστιν ἡ θερμότης περὶ τὸν περίγειον διὰ τὸ ἐκεῖσε συμβάλλειν τὰς ἀκτῖνας· ταῦτα διὰ τούτων παραδίδωσιν ὁ Ἀριστοτέλης. Olymp. fol. 6, a. b.

Διαφέρει γὰρ οὐδὲν ..... τὴν δύναμιν εἶναι] Πρὸς Ἐμπεδοκλέα νένευκεν αὐτῷ τὰ λεγόμενα ***)· ἐκεῖνος γὰρ ἀμετάβλητα μὲν εἰς ἄλληλα τὰ στοιχεῖα μένειν ἔλεγεν, ὡς ἐν τῷ δευτέρῳ τοῦ περὶ γενέσεως ἐλέγχων τοῦ αὐτοῦ τὴν δόξαν ὁ φιλόσοφος ἔγραψεν ἴσα μέντοι εἶναι κατὰ τὰς δυνάμεις ἀλλήλοις ἅπαντα· ἐπεὶ οὖν αὐτὸς ἐκ τῆς εἰς ἄλληλα τούτων μεταβολῆς τὴν προκειμένην ὑπόθεσιν ἤλεγξεν. Ἐμπεδοκλῆς δὲ οὐ μεταβάλλειν εἰς ἄλληλα ταῦτα βούλεται, οὐδὲν διαφέρειν τοῦτό φησι πρὸς τὸν ἔλεγχον τῶν ὑποθέσεων, ἐν ὅσῳ τὰ τῆς δυνάμεως αὐτῶν ἰσά φησιν εἶναι· δηλονότι καὶ τῶν ὄγκων αὐ-

*) Ald. *πάρεστιν.*

**) Cfr. Benzenberg in Gilb. *Annal.* VIII. p. 240. Vide etiam Excerpt. ad I, 12, 1.

***) Vide Commentarium.

τῶν ἀναλογίαν ἐχόντων πρὸς ἀλλήλους· εἰ οὖν κατὰ τὴν ὑπόθεσιν ἑνὸς ἢ δύο στοιχείων τὸ μετὰ τὴν γῆν εἴη μέχρι τῆς ἀπλανοῦς οὐχ ἕξει συμμετρίαν πρὸς τὴν γῆν, ὁ τοῦ ἑνὸς ἢ τῶν δύο στοιχείων ὄγκος ὡς τῶν δυνάμεων τοῖς ὄγκοις δηλονότι συναυξανομένων· ὅπερ οὐκ ἔστιν ἀληθές· οὐ γὰρ εἰ κέραμον ὕδατος ἐκ τῆς Μαιώτιδος λίμνης ἀρύσαις ἀνάγκη τοῦ ἀρυσθέντος ὕδατος τοσοῦτον ταῖς δυνάμεσιν ὑπερέχειν τῇ ὑγρᾷ λέγω καὶ τῇ ψυχρᾷ τὸ τῆς λίμνης ἅπαν ὕδωρ, ὅσον καὶ τῷ ὄγκῳ τοῦ μεγέθους ὑπερβέβηκεν· οὐδὲ εἰ δαλὸν ἕνα πυρκαϊᾶς ἀφέλῃς μεγίστης, δεῖ τοσοῦτον αὐτοῦ θερμοτέραν εἶναι τὴν ὅλην πυρκαϊάν, ὅσον ἐστὶ τῷ μεγέθει μεῖζον τοῦ ἀφαιρεθέντος· ὁμοίως καὶ ἐπὶ ὄξους φέρε καὶ οἴνου, λευκοῦ τε σώματος ἢ μέλανος καὶ τῶν παραπλησίων ἁπάντων· οὐδενὶ γὰρ τούτων τοῦ ἀφαιρεθέντος ἐξ αὐτῶν μορίου ἀνάγκη μεῖζον εἶναι τὸ ὅλον ταῖς δυνάμεσι τοσοῦτον, ὅσον καὶ τῷ ὄγκῳ μεῖζόν ἐστι τὸ ὅλον τοῦ μέρους*). I. Phil. fol. 81, b.

10. *Εἰ δὴ γίνεται ὕδωρ ἐξ ἀέρος ..... τῇ θερμότητι τὰς συστάσεις*] Πρὶν διδάξαι ποίαν ἔχουσι τάξιν ὁ ἀήρ τε καὶ τὸ πῦρ, τὴν προκειμένην ἐκίνησεν ἀπορίαν, ὡς εἰς τὸ ζητούμενον αὐτῷ χρησιμεύουσαν **). ἅμα γὰρ τῇ λύσει ταύτης καὶ ἡ τάξις εὐθὺς τῶν εἰρημένων δύο στοιχείων συναναφαίνεται. ἔστι δὲ ἡ ἀπορία τοιαύτη· εἰ δέδεικταί φησιν, ὡς εἰς ἄλληλα τὰ τέσσαρα μεταβάλλει στοιχεῖα (δέδεικται γὰρ ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς) καὶ διὰ τοῦτο καὶ τὸ ὕδωρ μανούμενον ἀὴρ γίνεται, καὶ τοὔμπαλιν πυκνούμενος ὁ ἀὴρ γίνεται ὕδωρ· καὶ οὐχὶ τινὰ μὲν αὐτῶν μόρια τοῦτο πάσχει, τινὰ δὲ οὔ, ἀλλ' ὅτιοῦν αὐτῶν ληφθείη μέρος, πέφυκε μεταβάλλειν εἰς θάτερον, διότι μὴ συνίσταται νέφη ἐν τῷ πολὺ τῆς γῆς ὑπεranεστηκότι τόπῳ· ὅτι γὰρ οὐ συνίσταται ἐκ τῆς μακρᾶς ἱστορίας ἐστὶ δῆλον· τὰ γὰρ ὑψηλότατα τῶν ὀρῶν ὑπερνεφῆ

*) Interpretes Aristotelis, praeter unum Simplicium, Empedoclis carmina non amplius ante oculos habuere, quod ex hoc etiam loco satis patet. Idcirco neque Olympiodori neque Alexandri verba huc pertinentia adscripsi. Sturzius in hanc rem minus, quam fas erat, animadvertisse mihi videtur.

**) Cfr. Lobeck ad Phrynich. p. 386.

τέ ἐστι καὶ ὑπερήνεμα. τέφραν γὰρ ἔν τισι τούτων ἀποθέμενοί τινες ἢ καὶ ἐκ θυσιῶν τῶν ἐν ἐκείνοις γινομένων ἀπολελοιπότες, μετὰ πλείστους ἐνιαυτοὺς περιεργασάμενοι, κειμένην εὗρον αὐτὴν οὕτως ὡς ἔθεσαν· καὶ ἐν Κυλλήνῃ δέ φασιν, Ἀρκαδίας δ' ὄρος*), βληθεῖσαν μήτε ὑπὸ πνευμάτων διεσκεδασμένην. ἱστορεῖ δὲ Πλούταρχος καὶ γράμματα μεῖναι εἰς ἑτέραν τῶν ἱερείων**) ἀνάβασιν ἐκ τῆς προτέρας ἐν τῷ Ὀλύμπῳ τῷ Μακεδονικῷ. ἀλλὰ καὶ οἱ τὰ τοιαῦτα τῶν ὀρῶν διοδεύοντες, ὡς καὶ ἐμοί τις τὸν Ὄλυμπον διοδεύσας ἔλεγε, κατωτέρω τῆς πορείας αὐτῶν τὰς τῶν νεφῶν γινομένας συστάσεις καὶ ὑετὸν συνιστάμενον ἀστραπῶν τε ἐλλάμψεις. καὶ κτύπου βροντῶν ἤκουον φερομένου κάτωθεν· καὶ ἁπλῶς ὅσα συμβαίνουσιν ἐκ τῆς τῶν νεφῶν συγκρίσεως καὶ ἡμῖν ἄνω γινόμενα φαίνεται, ἐκείνων κατωτέρω συνίστανται. καίτοιγε οὐδὲ πολύ τι τῆς γῆς τὰ ὑψηλότατα τῶν ὀρῶν ὑπερῆρται· οἱ γὰρ τῆς μηχανικῆς ἐπιστήμονες τέχνης διὰ τῶν ὀργάνων***), δι' ὧν τὰ ὕρη

*) Addendum videtur *τέφραν*. cfr. supra p. 149. et nisi fallor etiam *δι' ἐνιαυτοῦ*.

**) Scr. *ἱερέων*.

***) Montes inter alios emensus est Dicaearchus, qui opus conscripsit *καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν*, auctoribus Suida v. *Δικαίαρχος*, Plinio *Hist. nat.* II, 65: *Cui sententiae adest Dicaearchus, vir imprimis eruditus, regum cura permensus montes*, et Gemino c. 14. In loco Suidae Aug. Buttmannus *Quaest. de Dicaearcho* (Numb. 1832. 4. Progr. Schol. Port.) p. 30 legi vult: *περὶ τῶν ἐν Πελοποννήσῳ ὄρων*. — Quomodo veteres, praeprimis Dicaearchus montium altitudines emensi sint, paucis exponendum videtur. Sit AB altitudo montis, CD gnomon, cuius ope anguli COD = AOE magnitudinem determinaverunt, deinde anguli FEG = AEB = 2R − AEO.



Quibus factis basin EO emensi, triangulum AEO in chartis construxerunt, et ratione lineae AE ad lineam EO definita, prioris longitudinem computarunt. Cum deinde in triangulo ABE notae essent magni-

μετρεῖν εἰώθασιν, εὑρόντες τούτων τὰ ὕψη τὰ μέγιστα, φασὶ τῶν ὀρῶν δέκα καὶ δύο σταδίων ἔχειν τὴν κάθετον· τίς οὖν ἡ ἀποκλήρωσις *); τινὰ μὲν τοῦ ἀέρος μόρια μεταβάλλειν εἰς ὕδωρ, τινὰ δὲ μή. εἰ γὰρ πᾶν μόριον ὕδατος εἰς ἀέρα μεταβάλλειν ἐξατμιζόμενον δύναται, καὶ πᾶν ἄρα μόριον ἀέρος πυκνούμενον γενήσεται ὕδωρ· ἴσα γὰρ ἀνάγκη ταῖς δυνάμεσιν εἶναι τὰ στοιχεῖα. ὑπερβάλλοντος **) γὰρ τῶν ἐναντίων θατέρου τὸ λοιπὸν ἅπαν εἰς ἑαυτὸ μεταβάλλει***) τῷ χρόνῳ, καὶ τὸ πᾶν οἰχήσεται, ἑνὸς τῶν ἐξ ὧν ἔχει τὸ εἶναι λυομένου. καίτοι

---

tudines angulorum ABE et AEB et longitudo lineae AE, eadem via ad determinationem lineae AB, quae montis erat altitudo pervenerunt. Sed error in his quam facilis! Cum deinde Hipparchus theoriam chordarum duodecim libris exposuisset (*Ἱππάρχου πραγματεία τῶν ἐν κύκλῳ εὐθειῶν ἐν ιβ βιβλίοις* laudatur Theoni in Ptolem. *Almag.* I. p. 39. ed. Bas. 1558. fol.) eamque rem ulterius prosecutus esset Menelaus in *Sphaericis* (cfr. Theon. l. l. et p. 77.), et Ptolemaeus chordarum canonem construxisset (I, 9. p. 26 sqq. ed. Halma) ope huius trigonometriae (de qua disseruit pater in singulari dissertatione: *Ueber die Trigonometrie der Alten* in v. Zach *Monatl. Correspond.* Vol. XXVI. p. 1 sqq.) montium altitudines longe facilius definire potuerunt. Caeterum duo nobis laudandi sunt loci huc pertinentes, alter Theonis in Ptolem. *Alm.* I. p. 25: *τὴν δὲ ἀπὸ τῶν ὑψηλοτάτων ὀρῶν ἐπὶ τὰ χθαμαλώτερα πίπτουσαν κάθετον δείκνυσιν Ἐρατοσθένης διὰ τῶν ἐξ ἀποστημάτων μετρουσῶν διοπτρῶν σταδίων ι*, alter Simplicii in Aristotel. *de caelo* II. fol. 134, b: *ὁ γὰρ Ἐρατοσθένης τὴν ἀπὸ τῶν ὑψηλοτάτων ὀρῶν πρὸς τὰ ὑφειμένα πίπτουσαν κάθετον, δείκνυσι διὰ τῆς διόπτρας ἀναμετρήσας ἐκ τῶν ἀποστημάτων ὑπάρχουσαν σταδίων δέκα.*

*) *Ἀπόκρισις* putabam esse scribendum, sed *ἀποκλήρωσις* redit infra eadem significatione fol. 12. b. apud Olympiod. ad I, 6, 5. Adde *ἀποκληρωτικὸς λόγος* fol. 30, b. 33, a. *τὸ τέταρτον ἐπιχείρημα τὸ λέγον, τίς ἡ ἀποκλήρωσις τὸν ἥλιον μόνον τρέφεσθαι ὑπὸ τῆς ἀτμίδος, μηκέτι δὲ τοὺς ἄλλους ἀστέρας* fol. 31, a. *ἔπειτα τίς ἡ ἀποκλήρωσις, ἵνα πρῶτον μὲν ἱδρυθῇ ἡ γῆ ποιήσῃ τὴν θάλατταν* fol. 34, a. Supra fol. 6, a. *ἀποκληρωτικὸν γάρ ἐστι τὸ τοιοῦτο.*

**) Ald. *ὑπερβάλλοντες.*

***) Ald. *μεταβάλλῃ.*

φησὶ προσῆκον ἦν μᾶλλον ἐν τῷ τόπῳ τούτῳ την τῶν νεφῶν γίνεσθαι σύστασιν, ὡς ψυχροτέρου *) τοῦ τε ὑπερκειμένου αὐτῶν ἀέρος τοῦ πλησιάζοντος τοῖς ἄστροις καὶ τοῦ περὶ τὴν γῆν αὐτὴν, οὔτε τῶν ἄστρων ἔγγυς ὄντων θερμῶν ὄντων, ὡς τισιν ἔδοξε τῇ θερμότητι διαλυόντων τὴν σύστασιν, οὔτε πλησίον τῶν ἀπὸ τῆς γῆς ἀνακλωμένων ἀκτίνων, αἵτινες κωλύουσι περὶ τὴν γῆν νέφη συνίστασθαι. ὡς γὰρ ἐν κέντρῳ τινὶ συνελθοῦσαι τῇ γῇ πλείονες ἀκτῖνες, εἶτα πάλιν, ἀνακλώμεναι, μᾶλλον ἀλλήλαις πλησιάζουσι καὶ τὸν ἐναπειλημμένον καθ' ἑκάστην κλάσιν ἀέρα τῇ κινήσει θερμαίνουσι καὶ συστῆναι κωλύουσιν εἰς νέφη· εἴ τι γὰρ συμπιληθείη τούτου, ῥαδίως αὐτὸ διακρίνουσι τῇ παρατρίψει θερμαίνουσαι· ὅτι γὰρ ἡ κίνησις θερμαίνει προφανὲς ἅπασι· διὸ καὶ τῶν βελῶν τῶν μετὰ πολλῆς ῥύμης ἐκπεμπομένων ὁ μόλιβδος ὁ τὰς ἀκίδας συνέχων τακείς, ἢ ἁπλῶς ἡ κόλλα διαπίπτειν αὐτὰς ποιεῖ, εἰ μὴ νεύροις εἶεν συνδεδεμέναι. ἐκεῖ γὰρ τὰ νέφη συνίστανταί φησιν, ἐν ᾧ προϊούσης τῆς ἀνακλάσεως εἰς ἀχανὲς αἱ ἀκτῖνες ἀλλήλων διίστανται πλεῖστον ἀέρα μεταξὺ διαλαμβάνουσαι καὶ διὰ τοῦτο δυσπαθῆ τῷ θερμῷ· εἰκὸς οὖν ἐκεῖ τὰ νέφη συνίστασθαι· δέδεικται γὰρ ἐν τοῖς ὀπτικοῖς, ὅτι αἱ τῶν ἀκτίνων κλάσεις κατ' ἴσας τὰς ἑκατέρωθεν γίνονται γωνίας. διόπερ ἐξαπλοῦσθαι συμβαίνει προϊούσας τὰς ἀνακλωμένας· ἀλλὰ καὶ ἐν τοῖς κατόπτροις αἱ προσπίπτουσαι τῶν ὄψεων ἀκτῖνες καὶ διὰ τὸ λεῖον ἐξ αὐτῶν ἀνακλώμεναι παλινδρομοῦσιν, ὅθεν ἐξελήλυθασι. διόπερ ἑαυτοὺς ὁρῶντες ἄλλο τι ὁρᾶν ἐν τοῖς κατόπτροις νομίζομεν τῆς κρίσεως τῶν ὁρατῶν κατ' αὐτὴν γινομένης τὴν ἐκ τῆς κλάσεως ἐν τῷ κατόπτρῳ συνισταμένην γωνίαν· καὶ διὰ τοῦτο τὸ ἔξω φανὲν εἴδωλον ἔνδον ἐν τῷ κατόπτρῳ εἶναι δοκεῖ καὶ ἐπειδὴ κατ' ἴσας τὰς ἑκατέρωθεν γωνίας ἡ κλάσις γίνεται, εἰ μὲν τὰ ὑπὲρ κεφαλῆς ἡμῶν ἰδεῖν ἐθέλομεν πρὸ ποδῶν τὸ κάτοπτρον ὕπτιον θέντες καὶ ἀποβλέψαντες εἰς αὐτό, τὴν ὀροφὴν ὁρῶμεν, τῶν ἀκτίνων τῆς ὄψεως κατ' ἀμβλείας τὰς ἑκατέρωθεν κλωμένων γωνίας, ὀξεῖαν δὲ τὴν μεταξὺ ποιουσῶν καὶ οὕτως εἰς ὕψος ἀναφερομένων διὰ τὸ τὴν κλάσιν μὴ

*) Ald. ψυχροτέρῳ.

χωρεῖν ἐφ' ἑκάτερα πλατυνομένην· εἰ δὲ τὰ κοῖλα καὶ κάτω βουληθείημεν ἰδεῖν εἰς ὕψος τὸ κάτοπτρον ἀνατείναντες ἀποβλέπομεν εἰς αὐτό. κλώμεναι δὲ πάλιν αἱ ὄψεις ὁμοίως ταῖς πρώταις ἐπὶ τὸ κάτω χωροῦσιν, ὡς καὶ τὰ ἐν βάθει κατοπτεύειν ἡμᾶς ἐν τῷ ἐνόπτρῳ δοκοῦντα φαίνεσθαι. εἰ δὲ ὕπτιον ὡς ἀπὸ τῆς ὄψεως νεῦον ἐπὶ τὸ ἔδαφος τὸ νῶτον σχηματισθείη τὸ κάτοπτρον, ἀνακαλωμένων τῶν ὄψεων καὶ ὀξείας τὰς ἑκατέρωθε ποιουσῶν, εἰς ἀμβλεῖαν δὲ τὴν μέσην εὐρυνομένων ἐν τῇ προόδῳ τῶν ἀκτίνων ἑκατέρωθεν, τὰ κατωτέρω μὲν ὀλίγον ἡμῶν ἐφ' ἑκάτερα δὲ καὶ ἔμπροσθεν κείμενα βλέπομεν· τούτων τὰς αἰτίας ἐγνωκότες οἱ τῶν τοιούτων ἐπιστήμονες, πολλὰς ἰδέας κατόπτρων ἐπινενοήκασι, δεξιοφανῆ καὶ ἐξωφανῆ*), καὶ τήν τε τὴν ἀντίστροφον δεικνύντα τῇ κεφαλῇ καὶ ἕτερα πλεῖστα. πρὸς γὰρ τὰς ποικίλας τῶν ὄψεων ἀνακλάσεις τὰ κάτοπτρα τῇ διαπλάσει σχηματίσαντες, τὰ τοιαῦτα δοκοῦσι θαυματουργεῖν· ἀλλὰ περὶ μὲν τούτων λεγόντων οἱ περὶ τὰ τοιαῦτα, πρὸς δὲ τὴν παροῦσαν χρείαν αὐτάρκως εἴρηται. τὴν αἰτίαν δείξασι δι' ἣν οὔτε ἐν τοῖς περιγειοτέροις οὔτε ἐν τοῖς πολὺ διεστῶσι τῆς γῆς νέφη συνίστανται. Ioh. Philopon. fol. 82, a.

Τὸ μὲν γὰρ ἄνω ..... ἀέρος] Ἄνω σῶμα λέγεται τὸ οὐράνιον· τοῦτο γὰρ δέδεικται ἐξ ἑτέρου τινὸς σώματος ὑπάρχον· ἀλλ' ἐν αὐτῷ γε τὸ μὲν καθαρώτατον εἶναι τὸ δὲ ἧττον εἰλικρινές· τὸ γὰρ τοῦ ἡλίου καθαρώτερον, τὸ δὲ τῆς σελήνης ὑπαιρώτερον· διὸ καὶ ἀνθρακώδης φαίνεται ἡ σελήνη **). αἴτιον δὲ τούτου τὸ πλησιάζειν ἢ ἀφεστάναι τοῦ ὑπερκαύματος πλὴν οὐχ ὡς ἄν τις οἰηθείη, ἐπιμιξίᾳ τῶν ἐνύλων στοιχείων ὑπαπωτέρα γίνεται· καλῶς γὰρ τοῦτο διήτησεν ὁ Ἀλέξανδρος***), ὅτι ὥσπερ τὸ πῦρ ἧττον λέγεται εἶναι τῆς γῆς ξηρότερον, οὕτως οὐ τῇ ἐπιμιξίᾳ τοῦ ὑγροῦ †) τοῦ ἐναντίου

*) Lexicis addatur.

**) Quod mire dictum est. Repetit tamen mox fol. 8, b et infra fol. 23, b.

***) Talia reperiuntur apud Alexandrum fol. 74, a.

†) Ita scribendum esse vidit iam Ez. Spanhemius. Apud Al-

τῷ ξηρῷ· καὶ ὥσπερ τὸ ὕδωρ λέγεται ἧττον ὑγρὸν εἶναι τοῦ ἀέρος, οὐχ ὅτι ἀὴρ ἐπιμιξίαν ἐδέξατο τοῦ ὑγροῦ, οὕτως καὶ ἡ σελήνη εἰ καὶ πλησίον ἐστὶ τῶν ὑλικῶν τούτων στοιχείων λέγεται ὑπαρώτερα αὕτη οὐ τῇ ἐπιμιξίᾳ τούτων, ἀλλὰ διὰ τὸ εἶναι διαφορὰν τοῦ σώματος καὶ τὸ μὲν αὐτοῦ εἶναι καθαρώτερον, τὸ δὲ ὑπαρώτερον. Olymp. fol. 7,b.

Οὐδὲν κωλύει καὶ διὰ τὴν κύκλῳ φοράν et q. s.] Ἡ ἄλλη αἰτία, ὅτι διὰ τὴν κίνησιν οὐ συνίσταται ἐν τῷ ἀπογείῳ ἀέρι νέφη· ὅλος γὰρ ἀὴρ συγκινεῖται τῷ παντί, πλὴν τοῦ περιγείου. οὗτος γάρ ἐστιν ὁποῖον μετὰ τῆς γῆς σφαῖραν. καὶ σημείωσαι, ὅτι νῦν μὲν τὸ ἀπὸ τοῦ περιγείου λέγει συγκινεῖσθαι τῷ παντί. Διοκλῆς *) δὲ εἶπεν, ὅτι οὐδὲ ἄνεμοι γίνον-

dum legitur οὕτως ἡ ἐπιμιξία τοῦ ὑγροῦ, quemadmodum etiam perperam deinceps ὑπαρωτέρα αὕτη ἡ ἐπιμιξία τούτων.

*) De Diocle nihil certi constat. Puto tamen celebrem illum medicum Carysto Euboeae urbe oriundum esse intelligendum, qui Antigoni Gonatae temporibus vixit et plurima medica et anatomica scripsit, ex quibus omnibus neque Galeni temporibus supererat (*de administr. anatom.* lib. II. p. 129. IX. p. 194) neque adeo nostris, praeter unam epistolam ad Antiochum regem scriptam (apud Paul. Aeginet. L. I. c. ult. servatam), quae tamen procul dubio ab alio quodam scriptore profecta est. Cfr. Schulze *Histor. medic.* p. 337. Eius ῥιζοτομικά laudantur a Schol. ad Nicandr. *Theriac.* v. 627. 647. p. 41. 43. Saepenumero ad eum provocat Plinius in *Historia naturali.* Quid me commoveat, cur eundem esse censeam hunc nostrum Dioclem et medicum illum, quem Athenienses ob merita sua magna alterum Hippocratem appellavere teste Galeno (*de dieb. decretor.* I, 2) est quia morbos statuerat oriri ex inaequalitate elementorum, ex contrario eorum statu et ex aëris constitutione (cfr. Galen. *Hist. philos.* XXXIX. p. 344. Plutarch. *Plac. phil.* V, 30. p. 609. Stob. *Sermon.* XCVIII. p. 540), deinde quia humorum generationem dependere censuit a certis anni temporibus. (Vid. Epist. illam supposititiam l. l.). Is certe meteorologus fuit, ventorumque procul dubio vices et facultates observavit. — Quin idem fuerit ille Diocles, qui apud Diogenem Laërtium V, 62. p. 300. una cum Lycone aliisque Peripateticis vocatur Stratonis testamenti executor vix dubito; notus enim nobilisque illius aevi is fuerit homo, necesse est, idcircoque inter Peri-

ται οὐδὲ νέφη ἐν τῷ ἀπογείῳ διὰ τὴν ἐκπύρωσιν καὶ διὰ τὴν κίνησιν. παρακατιὼν δὲ ἔχει εἰπεῖν μὴ μέχρι τοῦ ἀπογείου γίνεσθαι τὴν ἐκπύρωσιν, ἀλλ' ὅτι μόνον τὸ πλησίον τῆς ἀπλανοῦς ἐκπυροῦται, τὸ μὲν πῦρ τῷ ἀνωτάτῳ στοιχείῳ, τῷ δὲ πυρὶ ἀὴρ συνεχής ἐστιν· ἰδοὺ νῦν τὸ μὲν προσεχὲς τῶν οὐρανίων λέγει τὸ πῦρ, τὸ δὲ ὑπόλοιπον ἀέρα, ὡς ἂν μὴ μόνον τοῦ ἀπογείου ἀέρος ἐκπυρουμένου. Olymp. fol. 7, b.

Cap. III. §. 19. *Περὶ μὲν οὖν τῶν ἐν τῷ ἄνω τόπῳ* et q. s.] *Τοῦ προαναφωνηθέντος τῇ προτεραίᾳ* *) ὡς ἐπιλύσεως ἀξιωθησομένου, ἥκομεν νῦν τὴν αἰτίαν ἀποδώσοντες. ποῖον δέ ἐστι τοῦτο; τί δήποτε ὁ ἥλιος μὴ ὢν θερμὸς θερμαίνει ἡμᾶς. καὶ δυνατὸν μὲν ἦν τὸν Ἀριστοτέλην ἐπιλύσασθαι οὕτως, ὅτι οὐδὲν ἄτοπον τὸ μὴ θερμὸν θερμαίνειν. πᾶν γὰρ θερμὸν θερμαίνει, οὐ πᾶν δὲ θερμαῖνον θερμόν ἐστιν. ἰδοὺ γὰρ καὶ ἡ κίνησις θερμαίνει μὴ οὖσα θερμή, καὶ ἡ ἄλογος**). καὶ κατὰ Πλάτωνα τὰ σχήματα μὴ ὄντα θερμὰ θερμαίνει. ὁ γὰρ Πλάτων ἐν Τιμαίῳ λέγει, ὅτι τὸ πῦρ οὐχ ***) ᾗ πῦρ θερμαίνει, ἀλλὰ διὰ τὰ ἐν αὐτῷ σχήματα πυραμοειδῆ ἐξ ὧν καὶ σύγκειται ταῦτα· γὰρ διὰ τὸ εἰς ὀξὺ λήγειν εὐδιαίρετά εἰσι· τῷ γοῦν ποιεῖν εὐχερῶς τὴν διαίρεσιν, νομίζεται καίειν· ὅθεν καὶ τὴν ἀκαλήφην †) διὰ τὸ ποιεῖσθαι διαίρεσίν

---

pateticos a Fabricio (*Bibl. gr.* Vol. III. p. 491 ed. Harles) receptus est. Unde concludas ipsius Stratonis physici eum fuisse discipulum, nec mirum videri, si vel ipse physica nonnulla scripta composuerit, ad quae h. l. provocetur, quamvis nihil, ut dixi certe ea de re aliunde mihi innotuerit.

*) Sc. *πράξει*. Incipit enim hac adnotatione *Πρᾶξ. δ'*.

**) Quid sit *ἡ ἄλογος κίνησις* non adsequor.

***) *Οὐχ*, quod sententiae nexus efflagitat, de meo addidi.

†) *Ἀκαλήφην urticarum* genus significasse certum est, quo tamquam olere vescebantur Graeci. Theophr. *Histor. plant.* VII, 7, 2 ibiq. Schneider Tom. III. p. 597. Sed puto ab Olympiodoro intellectum esse *urticam marinam* de qua Aristot. *Histor. animal.* I, 1, 6 et alibi; *Medusarum* genus, ea facultate praeditum, ut manus capescentium inflammet et urat. (Cfr. omnino Th. Schmid. ad Hor. *Epist.* I, 12, 8. Tom. I. p. 262). Longe enim

τινα νομίζομεν εἶναι θερμήν· ἠδύνατο οὖν οὕτως ὁ Ἀριστοτέλης λῦσαι τὴν ἀπορίαν. ὁ δὲ οὐ τοῦτο ποιεῖ, ἀλλὰ παρεὶς τοῦτο ζητεῖ, τί ὅλως ποιοῦντα τὰ οὐράνια σώματα θερμαίνουσιν ἡμᾶς· καί φησιν, ὅτι συγκινοῦντα τὸ ὑπέκκαυμα καὶ τὸν ἀπόγειον ἀέρα. ταῦτα οὖν κινούμενα θερμαίνονται, καὶ λοιπὸν θερμαίνουσιν ἡμᾶς· ὅτι δὲ συγκινεῖται ὁ ἀπόγειος ἀὴρ τῷ παντὶ δηλοῦσιν οἱ κομῆται τοῖς αὐτοῖς πλάνησι παρανατέλλοντες. εἰ δέ τις εἴπῃ καὶ ἐναλλαχὴν ἴσχουσι, ῥητέον, ὅτι ἐπειδὴ οὐ πάντως συνισχύει ἀκολουθεῖν τῷ παντὶ ὁ ἀπόγειος ἀήρ. εἰ δὲ καὶ ποτὲ μὲν φαίνεται μικρότερος ποτὲ δὲ μείζων, οὐκ ἄπορος ὁ λόγος· τοῦτο γὰρ συμβαίνει διὰ τὸ νέμεσθαι τὸν πυρωθέντα καὶ προεκφλογωθέντα *) ἀέρα τὴν παρακειμένην ὕλην· ποτὲ δὲ παὶ νοτιώτερος γίνεται, ἄλλοτε δὲ βορειότερος ὁ αὐτὸς κομήτης. ἀλλ' εἰ τοῦτ' οὕτως ἔχει καὶ τῇ τοῦ παντὸς κινήσει συγκινεῖται ὁ ἀπόγειος ἀήρ, τί δήποτε μὴ πᾶσαι αἱ σφαῖραι θερμαίνουσιν ἡμᾶς ἀλλὰ μόναι αἱ τοῦ ἡλίου; φαμὲν, ὅτι πᾶσαι μὲν θερμαίνουσι, πλὴν μᾶλλον ἡ τοῦ ἡλίου, ἐπειδὴ συμμέτρως τε κινεῖται καὶ ταχέως καὶ σύμμετρον ἡμῶν ἀφέστηκεν. ἡ γὰρ ἀπλανὴς εἰ καὶ ὀξύτατα πάνυ κινεῖται διὰ τὸ εἶναι ὅλων μείζω τὸν κύκλον, ἀλλ' οὖν ὅμως πολὺ ἡμῶν ἀφέστηκε καὶ διὰ τοῦτο οὐ θερμαίνει ἡμᾶς· ὁ δὲ τοῦ ἡλίου κύκλος μέσος ὢν συμμέτρως ἡμῶν ἀφίσταται, συμμέτρως ἔχει καὶ τάχους καὶ διὰ τοῦτο ἡμᾶς θερμαίνει· ἀλλ' ἴσως τις ἀπορεῖ καὶ τί δήποτε μὴ ἀντανίσωσις **), καὶ ὅπερ οὐ ποιεῖ ἡ ἀπλανὴς διὰ τὸ ἀπόστημα μὴ ποιεῖ διὰ τὸ τάχος; ἡ δὲ τῆς σελήνης***) οὐ ποιεῖ διὰ τὸ τάχος, διὰ τί τὸ προσεγγίζειν μὴ ποιεῖ; καί φησιν, ὅτι οὐδέποτε τὸ πόρρω ὂν κἂν ὀξέως κινῆται, θερμαίνει, οὐδὲ τὸ πλησίον, μὴ ὀξέως δὲ κινούμενον· πλὴν ὡς οἶμαι τοῦτο ἀποκληρώτικόν ἐστιν· ἀλλ' ἴσως τις ἀπορεῖ, εἰ διὰ τὴν ἡλιακὴν σφαῖραν γίνεται ἡ θερμασία, τί δή-

aliter, quam hoc modo de calore plantarum sentire solebant veteres. Cfr. quae disserui *Meteorol. veter.* XI, 54. p. 218 sq.

*) Verbum lexicis addatur.

**) Lexicis addatur.

***) Scr. ὅπερ οὐ ποιεῖ.

ποτε μὴ καὶ ἐν νυκτὶ ὁμοίως θερμαινόμεθα, ὥσπερ καὶ ἐν ἡμέρᾳ; πρὸς ὃν φαμεν, ὅτι οὐ μόνον ἡ ἡλιακὴ σφαῖρά ἐστιν αἰτία τῆς θερμότητος, ἀλλὰ καὶ αὐτὸς ὁ ἥλιος. αἱ γὰρ ἀκτῖνες αὐτοῦ ἀνακλώμεναι αἴτιαι γίνονται πολλῆς θερμασίας ἐν ἡμέρα, οὐχ ὡς ἄν τις δὲ ἂν οἰηθῇ αἱ ἀκτῖνες αὗται ἀνακλῶνται· πῶς γὰρ ἐνδέχεται ἀσωμάτους αὐτὰς οὔσας ἀνακλᾶσθαι; ἀλλὰ φωτίζουσι τὸν ἀέρα καὶ οὗτος ζωογονούμενος καὶ ὑπὲρ φύσιν κινούμενος ἀνακλᾶται, πλείονος ἔτι ζωῆς μεταλαβεῖν ἐφιέμενος· ἀνακλώμενος *) οὖν καὶ πολυειδῶς κινούμενος θερμαίνεται. ἄλλως δὲ οὐ γίνεται ἡ ἀνάκλασις, εἰ μὴ τὰ τρία ταῦτα συνδράμωσι λειότης τοῦ ὑποκειμένου σώματος, ἵνα μὴ περικλᾶται ἐν τοῖς κοιλώμασιν ὁ ἀήρ, πυκνότης, ἵνα μὴ διεξέρχηται ὁ ἀήρ, ἀλλὰ μὴν καὶ στενότης, ἵνα μεταξὺ ὁ ἀὴρ ἀπολαμβανόμενος, ἐφιέμενος οἷον ἑτέρου τινὸς ἡλιακοῦ φωτὸς ἀπὸ τῆς στιλπνότητος πολυειδῶς **) κινηθῇ. ἀλλ' ἴσως πάλιν ἀπορήσει τις, καὶ δι' ἣν αἰτίαν μὴ ὁμοίως ἐν θέρει καὶ ἐν χειμῶνι θερμαινόμεθα, ἢ ἔωθεν καὶ περὶ μεσημβρίαν. πρὸς ὃν ῥητέον, ὅτι τούτου αἴτιαι αἱ ἀκτῖνες, ἐν μὲν θέρει καὶ περὶ τὴν μεσημβρίαν ὀρθαὶ φερομέναι, ἐν χειμῶνι δὲ καὶ περὶ τὴν ἕω, λοξαί. δέδεικται δὲ ὅτι ὡς γίνεται οἱουδήποτέ τινος, οὕτω γίνεται ἡ ἀνάκλασις—***) αἱ δὲ ὀρθαὶ γωνίαι ὀλίγον ἀφεστήκασι τῶν λοξῶν, καὶ μᾶλλον ἐναπολαμβάνουσι τὸν ἀέρα· καὶ διὰ τοῦτο μᾶλλον ἐκθερμαίνεται ἐν θέρει ὁ ἀήρ· ἐν δὲ χειμῶνι διὰ τὸ λοξὰς γίνεσθαι τὰς ἀνακλάσεις οὐκ ἀπολαμβάνεται, ἀλλὰ χεῖται ὁ ἀήρ, καὶ διὰ τοῦτο οὐκ ἔστι πολλὴ θερμασία· ὅτι δὲ πρὸς τὰς ἀκτῖνας γίνεται καὶ ἡ ἀνάκλασις, πρόδηλον· καὶ γὰρ σφαῖραν εἰ ῥίψομεν, εἰ μὲν πρὸς ὀρθὴν γωνίαν ἐνεχθῇ κατὰ τῆς γῆς, πρὸς ὀρθὴν γωνίαν καὶ ἀφάλλεται, εἰ δὲ πρὸς λοξὴν λοξῶς ἀφάλλεται. ἔστι δὲ καὶ κατασκευάσαι αὐτὸ διὰ λόγου τοιούτου· εἰ ὑποκέοιτο ἔσοπτρον, εἴη δὲ καὶ λύχνος καὶ

*) Ald. ἀνακλάμενος.

**) Ald. πολυδῶς.

***) Lacunam agnovit Aldus. Verba, quae proxime interciderunt, fortasse haec sunt, τοῦ ἡλιακοῦ φωτός. Sed ne dubites, plura etiam deesse, monet apodosis.

ἐνεχθῇ πρὸς τὸ ἔσοπτρον, ἂν κατὰ κλάσιν δὲ ὑπομένῃ πρὸς τὸ αἰσθανόμενον, δείκνυται, ὅτι ἐκ τῶν δύο ἐνθειῶν γωνίαι ὀρθαί εἰσι, καὶ ὅτι πρὸς ὀρθὰς ἀνατείνονται γωνίας. εἰ γὰρ μή, ὑποκείσθω εἰς ἄλλο μέρος φέρεσθαι τοῦ ἐνόπτρου τὸ ἐκτύπωμα τὸ ἀπὸ τοῦ λύχνου, φέρεσθαι δὲ πρὸς τὸ αἰσθητήριον καὶ ποιεῖν μείζονας εὐθείας· δέδεικται δέ, ὅτι καὶ πρὸς τὰς ὀρθὰς γωνίας εὐθεῖαι πασῶν εἰσιν ἐλάττους. φιλεῖ δὲ ἡ φύσις τὸ σύντομον· διὰ τούτων ἄρα γίνεται ἡ ἀνάκλασις, ὥστε οὖν πρὸς ὀρθὰς γωνίας γίνονται αἱ ἀνακλάσεις· ἐπειδὴ οὖν καὶ ὁ ἥλιος αἴτιός ἐστι τῆς θερμασίας, διὰ τοῦτο μᾶλλον ἐν ἡμέρᾳ θερμαινόμεθα· ὁ μὲν οὖν Ἀλέξανδρος ἐνταῦθα γενόμενος ἔφη, ὅτι ἡ σελήνη διακονεῖ τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα μὴ θερμαινομένη· καὶ οὐκ ἄτοπον διακονεῖν αὐτὴν θερμασίαν μὴ θερμαινομένην· ἰδοὺ γὰρ καὶ ὁ κάλαμος διακονεῖ τὴν νάρκην τῇ χειρὶ τοῦ ἁλιέως μὴ ὑπομένων νάρκην, ἀναίσθητον γάρ· πλὴν ἡμεῖς μὴ οὕτως εἴπωμεν· οὐδὲ γὰρ ἡ σελήνη ὅλως διακονεῖ θερμότητα, εἰ γὰρ ὡς εἴρηται ἡ θερμότης ἐν αὐτῷ ἀέρι γίνεται· ὥσπερ οὖν ὁ κάλαμος οὐχ ἁπλῶς νάρκην διακονεῖ, οὐ γὰρ λέγεται νάρκη εἰ μὴ φθάσει παρ' αὐτὴν τὴν χεῖρα, οὕτως οὐδὲ θερμασίαν ἡ σελήνη διακονεῖ. οὐ γὰρ λέγεται θερμότης εἰ μὴ ἐν αὐτῷ τῷ ἀέρι. εἴρηνται οὖν δύο αἰτίαι τῆς γινομένης θερμότητος· λοιπὸν δὲ φέρει καὶ τρίτην αἰτίαν λέγων ὅτι τὸ ὑπέκκαυμα αἴτιον γίνεται τῆς θερμασίας. τῇ γὰρ βίᾳ μέρος αὐτοῦ ἀποσπινθηρίζει καὶ φέρεται κάτω· ἐφ' οἷς ὁ Ἀριστοτέλης ἀνατρέχει ἐπὶ τὰ ἐξ ἀρχῆς ζητῶν, εἰ τὰ οὐράνια σώματα θερμά ἐστι, καὶ δείκνυσι διὰ δύο ἐπιχειρημάτων, ὅτι οὐκ ἔστι θερμά· σαθρὰ δέ εἰσι καὶ τὰ δύο. ἔστι δὲ τὸ πρῶτον τοιοῦτον. εἰ θερμὰ ἦν τὰ οὐράνια σώματα, ἔδει μᾶλλον ἄνω γίνεσθαι τοὺς διϊττοντας καὶ μὴ ἐν τῷ περιγείῳ ἀέρι, εἶγε μᾶλλον ἐκεῖνα ἐκφεύγουσιν ὡς πύρεια. οὐ γίνονται δὲ ἐν τῇ ἀπλανεῖ, ὡς δηλοῖ *) τὸ σύντομον αὐτῶν τῆς κινήσεως, νομίζονται γὰρ τὸ ἡμισφαίριον σχεδὸν κεκινῆσθαι. οὐ γὰρ ἂν τῆς ἀπλανοῦς ὀξύτερον ἐκινοῦντο· ἀλλὰ ῥητέον πρὸς τοῦτο, ὅτι οὐ πάρεστιν ἡ ὑλικὴ αἰτία, ἥτις ὤφει-

*) Ald. δηλεῖ, quod videbatur monendum.

λεν ἐκφλογωθῆναι, καὶ διὰ τοῦτο οὐ συνίσταται ἐν τῇ ἀπλανεῖ. Δεύτερον ἐπιχείρημα. Εἰ θερμὸς ὁ ἥλιος, τί δήποτε μὴ ἐρυθρὸς ὁρᾶται, ἀλλὰ λευκός· φύσει γὰρ λευκός ἐστιν· εἰ γὰρ καὶ περὶ τὴν ἕω καὶ περὶ δυσμὸν ὁρᾶται ἐρυθρός, ἀπάτῃ ἡμῖν γίνεται διὰ τὴν ἀτμίδα πολλὴν οὖσαν· μίγνυσι γὰρ ἡ φαντασία καὶ ποιεῖ ἐρυθρόν, ὅπερ οὐκ ἐδέξατο τὰ πράγματα ὥσπερ καὶ ἡ ἀκοὴ κρᾶσιν ποιεῖ τῶν φθόγγων ἐν τῇ ἁρμονίᾳ τῶν φθόγγων μὴ κιρνωμένων· πλὴν καὶ τοῦτο σαθρόν· οὐ γὰρ ἀσφαλὲς ἀπὸ χρωμάτων ἐπιχειρεῖν· ἰδοὺ γὰρ καὶ τὰ ἄκρα ψυχρά· οἷον χιών, ψιμμίθιον *) καὶ τὰ ἄγαν καυστικά οἷον τίτανος, το αὐτὸ ἔχουσι χρῶμα· ἵνα οὖν μὴ τοιαῦτα περιάψωμεν ἄτοπα Ἀριστοτέλει μεταριθμίσωμεν τὴν λέξιν καὶ εἴπωμεν οὕτως· ὅτι ὁ ἥλιος εἰ ἦν θερμός, θερμότατος ἂν ἦν ὡς ἐκ τοιούτου διαστήματος καίων, καὶ εἰ τοῦτο ὀφείλει ἀνθρακώδης εἶναι. τὸ γὰρ ἄγαν καυστικὸν ἀνθρακῶδές ἐστιν οὐ τοῦ τόμου λέγοντος, ὅτι πᾶν ἀνθρακῶδες καυστικόν **). ἰδοὺ γὰρ ἡ σελήνη ἀνθρακώδης μὲν ἐστιν, οὐ καυστικὴ δέ. ἀλλ' ὅτι πᾶν καυστικὸν ἀνθρακῶδες. ἰδοὺ γὰρ καὶ ἐν πυρὶ τὸ ἀνθρακῶδές ἐστι τὸ μᾶλλον καυστικόν. διὰ φλογὸς γοῦν τὴν χεῖρα παράγομεν, αὐτοῦ μηδὲ τολμῶντες θιγγάνειν. ταῦτα ἔχει ἡ παροῦσα θεωρία· συγκαταπαύεται δὲ καὶ τὸ προοίμιον τῆς ὅλης πραγματείας. Olymp. fol. 7, b. — 8, b.

III, 21. Σημεῖον δὲ ἱκανόν, ὅτι ὁ ἄνω τόπος οὐκ ἐστὶ θερμός, οὐδ' ἐκπεπυρωμένος καὶ αἱ διαδρομαὶ τῶν ἀστέρων· ἐκεῖ μὲν γὰρ οὐ γίνονται, κάτω δέ. καίτοι τὰ μᾶλλον κινούμενα καὶ θᾶττον, ἐκπυροῦται θᾶττον ***)] Ἀστέρων διαδρομὰς λέγει, τοὺς καλουμένους διάττοντας ἐκ τοῦ διάττειν ὠνομασμένους, ἀπο-

*) Uno $\overline{\mu}$ efferendum videtur vocabulum in prosario scriptore, etsi ambigit Reisigius ad Xenoph. *Oeconom.* c. 10. p. 130. Cfr. Wesseling ad Diodor. Sicul. II, 33. Taylor ad Lys. p. 18. edit. Reisk. In codd. Aristotelicis ubique tamen duplici μ exhibetur.

**) Cfr. fol. 43, a: *οὐ τοῦ τόμου λέγοντος· ὅτι οὐδ' ὅλως.*

***) Vide Commentar. ad I, 4, 2.

χρώμενος τῇ τῶν πολλῶν περὶ τοὔνομα συνηθείᾳ· ὅτι μὲν οὖν οὔκ ἐστι πύρεια τὰ οὐράνια σώματα, σημείῳ νῦν χρῆται τῷ μὴ φαίνεσθαι διάττοντας ἐκεῖ γινομένους. καίτοι φασίν, εἴπερ ἦν ἐκ πυρός, ἐκεῖνα μᾶλλον ἐχρῆν ἐκεῖ τὰ πάθη γίνεσθαι, ταῦτα τῆς ὀξυτάτης αὐτῶν κινήσεως ἐκπυροῦν ἱκανῆς οὔσης τὰ παραπίπτοντα, εἴπερ τοιαύτης φύσεως ἦν τὰ κινούμενα. πρὸς ταῦτα δὲ λέγειν δυνατόν, ὅτι στερεά ἐστι πάντα ἐκεῖνα τὰ σώματα γῆς μετέχοντα, κατὰ Πλάτωνα τοῦ στερεμνιωτάτου τῶν στοιχείων. διὸ καὶ ἰδίῳ πάντα περιγράφεται σχήματι, καθὰ καὶ πρὸ τούτου δέδεικται. εἰ γὰρ καὶ πλεονάζει τὸ πῦρ ἐν αὐτοῖς, ὡς δοκεῖ Πλάτωνι, ἀλλὰ συμπεπίληται ὅλον διὰ τὴν σύνθεσιν, ὡς καὶ τὰ παρ' ἡμῖν ἐκ τῶν στοιχείων συγκείμενα· οὐδὲν γὰρ αὐτῶν ῥυτὴν ἔχει τὴν σύστασιν κἂν θερμότατα ᾖ, ὡς τὸ καστόριον καὶ τὸ εὐφόρβιον, πέπερί τε καὶ σίνηπι καὶ εἴ τι τοιοῦτον· διόπερ οὐδὲν αὐτῶν ἀποσπινθηρίζει, κἂν λίαν αὐτὰ κινήσειέ τις· τὸ δὲ ὑπέκκαυμα καὶ ὁ μετὰ τοῦτον ἀὴρ καὶ τὸ ὕδωρ οὐ συμπεπίληται μέν, εὐδιαιρετὰ δέ ἐστιν ἀπὸ τῆς τυχούσης αἰτίας σκεδαννύμενα, ὅθεν ἴδιον μὲν ὄρον οὐδὲ σχῆμα τούτων οὐδὲν ἔχει. τῷ περιέχοντι δὲ συσχηματίζονται, καὶ τὰ μόρια δὲ τούτων ἐν τῷ ὅλῳ τοὺς τόπους ἀμείβει τῆς τυχούσης αὐτῶν γινομένης κινήσεως. ὅθεν ἐκ τῆς παραπιπτούσης αἰτίας ὑπομένει τὰ εἰρημένα πάθη ψυχόμενα, θερμαινόμενα, πηγνύμενα, μέρη τινὰ ἑαυτῶν ἀποβάλλοντα καὶ τῶν γειτνιαζόντων μόρια προσλαμβάνοντα. οὐκ ἀναγκαῖον ἄρα πρὸς τὸ μὴ εἶναι πύρεια τὰ κατ' οὐρανὸν τὸ προκείμενον ἐπιχείρημα. σύνθετα γάρ ἐστι καὶ οὐχ ἁπλᾶ. ὅτι δὲ μὴ ἀστέρες εἰσὶν οἱ διατρέχοντες δῆλον μὲν τῷ καὶ σμικρὸν ἐπιστῆσαι τοῖς γινομένοις δυναμένῳ. οὐκ ἄχρηστον δ' ὅμως καὶ βραχέα ἡμᾶς εἰπεῖν. πρῶτον μὲν γὰρ ἀνεγράφησαν τοῖς ἀστρονόμοις οἱ ἐπιφανέστεροι τῶν ἀστέρων μέχρις ἐκ τοῦ μεγέθους *). καὶ οἱ αὐτοὶ ἀεὶ ἐν τοῖς αὐτοῖς εὑρίσκονται τόποις, ἀριθμόν τε τὸν αὐτὸν καὶ τάξιν φυλάττοντες μέγεθός τε καὶ χρῶμα καὶ

*) Adde post *μεγέθους*: ϛ'. Huius enim magnitudinis, si non omnes, multas tamen stellas notaverat Ptolemaeus. Unde bene Philop. *μέχρις ἐκ τοῦ μεγέθους.*

σχῆμα καὶ εἶτι ἄλλο περὶ αὐτοὺς τεθεώρηται· εἰ δὲ καὶ δοκοῦσιν ὡς ἀπό τινων ἀστέρων ἐξιόντες διαΐσσειν, ἀλλὰ πλάνη τοῦτο τῆς ὄψεώς ἐστιν. ὑποτρέχοντα γάρ τινας ἀστέρας καὶ τὰ καθ' ἕτερον εὑρισκόμενα τούτων τὰ ἐκπυρούμενα μέρη τοῦ ὑπεκκαύματος, ἐπειδὰν αἰφνίδιον ἐκφλογωθῇ καὶ διαδράμῃ, δόκησιν τοῖς πολλοῖς παρέχεται τοῦ ἐξ ἐκείνου τοῦ ἀστέρος, ᾧ κατὰ κάθετον ἦσαν, διαδραμιεῖν· κατανοήσας οὖν μετὰ τὴν διαδρομὴν ὄψει μηδὲν ἐν τῷ ἀέρι πάθος γενόμενον, ἀλλὰ καὶ περὶ ἡμᾶς ὄντα κάτω τὸν διάττοντα, καθὰ καὶ ταῖς ὄψεσιν ἡμῶν ὑποπίπτει, ὡς καὶ ἡ τοῦ τάχους αὐτῶν ὀξυτέρα κινεῖσθαι τῆς ἁπλανοῦς. κάτω γὰρ περὶ ἡμᾶς ὄντες καὶ ἐκ μικροῦ κινούμενοι διαστήματος, θᾶττον ἡμᾶς διαλλάττουσι. καὶ γὰρ εἰ δύο πτηνὰ φέροιντο, τὸ μὲν ὑψηλότατον οἷον ἀετός, τὸ δὲ χθαμαλώτατον, οἷον κολοιὸς ἢ κορώνη, ὧν τὸ μὲν ὀξυτάτην ἔχει τὴν κίνησιν τὸ δὲ βραδυτάτην, τὸ κατώτερον θᾶττον τοῦ ἄνω κινεῖσθαι παρέξει ὑπόνοιαν, ὡς ἐπὶ περιφερείας ἐλάττονος κινούμενον. Philop. fol. 86, b sq.

Πρὸς δὲ τούτοις ὁ ἥλιος ὅπερ*) δοκεῖ μάλιστα εἶναι θερμός, φαίνεται λευκός, ἀλλ' οὐ πυρώδης ὤν] Ἔοικε διὰ τούτων ταῖς χροιαῖς τὰς τῶν σωμάτων κράσεις τεκμαίρεσθαι, ὅπερ οὐκ ἔστιν ἀληθές· ἰδοὺ γὰρ ἐρυθρόν ἐστι τὸ αἷμα καὶ τὸ ῥόδον ὁμοίως· ἀλλὰ τὸ μὲν ἐστὶ θερμόν, τὸ δὲ ψυχρόν· πάλιν τὸ γάλα λευκόν ἐστι καὶ τὸ ψιμμύθιον· ἀλλὰ καὶ οἶνός ἐστι λευκὸς καὶ τῶν πράσσων**) αἱ κεφαλαί, σκοροδά τέ τινα καὶ κρόμμυα· ἀλλὰ τὰ μέν ἐστι ψυχρά, τὰ δὲ θερμά. πέπερι μέλαν ἐστὶ καὶ ἴον ὁμοίως, ἀλλὰ τὸ μέν ἐστι θερμόν, τὸ δὲ ψυχρόν· ἀλλ' οὐδὲ λευκὸς ὁ ἥλιος φαίνεται, οἷόν ἐστι τὸ τῶν πολλῶν ἀστέρων χρῶμα, ξανθὸς γὰρ ὁρᾶται προδήλως, οἷον τὸ τῆς φλογὸς τῆς ἀπὸ ξηρᾶς ὕλης καὶ λεπτομεροῦς γινόμενον, ἀλλ' οὐ χροιᾷ λευκὸς ἦν· τοῦτο τεκμήριόν ἐστι τοῦ μὴ εἶναι πυρός***). πρὸς γὰρ τὴν

*) Ita enim Aldus.

**) Occurritne haec scriptura etiam alibi in prosario, quamvis recentioris aetatis scriptore pro πράσων?

***) Verbis ἀλλ' οὐ ..... πυρός mederi nescio.

ποιᾶν ὕλην τὸ χρῶμα τοῦ πυρὸς ἐξαλλάττεται. καὶ γὰρ οἱ διάττοντες καὶ οἱ κεραυνοὶ λευκοί εἰσιν οἷόν ἐστι τῶν ἀστέρων τὸ χρῶμα, διὸ καὶ ἀστέρες ὀνομάζονται, καὶ ὁ ποιητὴς ἀργῆτα κεραυνὸν ἔγνωκεν *). ὁμοίως δὲ καὶ οἱ κομῆται λευκοί εἰσι καὶ ὅμως πῦρ εἰσι προφανῶς. καὶ αὐτὸς δὲ ὁ ἥλιος περὶ τὸν ὁρίζοντα ξανθότερος φαίνεται, ἔσθ' ὅτε δὲ καὶ ἐρυθρός **). οὐκ ἀναγκαῖος ἄρα οὐδ' ἀπὸ τοῦ χρώματος λόγος τοῦ μὴ πυρὸς εἶναι τὸν ἥλιον ***). Philopon. fol. 87, a.

---

*) Hom. *Iliad.* Θ', 133. cfr. Aristophan. *Av.* 1747. Aristot. *Meteorol.* III, 1. Ineptus est auctor *de mundo* IV, 18, qui a vocabulo ἀργός *celer* derivet nomen ἀργής, cum dicat ἀργῆτας esse τοὺς ταχέως διάττοντας.

**) Res in vulgus trita: sed nota narrationem Agatharchidae apud Diodorum Siculum III, 48. p. 216, quam commentatus sum *Meteorol. vet. Gr. et Roman.* IX, 43 p. 184. not. 16. Leguntur ibi haec de India: τὸν δὲ ἥλιον οὐχ ὥσπερ παρ' ἡμῖν βραχὺ πρὸ τῆς ἰδίας ἀνατολῆς προαποστέλλειν τὸ φῶς, ἀλλ' ἔτι νυκτὸς οὔσης σκοταίου παραδόξως ἄφνω φανέντα ἐκλάμπειν. διὸ καὶ μηδέποτ' ἡμέραν ἐν ἐκείνοις τοῖς τόποις γίνεσθαι, πρὶν ὁραθῆναι τὸν ἥλιον. ἐκ μέσου δὲ τοῦ πελάγους φασὶν ἀναφαινόμενον αὐτὸν ὁρᾶσθαι μὲν ἄνθρακι παραπλήσιον τῷ πυρωδεστάτῳ, σπινθῆρας δ' ἀφ' ἑαυτοῦ μεγάλας ἀπορρίπτειν. Καὶ τῷ τύπῳ μὴ κωνοειδῆ φαίνεσθαι, καθάπερ ἡμεῖς δοξάζομεν, ἀλλὰ κιόνι τὸν τύπον ἔχειν ἐμφερῆ, μικρὸν ἐμβριθεστέραν ἔχοντι τὴν ἀπὸ τῆς κεφαλῆς ἐπιφάνειαν. πρὸς δὲ τούτοις μήτ' αὐγὴν ποιεῖν, μήτ' ἀκτῖνας βάλλειν ἄχρι πρώτης ὥρας, φαινομένου πυρὸς ἀλαμποῦς ἐν σκότει. δευτέρας δ' ἀρχομένης ἀσπιδοειδῆ γίνεσθαι, καὶ τὸ φῶς βάλλειν ἀπότομον καὶ πυρῶδες καθ' ὑπερβολήν· κατὰ δὲ τὴν δύσιν ἐναντία γίνεσθαι συμπτώματα περὶ αὐτόν. δοκεῖν γὰρ τοῖς ὄρεσι καιναῖς ἀκτῖσι φωτίζειν τὸν κόσμον, οὐκ ἔλαττον ὠρῶν δυοῖν. Aliam Artemidori de sole oriente et occidente fabulam refutavit Posidonius apud Strabonem III p. 202 B sqq. quem vide. Adde narrationem Ctesiae de India apud Phot. *Bibliothec.* p. 67: ὅτι ἀλέα πολλὴ καὶ ὅτι ὁ ἥλιος δεκαπλασίων τὸ μέγεθος ἢ ἐν ταῖς ἄλλαις χώραις αὐτὸς ἑαυτοῦ φαίνεται.

***) Deinde sequitur ad paginam usque 88, b refutatio Alexandri, quem non vocat Aphrodisiensem, qua in re verba eius ipsa adlegat ex commentario, quem hodie adhuc habemus, ubi ex-

Ταχεῖάν τε μὲν γὰρ δεῖ καὶ μὴ πόρρω εἶναι] *Ὡς τινος ἀποροῦντος καὶ διὰ τί ἡ τοῦ ἡλίου σφαῖρα μᾶλλον θερμαίνει, τούτου χάριν ἐπήγαγεν, ἐπειδὴ καὶ ταχέως κινεῖται καὶ οὐ πάνυ ἡμῶν ἀφέστηκε πλὴν καλῶς εἰρήκαμεν ἡλίου σφαῖραν καὶ οὐκ αὐτὸν τὸν ἥλιον. ἡ γὰρ σφαῖρα αὐτοῦ, τῆς σφαῖρας τῆς σελήνης ταχυτέρα ἐστίν. αὕτη δὲ ἡ σελήνη τοῦ ἡλίου αὐτοῦ ὀξυτέρα ἐστί. καὶ ὅτι τοῦτο ἀληθὲς δῆλον. συνόδου γὰρ γινομένης ἡλίου καὶ σελήνης ἐν κριῷ *), ὁ μὲν ἥλιος ἐπιβήσεται τῆς δευτέρας μοίρας τῇ πρώτῃ ἡμέρᾳ μίαν μόνον κινηθήσεται μοῖραν, ἡ δὲ σελήνη δώδεκα. τῇ δευτέρᾳ ἡμέρᾳ ὁ μὲν ἥλιος ἐπιβήσεται τῆς δευτέρας μοίρας, ἡ δὲ σελήνη τῆς δεκάτης τρίτης. καὶ ἐπειδὴ αἱ δύο μοῖραι ὡς δέδεικται τοῦ κριοῦ πρὸς τῆς ιγ ἀνατέλλουσιν, εὑρεθήσεται ὁ ἥλιος πρὸ τῆς σελήνης ἀνατέλλων. ᾧ δῆλον, ὅτι ταχυτέραν τὴν ἰδίαν κίνησιν ἡ σελήνη ποιεῖ.* Olymp. fol. 8, b.

III, 21. *Τὸ ἀπορούμενον, πῶς τοῦ ἡλίου ἡ κίνησις ἐκπυροῖ τε καὶ θερμαίνει τὸν ἀέρα τὸν οὐχ ἁπτόμενον αὐτοῦ, εἴγε ἡ σφαῖρα ἐν ᾗ ἡ σελήνη ὑπὸ τὴν τοῦ ἡλίου σφαῖράν ἐστι **), μέση τὴν θέσιν οὖσα τῆς τε ἡλιακῆς σφαίρας καὶ τοῦ παθητοῦ σώματος, οὖσα καὶ αὐτὴ ἀπαθὴς (γίνεται γὰρ ὁ ἥλιος καὶ ἡ ***) τοῦδε κίνησις οὐ τοῦ ὑπὸ τὴν σελήνην ἁπτομένη σώματος, ἀλλὰ τοῦ ἀπαθοῦς), τοῦτο δὴ παραμυθίας τυγχάνοι ἂν τῆσδε. ὅτι πολλὰ καὶ τῶν παθητῶν σωμάτων πολλάκις οὐδὲν αὐτὰ πάσχοντα, οὐδὲν ἐμποδίζει τοῦ ἄλλα τινὰ πάσχειν δι' αὐτῶν· οὐ γὰρ πᾶν τὸ παθητὸν ὑπὸ παντὸς ποιητικοῦ παθητόν, ἄλλα γὰρ ὑπ' ἄλλων πάσχειν πέφυκε. τὰ γοῦν ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος ἐξαπτόμενα διὰ τῶν ὑάλων*

---

stant fol. 76, a. Ut chartis parcetur verba Philoponi huc pertinentia, quae nihil fere alicuius momenti continent, non adscripsi.

*) Asteriscum praefixit Aldus.

**) Quod alii negaverunt, solem supra lunam esse statuentes. Omnino de ordine planetarum multum inter veteres disceptatum est. Cfr. Bake ad Cleomed. *Meteor.* I, 3. p. 307.

***) Ald. ὁ.

ἀγγείων ὕδατος ψυχροῦ πεπληρουμένων *), αὐτὰ μὲν πάσχει, εἴγε ἐξάπτεται. οὐ μὴν πάσχει τι καὶ θερμαίνεται καὶ τὸ ἐν τῷ ἀγγείῳ ὕδωρ. εἰ δὲ καὶ πάσχει, ἀλλ' οὐχ ὥστε καὶ ἐξάπτεσθαι. ἀλλὰ καὶ οἱ σαγηνευταὶ γνωρίζειν φασίν, ὅταν ἔχωσιν ἐν τῇ σαγήνῃ νάρκην **), τῶν ναρκῶν αὐτῶν τὰς χεῖρας, αἷς σύρουσι τὰ καλώδια. οὐ δήπου καὶ τῶν καλωδίων τοῦτο τὸ πάθος ὑπὸ τῆς νάρκης προπασχόντων. εἰ δὲ ταῦτα τὰ σώματα, ὧν μὴ πάσχει παθῶν, τούτων τοῖς μετ' αὐτὰ διάκονα γίνεται, τί θαυμαστόν, εἰ καὶ τὸ τῆς σεληνιακῆς σφαίρας σῶμα μηδὲν ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως πάσχον, τῷ πάσχειν ὑπ' αὐτῆς πεφυκότι σώματι διαδίδωσι τὸ ἀπ' αὐτῆς ἐν αὐτῷ γίνεσθαι πεφυκὸς πάθος. ἴσως δέ, οὐδὲ πάντη ἀπαθὲς τὸ θεῖον σῶμα. οὔτε γὰρ ἐν τῷ πρώτῳ περὶ οὐρανοῦ ἀπέδειξεν ἀναλλοίωτον, καίτοι προθέμενος, ἀλλ' ἀγέννητον μὲν αὐτὸ καὶ ἄφθαρτον ἔδειξεν. ὁμοίως καὶ ἄναυξες, ἀναλλοίωτον δὲ οὐκέθ' ὁμοίως ἀπέδειξεν. ὡς καὶ ἐν τῷ εἰς αὐτὸ ὑπομνήματι ἐπεσημηνάμεθα***), ἔθος τι †) αὐτῷ λέγειν τὸ θεῖον σῶμα οὐχ' ἁπλῶς ἀπαθές. ἀλλὰ προστιθέναι τὸ πάσης θνητῆς δυσχερείας. τῶν γὰρ τοιούτων πάθων ἀπαθές. ἔστι δὲ ταῦτα τὰ πάθη κατὰ τὴν κατ' εἶδος μεταβολὴν γινόμενα, ἧς μεταβολῆς καὶ πάθους ἀνεπίδεκτα τὰ θεῖα. οὐ μὴν διὰ τοῦτο καὶ παντὸς πάθους. ἥ τε γὰρ κίνησις πάθος τι, ἧς οὐκ ἀνεπίδεκτα. ἀλλὰ καὶ εἰ τό,

*) πεπληρομένων Ald.

**) Ἡ δὲ νάρκη φανερά ἐστι καὶ τοὺς ἀνθρώπους ποιοῦσα ναρκᾶν. Aristot. *Hist. animal.* IX, 25, 2. p. 449. ed. Schneider. Obiter monendum iam olim *Raiam Torpedinem* esse applicatam in medendis doloribus rheumaticis, imprimis podagra sananda. Cfr. Scribon. Largum c. 38. p. 84 ed. Bernhold. Pro ναρκῶν deinde scribendum est fortasse ναρκώντων.

***) Noster igitur Alexander commentarios in libros *de coelo* conscripserat, ut etiam Aphrodisiensis Alexander, saepenumero a Simplicio laudatus. cfr. Fabric. *Bibl. gr.* Vol. III. p. 230. ed. Harl.

†) τε quod praebet Aldus aut prorsus delendum, quod ille non mirabitur, cui non ignotum, quoties a scribis inepte sit additum, aut in τι mutandum, sicuti fecimus.

φῶς λαμβάνειν ἀλλότριον πάσχειν τί ἐστι, η σελήνη εἰη ἂν πάσχουσά τι ἀπὸ τοῦ ἡλίου, εἴγε παρ' ἐκείνου τὸ φῶς αὐτῇ. οὐδὲν οὖν ἄτοπον καὶ ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως πάσχον τι τὸ γειτνιῶν αὐτῷ τοῦ θείου σώματος, οὐ μὴν οὕτω πάσχον ὥστε ἐκπυροῦσθαι, διακονεῖσθαι διὰ τούτου τὸ πάθος τῷ ὑπ' αὐτὸ σώματι, ὡς θερμαίνεσθαί τε αὐτὸ ὑπ' αὐτῆς καὶ ἐκπυροῦσθαι. ἄλλως τε ἐπεὶ καὶ ἧττον ἤδη τὸ σῶμα τοῦτο εἰλικρινές τε καὶ καθαρόν, ὡς πρὸ ὀλίγου εἴρηκε δι' ὧν εἶπε τὸ μὲν γὰρ ἄνω καὶ μέχρι σελήνης, ἕτερον εἶναι σῶμά φαμεν πυρός τε καὶ ἀέρος. οὐ μὴν ἀλλ' ἐν αὐτῷ γε τὸ μὲν καθαρώτερον εἶναι, τὸ δ' ἧττον εἰλικρινὲς καὶ διαφορὰς ἔχειν. καὶ μάλιστα ἡ καταλήγει πρὸς τὸν ἀέρα καὶ πρὸς τὸν περὶ τὴν γῆν κόσμον*). Ἐπεζήτησα, πῶς εἰ ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως ἡ θερμότης ἡ ἐνταῦθα γίνεται, οὐχ ὁμοίως ἐστὶν ἡ θερμότης τοῦ ἐν ταῖς σκιαῖς ἀέρος, ὁμοίως τῷ ἀνεπισκιάστῳ ὑπὸ τὴν τοῦ ἡλίου κίνησιν ὄντος, ἢ ἐπεὶ ἄλλος ἐξ ἄλλου θερμαίνεται τῇ συνεχείᾳ τε καὶ τῇ ἁφῇ τὸ ἐπισκοτῆσαν ἅμα καὶ τὴν συνέχειάν τε καὶ ἁφὴν ἐνεπόδισε τὴν κατὰ τοῦτο τοῦ θερμαίνοντος ἀέρος, οὐκέτι δὲ ὁ ἐπεσκοτημένος ὁμοίως ἅπτεται, μὴ ἁπτόμενος δέ, οὐδὲ ὁμοίως θερμός ἐστι. Alexander fol. 75, b — 76, a.

IV, 1. Τούτων δὲ διωρισμένων, λέγωμεν διὰ ποίαν αἰτίαν αἵ τε φλόγες καιόμεναι φαίνονται**)] Ἐπειδὴ τὰ κοινὰ τῶν εἰρημένων μεμαθήκαμεν, φλογῶν φημὶ καὶ δαλῶν καὶ αἰγῶν καὶ διαττόντων, ζητήσωμεν αὐτῶν καὶ διαφοράν. ἐκφλογούμενον τὸ ὑπέκκαυμα ἢ κατὰ συνέχειαν ἐκφλογοῦται, ἢ διεσπαρμένως. καὶ εἰ κατὰ συνέχειαν ἐξαφθῇ, καὶ κατὰ μῆκος μόνον γίνεται. καὶ εἰ τοῦτο, ἢ οἱονεὶ ἀποσπινθηρίζει, καὶ γίνονται αἱ αἶγες διὰ τὸ ἐοικέναι τοὺς ἀποσπινθηρισμοὺς τῶν αἰγῶν τοῖς ἐκκρεμέσι μαλοῖς, ἢ οὐκ ἀποσπινθηρίζει, καὶ γίνονται δαλοί. εἰ δὲ διεσπαρμένη***) εἴη ἡ ἔκκαυσις,

*) I, 3, 12.

**) Ita Aldus. Verba, quae exscripsi sunt ex *πράξει* ε.

***) Ald. *ἐσπαρμένη* absorpta praepositione ab antegressa particula *δέ*.

γίνονται οἱ διάττοντες. οὐχ ὅτι δὲ ἔλλειψις γίνεται πυρός, λέγομεν διεσπάρθαι, ἀλλ' ἐπειδὴ οὐ διόλου ἐστὶν ἡ καπνώδης ἀναθυμίασις, ἀλλὰ διεσπαρμένη. διάδοσις οὖν γίνεται ἐν τῷ μεταξύ, διὰ τὸ λεπτομερὲς δὲ οὐ διαφαίνεται, καὶ δίκην τοῦ ἐσβεννυμένου πυρὸς καὶ ἀπτομένου ἐκ τῆς ὑποκειμένης φλογός. ἡ γὰρ ἐν τῷ μεταξὺ δίοδος τοῦ φλογὸς οὐ φαίνεται διὰ τὸ λεπτομερές. ἀλλὰ τότε μόνον ἡνίκα, φθάσει περὶ τὴν θρυαλλίδα ὡς ἐπὶ τῆς ἐσβεσμένης*) λύχνου. οὕτως οὖν καὶ ἐνταῦθα. ἔστι δὲ καὶ ἕτερος τρόπος τῆς γενέσεως τῶν διαττόντων. γίνεται γὰρ διάττων καὶ ὑπὸ ψύξεως καὶ οὐδὲν ἄτοπον**). καὶ γὰρ τὸ θερμὸν αἴτιον γίνεται ψύξεως καὶ ψυχρὸν αἴτιον τῆς θερμασίας. οὕτως ἐν χειμῶνι ἀμείνους αἱ πέψεις καὶ φρεάτια ὕδατα θερμὰ διὰ τὴν ἀντιπερίστασιν***). ἰδοὺ οὖν ἡ ψύξις ποιεῖ θερμασίαν. ἀλλὰ μὴν καὶ τοὐναντίον ἐν Αἰγύπτῳ τῇ οὕτω θερμοτάτῃ ψυχρὸς οἶνος ὁ Κνίδιος καλούμενος διὰ τὴν ἀντιπερίστασιν †). τοῦτο δὲ γίνεται, ἵνα ἀεὶ τὸ πᾶν μετέχῃ καὶ θερμασίας καὶ ψύξεως. πῶς δ' ἄρα γίνονται καὶ συναναφέρονται δύο ἀναθυμιάσεις ἀλλήλαις οὐ κατὰ κρᾶσιν συνημ-

*) Ald. ἐσβεσμένον.

**) Poterat in usum suum convertere notissimam istam observationem, stellas discurrentes potissimum hieme, saeviente frigore, cerni. — De lege, quam deinde proponit, ope frigoris effici calorem et vice versa cfr. Comment. ad I, 12. — Observationibus niti videtur tota ista theoria, veluti illis, quae ad calorem latentem spectant.

***) ἀντιπαράστασιν Aldus. At etiam mox de re cfr. Hippocrat. *de aëre, aq. et locis* §. 36. *de nat. pueror.* Opp. Sect. III. p. 25. 3. Oenopidem apud Diodor. Sicul. I, 41. Tom. I. p. 50. Macrob. *Saturnal.* VII, 8. p. 425. Explicanda est ex constanti fontium temperatura, quae fere cum media aëris annua congruit.

†) Cfr. Alexandr. Aphrodis. *Problem.* I, 57. fol. 9, b. ed. Ald. 1497 (Arist. et Theophr. vol. IV) διὰ τί ἐν τῇ Αἰγύπτῳ θερμοτάτῃ οὔσῃ τίκτεται ψυχρὸς οἶνος; διὰ τὸν αὐτὸν λόγον. (scilicet propter eandem rationem ob quam putealis aqua hieme calida, aestate frigida videtur) πάλιν γὰρ περὶ τὰς ῥίζας φεύγει τῶν ἀμπέλων καὶ ψύχει αὐτὰς ὡς εὐπαθεῖς μᾶλλον τῶν ἄλλων φυτῶν.

μέναι; οὐ γὰρ ἂν πάλιν διίσταντο, ἀλλὰ κατὰ παράθεσιν. εἰ μὲν οὖν ἰσοτενεῖς ὦσιν, ἑκατέρα εἰς τὴν οἰκείαν ὁλότητα φέρει τὴν ἑτέραν. πολλάκις οὖν ἐπικρατεστέρα ἐστὶν ἡ ἀτμιδώδης καὶ βίᾳ φέρει τὴν καπνώδη ἐν τῇ οἰκείᾳ ὁλότητι, τουτέστιν ἐν τῷ ἀπογείῳ ἀέρι. καὶ ἐπειδὴ οὗτος ψυχρότερός ἐστι τοῦ περιγείου ὡς εἴρηται καὶ ἀνωτέρω πυκνοῖ τὴν ἀτμίδα καὶ τῇ πυκνώσει ἐκπυρηνίζεται ἡ καπνώδης βίᾳ ἐν αὐτῇ οὖσα. καὶ φέρεται ἀκοντιζομένη ἔξω καὶ ποιεῖ τὸν διάττοντα. ἀνάλογον δὲ γίνεται ἡ ἐκπυρήνισις τῇ ἐκθλίψει τῶν πυρήνων τῶν ἀπὸ δακτύλων ἀποπιεζομένων. διαφέρει δὲ ὁ πρῶτος διάττων τοῦ δευτέρου διάττοντος τέτρασι διαφοραῖς· τῇ ποιητικῇ αἰτίᾳ· ὁ μὲν γὰρ πρῶτος διάττων διεσκορπισμένην εἶχε τὴν ἕλξιν, καὶ διάφορον ἄλλοτε ἄλλης ὕλης καιομένης, ὁ δέ γε δεύτερος μίαν ἔχει τὴν αὐτὴν ἔκκαυσιν ἐπιπολὺ ἐκπεμπομένην· πρώτῃ διαφορᾷ ἐπὶ μὲν τοῦ πρώτου διάττοντος ἡ κίνησις ἐφεξῆς ἐγένετο πρὸς τὴν ὕλην. ἐπὶ δὲ τοῦ δευτέρου λοξὴ γίνεται κίνησις. δι' ἣν αἰτίαν ἐπειδὴ πᾶν τὸ ἐκπυρηνιζόμενον ἐπὶ τὰ κάτω ἐκθλίβεται, φύσει δὲ ἔχει τὸ πῦρ τῆν ἄνω φορὰν διώκειν, τῆς μὲν ἐκθλίψεως ἐπὶ τὰ κάτω βιαζομένης φέρεσθαι, τῆς δὲ φύσεως ἐπὶ τὰ ἄνω ἀναγκαζούσης οἷον μίξις τις γίνεται καὶ λοξὴ κίνησις ἕπεται.*) τετάρτῃ ὁ μὲν πρῶτος διάττων ἐν τῷ ἀπογείῳ ἀέρι φέρεται, ὁ δὲ δεύτερος ἐν τῷ περιγείῳ. μὴ δὲ ἐπειδὴ εἴπομεν τῷ περιγείῳ τὶς νομίσῃ, ὅτι ἄνω περὶ τὰς σφαίρας γίνονται. οὐ γὰρ τοῦτο ἀληθὲς ὡς δηλοῖ ἡ ταχύτης αὐτῶν τοσοῦτον νομίζειν κινεῖσθαι τῆς ἀπλανοῦς. ἐπειδὴ ὀλίγον ἡμῶν ἀφέστηκε. δέδεικται δὲ δι' ὀπτικοῦ λόγου, ὅτι τὰ πλησίον ὄντα τῶν πόρρω ἀφεστηκότων, κἂν ἀργότερον**) κινοῦνται, δοκοῦσι ὅμως ὀξύτερον κινεῖσθαι. δι' ἣν ἄρα αἰτίαν εἴρηται ὡς ἀπὸ μιᾶς κορυφῆς ἐκπεμπόμεναι τυχὸν αἱ ἀκτῖνες τῆς ὄψεως πόρρω προκόπτουσαι δίστανται ἀπ' ἀλλήλων. τὰ οὖν πλησίον ὄντα ὡς ἄτε μὴ πολὺ ἀφιστάμενα ἀλλήλων ἀκριβῶς γινώσκουσι.

---

*) Lacuna hic est, deest enim tertia, quam afferre voluit causa. An pro τετάρτῃ (ita enim correxi; Ald. τετάρτη) scribendum videtur τρίτῃ? Verba haec numeralia saepenumero confusa sunt.

**) Ald. ἀργώτερον.

τὰ δὲ πόρρω πάνυ ὄντα ἐπειδὴ λοιπὸν οἱονεὶ εἰς ἀχανίαν τινὰ λήγουσιν, οὐ κατὰ λόγον περιλαμβάνουσι. καὶ διὰ τοῦτο οὐκ ἀκριβῶς ἀντιλαμβάνονται, πλὴν τὸ ὀπτικὸν θεώρημα ἀκριβέστερον εὑρήσεις ἐν τῷ περὶ ὄψεως *). Olympiodor. fol. 9, a. 9, b.

IV, 2. *Τὴν ἀναθυμίασιν ἀναγκαῖον ..... διπλῆν*] Αἰνίττεται δὲ εἰς Πλάτωνα. οὗτος γὰρ οὐκ ἔλεγεν εἶναι τὴν καπνώδη ἀναθυμίασιν. ἐπειδή φησιν ἐκ τῆς γῆς οὐδὲν ἐκδίδοται. δόγμα γὰρ αὐτοῦ ἐστιν ἐν Τιμαίῳ λεγόμενον, ὅτι πάντα μὲν τὰ στοιχεῖα εἰς γῆν μεταβάλλουσι, γῆ δὲ εἰς οὐδὲν τῶν στοιχείων. εὐλόγως οὖν ἔλεγεν οὐδὲν ἐκδίδοσθαι ἐξ αὐτῆς μόνης. καὶ ὅτι φησὶ τοῦτο ἀληθές, δηλοῖ τὸ μὴ καίεσθαι τὴν τέφραν κυρίως γῆν οὖσαν **). πλὴν τούτῳ τῷ λόγῳ πολλὰ ἔπονται ἄτοπα. πρῶτον γὰρ ἔδει τὴν γῆν ἐκ πολλοῦ ἄπειρον εἶναι πάντα μὲν ὑποδεχομένην, μηδὲν δὲ ἀπολύουσαν. καὶ ἄλλα δὲ πολλὰ ἅπερ οὐ πρόκειται νῦν ζητεῖν. ὃ οὖν φησι τοιοῦτόν ἐστιν. ὅτι οὐχ ἁπλῆ ἀναθυμίασις, ἀλλὰ διπλῆ· ἡ μὲν καπνώδης, ἡ δ' ἀτμιδώδης. καὶ ἰδοὺ ὅπερ προαναφωνοῦμεν, ὅτι προσεχῆ στοιχεῖα ὕστερον ἐρεῖ, νῦν σαφῶς παραδίδωσιν. Olympi fol. 9, b.

IV, 6. *Περὶ τῆς τῶν διαττόντων ἐν τούτοις ὁ λόγος γενέσεως· τὴν μὲν οὖν ὑλικὴν αἰτίαν αὐτῶν νῦν ἀπήγγειλεν, ὡς δεῖ τὴν ἀναθυμίασιν, ἐξ ἧς γίνονται, μὴ εἶναι συνεχῆ, ἀλλὰ κατὰ μικρὰ διεσπαρμένην* ***) *κατὰ μῆκος καὶ πλάτος καὶ βάθος. τουτέστι κατὰ πᾶσαν τοῦ τόπου διάστασιν, ἐν ᾧ γίνον-*

*) Duo περὶ ὄψεως libros ab Aristotele profectos recenset Anonymus Menagii: idemque consentiens cum Diogene Laërtio V, 26 librum unicum inscriptum Ὀπτικόν, quem a se lectum indicat Andreas Bellunensis, Avicennae interpres, teste Nunnesio apud Fabricium *Bibl. gr.* III, 6. Vol. III, p. 399. ed. Harles. Quatuor περὶ ὄψεως libros conscripsit Theophrastus, auctore eodem Diogene V, 49 et Chalcidio in Platon. *Tim.* p. 361.

**) Cfr. Comment. ad h. l. 1, 4, 2. et Philopon. ad I, 3, 21.

***) Ald. διεσπασμένην.

ται. τὸν δὲ τρόπον τῆς γενέσεως αὐτὸν εἶναί φησι διττόν, τὸν μὲν κατὰ ἔκκαυσιν τῆς τοιαύτης ὕλης, ἐκ τῆς περιφορᾶς δηλονότι τῶν οὐρανίων γινομένην, τὸν δὲ κατ' ἔκθλιψιν αὐτῆς καὶ ἐκπυρήνησιν *) οἱονεὶ ῥιπτομένης. Ἵνα δὲ σαφῆ τὰ λεγόμενα γένοιτο, θεωρητέον οὕτω τὸ συμβαῖνον. ἀνάγκη τὴν ξηρὰν ἀναθυμίασιν κάτωθεν ἄνω φερομένην, ἢ μέχρι τῆς ἰδίας ὁλότητος λέγω τοῦ ὑπεκκαύματος ἀφικνεῖσθαι (τοῦτο γὰρ αὐτῆ τῆς κινήσεως πέρας), ἢ κατωτέρω μένειν κωλυομένην εἰς τὸ πρόσω χωρεῖν, ψυχροῦ καὶ διὰ τοῦτο πεπυκνωμένου προϋπαντῶντος ἀέρος καὶ δίοδον αὐτῇ μηδεμίαν ἐπὶ τὸ ἀνωτέρω παρέχοντος. ἡ μὲν οὖν μέχρι τοῦ ὑπεκκαύματος φερομένη καὶ κατὰ μικρὰ διεσπασμένη καθάπερ Ἀριστοτέλης ὑπέθετο τοὺς κατ' ἔκκαυσιν ποιεῖ διάττοντας, οὐδέποτε δὲ τοὺς κατ' ἔκθλιψιν· μανότερον γὰρ αὐτῆς ἐστι τὸ ὑπέκκαυμα. διόπερ οὐδὲν ἐκεῖ παρὰ φύσιν συνέχεται ὑπ' αὐτοῖς, ὡς διὰ τὴν θλῖψιν ἐκπυρηνίζεσθαι. ἡ δὲ κάτω καὶ ἐν τῷ ἀέρι, διὰ τὴν εἰρημένην αἰτίαν ὑπομένουσα τοὺς κατ' ἔκθλιψιν καὶ ἐκπυρήνισιν γινομένους ποιεῖ διάττοντας. πρῶτον δὲ πῶς οἱ κατ' ἔκκαυσιν γίνονται τεχνολογήσαντες ὕστερον καὶ περὶ τῶν λοιπῶν ἐροῦμεν τῆς γὰρ ἐν τῷ ὑπεκκαύματι γενομένη καπνώδους ἀναθυμιάσεως διεσπασμένης **) ὡς εἴρηται, κατὰ μικρὰ μέρη καὶ μὴ οὔσης συνεχοῦς, ἐπειδὰν ἡ τοῦ παντὸς περιφορὰ τὸ ἐπιτηδείως ἔχον αὐτῆς τῇ κινήσει θερμαινόμενον ἐξάψῃ, τοῦτο τὸ ἐξαφθὲν τῷ πλησιάζοντι μεταδίδωσι καὶ ἐκκαίει αὐτό, κἀκεῖνο τὸ μετ' αὐτό. καὶ οὕτως ἐφεξῆς τοῦ ἐξάψαντος ἀεὶ σβεννυμένου ἕως ἂν μηκέτι ᾖ τὸ ἐπιτηδείως ἔχον ἐκκαίεσθαι καὶ οὕτω τὴν φαντασίαν ποιεῖ τῆς διαδρομῆς. οὐδὲ γὰρ μία φλόξ ἐστι κινουμένη· ἀλλ' ὅπερ ἐπὶ τῶν λύχνων συμβαίνει καθάπερ ἔφθημεν εἰπόντες, ὅταν ὑποθῶμεν τὸν ἄρτι σβεσθέντα καὶ καπνίζοντα τῷ καιομένῳ, ἡ μέχρι τῆς φλογὸς φερομένη λιγνὺς κατὰ μέρος

*) Scr. *ἐκπυρήνισιν* ut apud Olymp. fol. 9, b. Rarior est commutatio η litterae cum ι, quam posterioris cum η, de qua vide ad Excerpt. ad I, 12, 11. Unde paulo post scribitur in Aldina *ἐκπυρίνησιν* et infra *ἐκπυρίνισιν*.

**) Scr. *διεσπαρμένης* ut supra.

ἐξάπτεται καὶ τὸ συνεχὲς αὐτῇ τοῦ καπνοῦ μόριον ἐξάπτει σβεννυμένης ἀεὶ τῆς πρώτης καὶ ἀπομαραινομένης διὰ τὴν λεπτότητα, κἀκεῖνο τὸ μετ' αὐτὴν ἐξάπτει. οὕτω καὶ ἐφεξῆς τοῦτο γίνεται μέχρι τῆς θρυαλλίδος. καὶ πρόδηλον, ὡς οὐκ ἔστι μία φλὸξ καὶ αὕτη ἄνωθεν φερομένη κάτω. ἀλλ' ὡς εἶπον, ἄλλοτε ἄλλο τοῦ καπνοῦ μέρος ἐξάπτεται τοῦ ἐξάπτοντος εὐθὺς ἀποσβεννυμένου διὰ τὴν τοῦ καπνοῦ μανότητα στέγειν ἐπιπολὺ τὴν φλόγα μὴ δυναμένου, δυομένου δὲ παντελῶς. ὥσπερ οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τοῦ διάττοντος γίνεται, ὡς εἶπον. καὶ διὰ τοῦτο ῥᾳδίως ἐξαπτομένης τε καὶ ἀποσβεννυμένης τὸ πρῶτον ἐξ ἀμφοῖν μεταδίδωσι τῷ μετ' αὐτὸ καὶ ἀποσβέννυται, λυομένης αὐτοῦ τῆς ὕλης. καὶ τὸ δεύτερον ὁμοίως τὸ μετ' αὐτὸ τρίτον ἐξάπτον ἀπομαραίνεται· καὶ τοῦτο γίνεται κατὰ συνέχειαν, ἕως ἂν μηκέτι μόριον τῆς ἀναθυμιάσεως εὑρεθῇ πρὸς ἐκφλόγωσιν ἐπιτήδειον· συνεχῶς οὖν τοῦ μὲν ἀποσβεννυμένου, τοῦ δὲ ἐξαπτομένου μία καὶ ἡ αὐτὴ φλὸξ διατρέχειν δοκεῖ. τὸ αὐτὸ γίνεται καὶ εἰ χάρτου πινάριον λεπτὸν καὶ μακρὸν θεωρήσειας ἐξαπτόμενον ἢ στυπεῖον ὁμοίως λεπτὸν ἐπὶ μῆκος κείμενον ἤ τι τοιοῦτον ἕτερον *). καὶ ἐπὶ τούτων γὰρ οὐ μία φλὸξ ἐστιν ἀπ' ἀρχῆς μέχρι τέλους διήκουσα. κατὰ μέρος δὲ τοῦ μὲν ἐξαπτομένου, τοῦ δὲ σβεννυμένου μία εἶναι δοκεῖ διὰ τὴν ἐξ ἄλλου μορίου εἰς ἄλλο μετάβασιν τῆς ἐξάψεως διατρέχειν ἡ μία δοκεῖ. ἀλλ' ἐπὶ μὲν τῶν ὑποδειγμάτων πλησίον ὄντων, ὁρᾶται σαφῶς τὸ γινόμενον. ἐπὶ δὲ τῶν διαττόντων ἡ πολλὴ τῆς ὕλης ἐξ ἡμῶν ἀπόστασις κρίνειν ἀκριβῶς τὸ συμβαῖνον κωλύει τὴν αἴσθησιν. ὁ δὲ λόγος τοῦτο θηρεύσας ἐξεῦρε. πῶς μὲν οὖν αἱ δοκοῦσαι διαδρομαὶ τῶν κατ' ἐκκαυσιν γινομένων διαττόντων συμβαίνουσιν, εἴρηται ἱκανῶς. ἡ δὲ ἀπ' ἄλλων ἐπ' ἄλλα διαστήματα κίνησις οὕτω γίνεται τῆς ἀναθυμιάσεως πανταχῇ διεσπαρμένης, ὡς εἴρηται. εἰ μὲν κατὰ βάθος εἴη τὰ μόρια ταύτης κείμενα ἐφεξῆς ἀλλήλοις, τὸ δὲ ἄνω μέρος αὐτῆς ἐξαφθείη, πρῶτον ἄνωθεν ἡ φλὸξ φέρεσθαι κάτω δοκεῖ. εἰ δὲ κάτω πρῶτον ἐξα-

*) Ald. ἤ τι τοιοῦτον ἕτερον quod fortasse ferri potest, cum vertamus vernacule: *und was dergleichen anderes (noch mehr)*.

φθείη, πρότερον ἐκ τούτου πρὸς δύσιν ἡ φορὰ γίνεται. ὁμοίως καὶ ἐπὶ βορρᾶν καὶ νότον. καὶ ὅπως ἂν εἴη λελοξωμένη πρὸς ταῦτα τῶν μορίων τῆς ἀναθυμιάσεως ἡ θέσις. οἱ μὲν οὖν κατὰ ἔκκαυσιν γινόμενοι διάττοντες, ὅτι τε ἐν τῷ ὑπεκκαύματι γίνονται καὶ τίς ὁ τρόπος τῆς γενέσεως αὐτῶν εἴρηται· οἱ δὲ κατὰ ἔκκρισιν καὶ οἷον ῥίψιν γινόμενοι, ὕλην μὲν ἔχουσι τὴν ἐν τῷ ἀέρι δι' ἣν εἶπον αἰτίαν ἐναπομείναασαν καπνώδη ἀναθυμίασιν. ὁ δὲ τρόπος ἐστὶ τῆς γενέσεως αὐτῶν τοιοῦτος. εἴρηται, ὡς αἱ δύο ἀναθυμιάσεις συμπεπλεγμέναι πως ἀλλήλαις ἀνέρχονται, ἥ τε ἐκ τῶν ὑδάτων ἀτμιδώδης καὶ ἡ ἀπὸ τῆς γῆς ἡ *) καπνώδης. ὅταν οὖν πολλῆς ἐκ τῶν ὑγρῶν σωμάτων ἀναδιδομένης ἀτμίδος ὁ ἀὴρ ψυχθεὶς πυκνωθῇ (εἰ γὰρ καὶ τὴν ἀτμιδώδη θερμὴν εἰρήκαμεν, ἀλλ' ἡ τοῦ ἀέρος ἔτι ψυχροτέρα ὡς ἐξ ὕδατος ἀνιοῦσα, καὶ ἄλλως, εἴπερ ὁδός ἐστιν ἡ ἀτμὶς καὶ οἷον μεταίχμιον τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς· καὶ οὔτε καθαρὸς ἀὴρ ἐστιν, οὔτε ὕδωρ ἔμεινεν εἰλικρινές. διὰ δὲ θερμότητος ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴ γίνεται), ἀνάγκη οὖν τὸ τούτων μεταίχμιον μήτε ψυχρὸν ὡς τὸ ὕδωρ, μήτε θερμὸν ὑπάρχειν ὡς ὁ ἀήρ. τὸ δ' ἧττον θερμὸν τῷ μᾶλλον τοιούτῳ μιγνύμενον κολάζει τὴν τούτου θερμότητα. ὅπερ οὖν εἶπον, ὅταν ἐκ τῆς ἀπὸ τῶν ὑδάτων πολλῆς ἀναδιδομένης ἀτμίδος ψυχθεὶς ὁ ἀὴρ πυκνωθῇ καὶ πρὸς τούτῳ καὶ ἐξ αὐτῆς τῆς τοῦ ὕδατος γειτνιάσεως συναπολαμβάνῃ τι τῆς συναναδιδομένης καπνώδους μοίρας ἐντός, εἰς ἓν οὖν αὐτὴ διὰ τὴν τοῦ ἀέρος πανταχόθεν πύκνωσιν ἔνδον συναγομένη καὶ ἠρεμεῖν, θερμή τις οὖσα καὶ πνευματώδης, οὐκ ἔχουσα, τῇ θλίψει τοῦ περιέχοντος ἐξακοντίζεται, καθάπερ οἱ ἐκ τῶν δακτύλων ἡμῶν ἐκθλιβόμενοι πυρῆνες. εἶτα τῇ βιαίᾳ καὶ ἀθρόᾳ κινήσει συνθλιβόμενόν τι καὶ συνωθούμενον λοιπὸν ἐξάπτεται. ἀλλὰ διὰ τί κάτω μὲν ἄνωθεν ὡς τὰ πολλὰ ῥιπτουμένη φαίνεται ὡς καὶ εἰς γῆν τοὺς διάττοντας πίπτειν καὶ εἰς θάλασσαν, τοὔμπαλιν δὲ κάτωθεν ἄνω σπανιώτερον. φημὶ τοίνυν, ὡς ἐδείχθη τὰ ἀνωτέρω μέρη τοῦ περὶ τὴν γῆν ἀέρος μᾶλλον

*) Articulus delendus est; aut, quod minus placeret, etiam ante ἀτμιδώδης addendus.

ψυχόμενα διὰ τὸ εἰς ἀχανὲς ἐκεῖ τὰς ἀνακλωμένας τῶν ἀκτίνων διεστάναι. τὸν δὲ περὶ γῆν ἐναπολαμβάνουσαι μεταξὺ διὰ τὴν πύκνωσιν τῇ κινήσει τε καὶ παρατρίψει θερμαίνουσιν. ἀνάγκη γοῦν ἄνωθεν γινομένης τῆς πιλήσεως διὰ τὴν ψύξιν τὴν ἐντὸς ἀπειλημμένην πυρώδη οὐσίαν ἄνωθεν γινομένης τῆς πιλήσεως διὰ τὴν ψύξιν τὴν ἐντὸς ἀπειλημμένην πυρώδη οὐσίαν ἄνωθεν ὠθεῖσθαι κάτω κἀκεῖθεν ὡς διὰ μανοτέρων ἐκκρίνεσθαι. ὥσπερ ἀμέλει τοὐναντίον οἱ ἐκ τῶν δακτύλων ἐκθλιβόμενοι πυρῆνες κάτωθεν πυκνουμένων τῶν δακτύλων ἐπὶ τὸ ἄνω χωροῦσι διεστώτων ἐκεῖ μᾶλλον. ἐπὶ οὖν τῆς ἀναθυμιάσεως ἄνωθεν τῆς ἐκθλίψεως διὰ τὴν πύκνωσιν γινομένης, ἀνάγκη πᾶσα κάτω τοῦ ἀέρος ταύτην ἐκπυρηνίζεσθαι. διὸ καὶ εἰς γῆν ὡς εἴπομεν οἱ διάττοντες καὶ εἰς θάλασσαν φαίνονται πίπτοντες. ἀλλὰ διὰ τὴν λεπτομέρειαν τῆς οὐσίας αὐτῶν εὐθὺς ἀποσβέννυνται. οὐκ ἀδύνατον δὲ καὶ τοῦ κάτω μέρους μᾶλλον πυκνωθέντος, ἄνω ῥίπτεσθαι τὴν ἐπαναθυμίασιν. τοῦτο δὲ σπανιώτερον γίνεται διὰ τὴν εἰρημένην αἰτίαν. τίνος δὲ χάριν ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τὰ πλάγια ῥιπτούμενοι φαίνονται, τοῦ φιλοσόφου λέγοντος ἀκουσόμεθα. Phil. fol. 90, b. 91, a.

V, 1. *Φαίνεται δέ ποτε νύκτωρ αἰθρίας οὔσης (μετὰ τὰ ἀληθῆ καὶ ὀλιγοχρόνια ἅπερ ἦν φλόγες, δαλοί, αἶγες καὶ διάττοντες*)]* Μετὰ τὰ ἀληθῆ καὶ ὀλιγοχρόνια, ἅπερ ἦν φλόγες, δαλοί, αἶγες καὶ διάττοντες μέτεισι καὶ ἐπὶ ψευδῆ ὀλιγοχρόνια, ἅπερ εἰσὶν ἀπὸ χρώματος καὶ σχήματος. ἀπὸ μὲν χρώματος αἱματώδη, ἀπὸ δὲ σχήματος βόθυνοι καὶ χάσματα. εἰκότως δὲ χωρεῖ μετὰ τὰ ἀληθῆ καὶ ὀλιγοχρόνια ἐπὶ τὰ ψευδῆ καὶ ὀλιγοχρόνια. ἐπειδὴ

*) Quae verba a textu Aristotelico, qualem nunc habemus, discrepantia praebet Olympiodorus Aldi. Sed nequaquam ista ab Aristotele profecta esse, docet altera Olympiodori adnotatio, quam deinde adscribemus docentque Philoponi et Alexandri verba, in quibus nihil huiuscemodi apparet. Sunt autem Olympiodori, cuius πρᾶξις ϛ incipit ab istis: *Μετὰ δὲ ἀληθῆ ..... διάττοντες*, quae excipiuntur deinde ab iis, quae apud nos sequuntur. Ita et alibi in editione Olympiodori Aldina pluribus in locis factum esse videmus. Cfr. ad Excerpt. I, 8, 3.

οὐ κατὰ μόνον τὸ ὀλιγοχρόνιον ταῦτα κοινωνοῦσιν, ἀλλὰ καὶ ὅτι ποιητικὰ αἰτιά ἐστι τὰ προειρημένα τῶν μελλόντων λέγεσθαι. ἀλλὰ φέρε μὴ μόνον διὰ κενῆς τούτων ὀνόματα λεγέσθω, ἀλλὰ καὶ τὰς αἰτίας πολυπραγμονητέον. τὸ μὲν οὖν αἱματῶδες χρῶμα δύο ἔχει αἰτίας τῆς γενέσεως. τὰ δ' ἄλλα, χάσματά φησι καὶ βόθυνοι, δύο ὄντα ἐν ἔχουσιν αἴτιον. φαίνονται γὰρ αἱματώδη χρώματα, ὅταν μέλαν ὂν νέφος ἢ εἰς τὰ πλάγια τοῦ λαμπροῦ τυγχάνει ἢ κατὰ κάθετον. ἀλλ' εἰ μὲν εἰς τὰ πλάγια εἴη, κατὰ ἀνάκλασιν γίνεται αὐτῶν ἡ φαντασιώδης ὅρασις. οὐ γὰρ κατὰ ἀλήθειαν κιρνᾶται. πόρρω γὰρ τὸ νέφος καὶ τὸ λαμπρόν εἰσιν. οἷόν τι συμβαίνει περὶ τὴν ἁρμονίαν γίνεσθαι μὴ κιρνωμένων τῶν φθόγγων, ὅτε δοκεῖ τις γίνεσθαι κρᾶσις. ἐπὶ μὲν οὖν τῆς ἀνακλάσεως, ἐπὶ τὰ αὐτὰ τοῦ ἐνόπτρου τὸ ὁρατὸν καὶ τὸ ὁρώμενον ὑπάρχει. ἐπὶ δὲ τῆς διακλάσεως μεταξὺ τοῦ ὁρῶντος καὶ τοῦ ὁρωμένου ἐστὶ τὸ κάτοπτρον. ὡς ἔχει ἐπὶ τῶν δι' ὕδατος ὁρωμένων. ἔστι δὲ καὶ ἄλλη διαφορά. τὰ γὰρ κατὰ διάκλασιν ὁρώμενα πρόσω ἀφίστανται καὶ μείζονα φαίνονται, ὡς ἔχει ἐπὶ τῶν ἄστρων. ἀνίσχοντα γὰρ ταῦτα καὶ δύνοντα διὰ τὴν ἀτμίδα ἀναπεμπομένην ὁρῶνται πυρρὰ κατὰ διάκλασιν. μέση γὰρ ἡ ἀτμὶς ἤτοι τὸ κάτοπτρον. τὰ μέντοι κατὰ ἀνάκλασιν ὁρώμενα πρόσω ἀφιστάμενα, μείωσιν τοῦ μεγέθους ὑπομένουσι. καὶ οὕτως εἰς τὸ μὴ ὁρᾶσθαι καταντῶσιν ὡς ἔχει ἐπὶ πετεινῶν ὁρώμενον. ἀλλ' ἐπὶ μὲν τῶν κατὰ διάκλασιν ὁρωμένων, αὔξις δοκεῖ τοῦ ὁρωμένου, πῶς μὴ ἐπιμένομεν ὁρῶντες. ἀλλ' εἰς τὸ μὴ εἶναι ἐξαίφνης ἀφανίζεται. καὶ λέγομεν, ὅτι ἐπὶ τούτων οὐ διὰ ῥιμύτητα τοῦ μεγέθους ἡ μεταβολὴ ἀπὸ τοῦ ὁρᾶν εἰς τὸ μὴ ὁρᾶν γίνεται, ἀλλὰ διὰ ἀμυδρότητα τῆς ποιότητος ἐξαίφνης ἀφανισμὸς γίνεται. οὕτως γὰρ ὄστρακον ἐν βυθῷ ῥιπτόμενον, ἐφ' ὅσον κάτω φέρεται, ἐπὶ τοσοῦτον μέγα φαίνεται. τὸ γὰρ ὑγρὸν χύσιν ποιεῖ. διὰ δὲ τὴν ἀμυδρότητα λοιπὸν τῆς ποιότητος ἐξαίφνης ἀφανισμὸς γίνεται. οὕτως γὰρ ὄστρακον ἐν βυθῷ ῥιπτόμενον ἐφ' ὅσον κάτω φέρεται, ἐπὶ τοσοῦτον μέγα φαίνεται. τὸ γὰρ ὑγρὸν χύσιν ποιεῖ. διὰ δὲ τὴν ἀμυδρότητα λοιπὸν τῆς ποιότητος εἰς τὸ μὴ ὁρᾶσθαι τελευτᾷ. καὶ αὗται μὲν αἰτίαι τοῦ φαίνεσθαι αἱματώδη χρώματα. ἡ δὲ αἰτία τῶν βοθύ-

νων καὶ τῶν χασμάτων αὕτη. ἐπειδὰν τὸ μέλαν νέφος καὶ τὸ λαμπρὸν ἐν τῷ αὐτῷ ὦσιν ἐπιπέδῳ, κἂν τύχῃ πέριξ μὲν εἶναι τὸ λαμπρόν, ἐν δὲ τῷ μέσῳ δὲ τὸ μέλαν· ἐπειδὴ τὸ μὲν λαμπρὸν μᾶλλον κινεῖ τὴν ὄψιν ἐπ' ἔλαττον δὲ τὸ μέλαν, συμβαίνει βαθύτερον φαίνεσθαι τὸ μέσον. ἀλλ' εἰ μὲν οὖν ὀλίγον φαίνεται χάσμα καλεῖται, εἰ δὲ ἐπιπολὺ βόθυνος. τούτῳ γὰρ μόνον ἀλλήλων διαφέρουσι. ὅθεν καὶ ἀπὸ τῶν ἔξωθεν χασμάτων καὶ βοθύνων εἴρηται μεταφορικῶς. ἰστέον δέ, ὅτι ὅνπερ τρόπον ἀληθὲς εἰπεῖν ἐστιν, ὅτι τὰ πλησίον κινούμενα τῶν πόρρω ὁμοίως καὶ ἰσοταχῶς κινουμένων φαίνονται ταχύτερον κινεῖσθαι, οὕτως οὐκ ἄτοπον εἰπεῖν, ὅτι τὰ μᾶλλον λευκὰ ἢ λαμπρὰ τῶν μελάνων προκινεῖ τὴν ὄψιν εἰς ἀντίληψιν. διὸ κἂν ἐν τῷ αὐτῷ τύχωσιν ὄντα ἐπιπέδῳ, ἐξέχοντα δοκοῦσιν εἶναι, τὸ δὲ μέλαν ἐν βάθει. διὸ καὶ οἱ ζωγράφοι ἐπειδάν τι ἐξέχον ζητῶσι ποιῆσαι, οἷον μαζούς, λευκοὺς αὐτοὺς ποιοῦσιν, ὅσα δ' ἐν βάθει μέλανα, οἷον ὀφθαλμούς, διὰ τὸ λευκὸν ὡς μᾶλλον κινοῦν πλησίον φαίνεσθαι, τὸ δὲ μέλαν, ὡς ἧττον, πορρωτέρω. προαγὼν τὴν διδασκαλίαν τῶν ὀλιγοχρονίων ἢ ἀληθῶν ἢ ψευδῶν ὁ Ἀριστοτέλης, τρέπεται νῦν ἐπὶ τὰ πολυχρόνια καὶ πρότερον διαλέγεται περὶ κομήτων οὐ μάτην, ἀλλὰ διότι οὗτος οἷον διάττων ἐστὶν ἱστάμενος. ἦν δὲ ἡμῖν προσεχῶς περὶ διάττοντος ὁ λόγος. μετὰ δὲ τὸν κομήτην ἐρεῖ καὶ περὶ γαλαξίου, ἐπειδὴ ὁ γαλαξίας οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ κομήτης κυκλικός· τὴν δὲ περὶ τῶν κομητῶν διδασκαλίαν ἐν τρισὶ θεωρίαις παραδίδωσι, καὶ ἐν μὲν τῇ πρώτῃ τὰς περὶ αὐτῶν γενομένας δόξας ὑφηγεῖται. ἐν δὲ τῇ δευτέρᾳ διελέγχει ταύτας. ἐν δὲ τῇ τρίτῃ τὴν ἀληθῆ λέγει περὶ αὐτῶν ὑπόληψιν, ταὐτὸν δ' εἰπεῖν τὴν οἰκείαν δόξαν. ἀρξώμεθα οὖν ἀπὸ τῆς πρώτης. Ἀναξαγόρας μὲν ὁ Κλαζομένιος καὶ Δημόκριτος ὁ Ἀβδηρίτης τὸν κομήτην ἔφασαν εἶναι σύνοδον τῶν πέντε πλανωμένων. σύνοδον δὲ οὐκ ἐπ' εὐθείας γινομένην, αὕτη γὰρ οὐδὲ κυρίως σύνοδος, ἀλλὰ κατὰ κύκλον ἀλλήλοις συνιόντων δίκην τινῶν τε μαχῶν συντιθεμένων, ὡς γίνεσθαι κύκλον. Πυθαγόρας *) δὲ καὶ Ἱπποκράτης οὐχ ὁ Κῷος ἀλλ' ὁ Χῖος,

*) Ald. Πυθαδόρας.

ὁ τῶν βίων πάλαι ἔμπορος καὶ τὸν παραλογισμὸν τοῦ τετραγωνισμοῦ τοῦ κύκλου ἐξευρηκώς, ἕκτον *) πλανήτων ἔλεγεν εἶναι τὸν κομήτην ἰσόδρομον τῷ τοῦ Ἑρμοῦ. διὸ ὥσπερ ὁ τοῦ Ἑρμοῦ σπανίως φαίνεται, οὕτως καὶ οὗτος. ἀλλ' ὁ μὲν Πυθαγόρας καὶ τὸν ἀστέρα καὶ τὸν κομήτην **) ἐκ τῆς πέμπτης ἔλεγε γίνεσθαι οὐσίας. ὁ δέ γε Ἱπποκράτης τὸν μὲν ἀστέρα ἐκ τῆς πέμπτης, τὴν δὲ κόμην ἀπὸ τοῦ ὑπὸ σελήνην τόπου. φησὶ γάρ, ὅτι ἀτμοῦ ἀναφερομένου ἀπὸ τοῦ κομήτου ἐπὶ τὰ ἄνω καὶ ἀνακλωμένης τῆς ὄψεως ἡμῶν πρὸς τὸν ἥλιον, ... παραμυθούμεθα τοῦτο ἐκ τοῦ πρὸ μιᾶς ὥρας τοῦ ἀνατεῖλαι, ἢ μετὰ μίαν τοῦ καταδῦναι, φωτίζεσθαι τὴν κατ' ἐκεῖνο τὸ μέρος τῆς οἰκουμένης γῆν· ὅτε οὖν τύχῃ πρὸς ἄρκτους ὢν ὁ ἥλιος καὶ ὁ κομήτης δυνατόν ἐστι γενέσθαι τὴν τοιαύτην ἀνάκλασιν καὶ φαίνεσθαι κομήτην, οὐδὲ γὰρ ἀλλαχοῦ συνίσταται, εἰ μὴ πρὸς τῷ βορείῳ μέρει τῆς καθ' ἡμᾶς οἰκουμένης. ἐν μὲν γὰρ τῷ μεταξὺ τῶν τροπικῶν διὰ τὸ εἶναι τὴν διακεκαυμένην ἐκεῖ ζώνην οὐ συνίσταται διὰ τὴν ἐν τῷ νοτίῳ μέρει ἔνδειαν τῆς ἀτμίδος, ἤτοι τοῦ ἡλικοῦ ***) αἰτίου. ἀλλὰ μὴν οὐδὲ ἐν τῷ νοτίῳ μέρει δυνατόν ἐστι γενέσθαι τὴν τοιαύτην ἀνάκλασιν, πλεονάζει, εἰ καὶ τὰ μαλιστά ἐστιν ἀτμὸς ἐκεῖ διὰ τὴν ψύξιν †). ἀλλὰ ζητῆσαι ἄξιον πῶς τὰ νότια ψυχρὰ εἰρήκαμεν εἶναι. ἢ διττὸν τὸ νότιον. τὸ μὲν πρὸς ἡμᾶς, ὅπερ ἐκεῖθέν ἐστι τῆς καθ' ἡμᾶς οἰκουμένης, τὸ δὲ πρὸς τὸ πᾶν τῷ πρὸς τῷ νοτίῳ πόλῳ. τὰ μὲν οὖν πρὸς ἡμᾶς θερμὰ ὄντα, χηρεύει

---

*) Sole scilicet et luna non comprehensis in planetarum ordine, uti solent. cfr. auctor. libri *de mundo* c. 2. et locos quos Bake composuit ad Cleomed. *Meteor.* I, 3. p. 307, ubi etiam de dissensu scriptorum in ordine statuendo agitur.

**) Fort. *καὶ τὴν κόμην.* Ita *κομήτην* pro *κόμην* scribunt A. Er. in *Meteorol.* I, 6, 9.

***) Nihil mutavi. Fortasse tamen *τοῦ ἡλίου αἰτίου.*

†) Quibus verbis, quae corrupta esse nemo non videt, equidem mederi nescio. Asteriscum apposuit Aldus. Puto tamen verbum *πλεονάζει* ex margine codicis cuiusdam, cui propter vocabulum quoddam dupliciter aut inepte scriptum additum erat, in textum irrepsisse. Tunc omnia sana.

τῆς τοῦ κομήτου γενέσεως. τὰ δὲ πρὸς τὸ πᾶν νότια εἰ καὶ ψυχρά, ἀλλὰ δι' ἄλλην αἰτίαν χηρεύουσι. οὐδὲ γὰρ τοῦ ἡλίου ὄντος ἐν βορείῳ δυνατὸν γενέσθαι ἀνάκλασιν, οὐδὲ μὴν ἐν τῷ νοτίῳ. δι' ἣν αἰτίαν, ἐπειδὴ πολύ ἐστι τὸ ὑπὸ γῆν τοῦ νοτίου, ἔλαττον δὲ τὸ ὑπὲρ γῆν, ὡς δηλοῦσιν αἱ ἐν χειμῶνι νύκτες μακροτέραι οὖσαι, οὐ δύναται δὲ γενέσθαι ἀνάκλασις δι' ὅλης τῆς νυκτός. διότι πολὺ ἀπέχει ὁ ἥλιος ὑπὸ γῆν ὢν τοῦ πλάνητος ὑπὲρ γῆν ὄντος. ἀλλ' οὐδὲ μὴν δυνατόν ἐστιν ἡλίου ὄντος ἐν τοῖς βορείοις, τοῦ δὲ πλάνητος ἐν τοῖς νοτίοις γενέσθαι δι' ὅλης τῆς νυκτὸς τὴν ἀνάκλασιν. διὰ γὰρ τὸ μῆκος τοῦ ὑποστήματος, ἔπειτα καὶ διὰ τὸ μέγεθος τοῦ ὑπὸ γῆν νοτίου πολὺ ὂν τὸ κωλύον γενέσθαι ἐπὶ τὸ βόρειον τὴν ἀνάκλασιν. ὥστε οὖν οὐδὲ ἐν τῇ διακεκαυμένῃ ζώνῃ. συνίστανται δ' ἐν τῷ νοτίῳ οὐχ ὅτε ἐν τῷ βορείῳ εἴη ὁ ἥλιος ἢ ἐν τῷ νοτίῳ, ἀλλ' ὅταν καὶ ὁ ἥλιος ἐν τῷ βορείῳ εἴη καὶ ὁ πλάνης. τότε γὰρ ἐπειδὴ μηδὲ ἀπέχουσι πολὺ ἀλλήλων (ἐν γὰρ τῷ βορείῳ εἰσί), μηδὲ μὴν πολύ ἐστι τὸ ὑπὲρ γῆν τοῦ βορείου, δι' ὅλης νυκτὸς δυνατὸν γενέσθαι τὴν ἀνάκλασιν. Olympiodor. fol. 10, b. 11, a.

V, 1. Ἐκ θυρῶν εὐθὺς ἐδήλωσεν, ὡς περὶ τῶν ψευδῶν λέγει. ἔφη γάρ· φαίνεται δὲ. οὐ γὰρ ἀληθῆ εἰσιν. ἀπάτη γὰρ γίνεται ἢ κατὰ τὸ χρῶμα ὡς ἐπὶ τῶν αἱματωδῶν χρωμάτων, ἢ κατὰ τὸ σχῆμα ὡς ἐπὶ βοθύνων καὶ χασμάτων, καλῶς δὲ εἶπε, φαίνεται ἐν τῷ οὐρανῷ. οὐ γὰρ ἐν τῷ οὐρανῷ γίνονται, ἀλλὰ νομίζονται ἐκεῖ γενέσθαι. ἢ οὖν τοῦτο, ἢ οὐρανὸν ἐκάλεσε τὸ ὑπέκκαυμα ὡς Ἱπποκράτης ὁ ἰατρός *)· οὐρανὸς ὁ λαιλαπώδης καὶ ὁ ποιητής **)·

— λάχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.

αἰθρίαν δὲ πάλιν τὴν ἀπὸ τῶν ἀνέμων ἀκουστέον. αἴτιον δὲ καὶ τούτων τὸ αὐτό, τουτέστιν ἡ ἀναθυμίασις. Olymp. fol. 11, a.

---

*) *Epidem.* I. *Sect.* VII. p. 357, 42. (p. 492. G. ed. Foës. 1621.) οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος.

**) *Il.* σ', 192. Versus incipit a verbis Ζεὺς δ' ἔλαχ' οὐρανόν et q. s. cfr. *Od.* ε', 303.

VI, 1. *Προτίθεται μὲν εἰπεῖν περί τε τῶν καλουμένων ἀστέρων κομητῶν καὶ τῶν πωγωνιῶν καὶ τοῦ κύκλου τοῦ γαλαξίου καλουμένου, ἃ οὐκέτι ταχείας ποιεῖται τὰς μεταβολάς, οὐδ' ἔστι φάσματα. πρῶτον δὲ ἀπορεῖ πρὸς τὰ ὑπὸ τῶν πρὸ αὐτοῦ περὶ τούτων εἰρημένα. Ἀναξαγόρας μὲν οὖν καὶ Δημόκριτος λέγουσι τὸν κομήτην λεγόμενον ἀστέρα σύμφασιν καὶ συναφὴν εἶναι τῶν πλανωμένων ἀστέρων· οὗτοι δέ εἰσιν, ὅ τε τοῦ Κρόνου καὶ ὁ τοῦ Διός, καὶ ὁ τῆς Ἀφροδίτης, καὶ ὁ τοῦ Ἄρεος καὶ ὁ τοῦ Ἑρμοῦ*). Οὗτοι γάρ, ὅταν ἐγγὺς ἀλλήλων γένωνται, φαντασίαν ἀποτελεῖν, ὡς ἅρα ἅπτονταί τε ἀλλήλων καὶ ἔστιν εἷς ἀστήρ, ὁ καλούμενος κομήτης. σύμφασιν δὲ λέγει τὴν ἐκ πάντων τῶν συνελθόντων, ὡς ἐξ ἑνὸς φαντασίαν γενομένην. Τῶν δὲ Πυθαγορικῶν τινάς φησι λέγειν τὸν κομήτην ἕνα καὶ αὐτὸν εἶναι τῶν πλανητῶν, ἄλλον παρὰ τοὺς προειρημένους πέντε. φαίνεσθαι δὲ αὐτὸν διὰ πολλοῦ τε τοῦ χρόνου καὶ ἐπ' ὀλίγον καὶ κατ' αὐτὸν ὁρᾶσθαι. ὑπερβάλλειν αὐτὸν τὰς τοῦ ἡλίου αὐγάς**)· τουτέστιν ἐξωτέρω αὐτῶν γίνεσθαι αὐτόν, ὡς δύνασθαι καὶ μὴ ἀφανίζεσθαι ὑπὸ τοῦ ἡλιακοῦ φωτός. ὃ συμβαίνει καὶ περὶ τὸν τοῦ Ἑρμοῦ ἀστέρα· καὶ γὰρ ἐκεῖνος***) πολλάκις οὐχ ὁρᾶται διὰ τὸ ὑπὸ ταῖς αὐγαῖς †) τὰ πολλὰ εἶναι τοῦ ἡλίου· τούτοις δὲ ὁμοίως φησὶν ἀποφήνασθαι περὶ τοῦ κομήτου καὶ Ἱπποκράτη τὸν Χῖον καὶ τὸν μαθήτην αὐτοῦ Αἰσχύλον (ἔστι δὲ οὗτος ὁ Ἱπποκράτης εἷς καὶ αὐτὸς τῶν μαθηματικῶν. τούτου λέγεται εἶναι καὶ ὁ τοῦ κύκλου τετραγωνισμός, ὁ διὰ τῶν μηνίσκων). καὶ γὰρ οὗτοι ἕνα τῶν πλανητῶν ὑπολαμβάνουσιν εἶναι τὸν κομήτην, πλήν γε τὴν κόμην οὐκ ἐξ αὐτοῦ φασιν ἔχειν. διαφέρει γὰρ*

---

*) Cfr. etiam praeter Bakium, quem supra laudavimus, Schaubach *Gesch. der Astronomie.* (Götting. 1802. 8.) p. 395 sqq.

**) Ald. *αὐτάς.*

***) Ald. *ἐκεῖνοι.*

†) Ald. *αὐταῖς.* Nescio an sit scribendum *ὑπὸ τὰς αὐγὰς.* cfr. Cleomed. *Meteor.* II, 3. p. 99. Balf.: *πᾶν γὰρ πυρινὸν σῶμα, λαμπρότερον μὲν ἐν σκιᾷ, ἀμαυρότερον δὲ ὑπὸ τὰς αὐγὰς τοῦ ἡλίου φαίνεται.*

ἢ *) τούτων δόξα τῆς τῶν Πυθαγορικῶν, ὅτι ἐκεῖνοι μὲν καὶ τὴν φαινομένην περὶ τὸν ἀστέρα κόμην, μέρος ὑπελάμβανον τοῦ ἀστέρος, ὡς ὄντος τοιούτου. οἱ δὲ περὶ Ἱπποκράτην, τὴν κόμην οὐκ ἐξ αὐτοῦ ἔχειν αὐτόν, ἀλλὰ τῷ πλανᾶσθαι καὶ ἄλλοτε κατ' ἄλλους τόπους φέρεσθαι, διὰ τὸν τόπον ἐνίοτε γίνεσθαι τὴν φαντασίαν τῆς περὶ αὐτοῦ κόμης. ὅταν δὲ γίνεται κατά τινα χώραν, νοτίδα πολλὴν ἔχουσαν, ἕλκειν φασὶ πρὸς αὑτὴν τὴν ὑγρότητα καὶ συνιστᾶν. πρὸς ἣν σύστασιν τοῦ ὑγροῦ ἡ ὄψις προσπίπτουσα, ὡς ἀπὸ τοῦ κατόπτρου ἀνακλᾶται πρὸς τὸν ἥλιον. καὶ διὰ τοῦτο ὁρᾶται πυρῶδες τὸ ἔνοπτρον τοῦ ἡλίου, ἐφ' ὃν ἡ ἀνάκλασις ἀπ' αὐτοῦ γίνεται, ταύτην παρέχοντος τὴν φαντασίαν. ὁμολογοῦσι δὲ καὶ οὗτοι διὰ πολλοῦ χρόνου ὁρᾶσθαι αὐτόν, ὅτι βραδύτατα τῷ χρόνῳ ὑπολείπεται. τουτέστι τὸν αὐτοῦ περίεισι κύκλον. ὑπολείπεσθαι γὰρ οἱ πλανῆται λέγονται, ἢν αὐτοὶ καθ' αὑτοὺς κινοῦνται κίνησιν, ἀνάπαλιν οὖσαν, ᾗ ὑπὸ τῆς ἀπλανοῦς περιφέρονται. λέγονται δὲ ὑπολείπεσθαι, ὅτι διὰ ταύτην τὴν κίνησιν ὑστερίζοντες φαίνονται. διὰ δὲ τὸ ὑπολείπεσθαί φησι βραδύτατα τῷ χρόνῳ διὰ πλείστου χρόνου φαίνεσθαι τῶν ἄλλων ἄστρων. ὡς ὅταν ἐκ ταὐτοῦ φανῇ ὑπολελειμμένος ὅλον τὸν ἑαυτοῦ κύκλον, τουτέστι, διὰ δὲ τὸ τὸν αὐτοῦ κύκλον βραδύτατα περιϊέναι, διὰ πλείστου φαίνεσθαι χρόνου τῶν ἄλλων πλανητῶν, τῷ ἐκείνους μὴ οὕτω βραδέως ὑπολείπεσθαί τε, καὶ τὴν οἰκίαν**) κινεῖσθαι κίνησιν. τότε γὰρ ὅταν κατὰ τὸ αὐτὸ πάλιν φανῇ, ὑπολελεῖφθαι αὐτὸν ὅλον τὸν ἑαυτοῦ κύκλον· τουτέστι περιεληλυθέναι καὶ κεκινῆσθαι τὸν ἑαυτοῦ κύκλον ὅλον. διὰ πολλοῦ δὲ τοῦτο ποιεῖν. ὑπολείπεσθαι δ' αὐτὸν καὶ πρὸς ἄρκτον καὶ πρὸς νότον. τουτέστι κινεῖσθαι δ' αὐτὸν τὴν αὐτὴν κίνησιν, καθ' ἣν ὑπολείπεται καὶ πρὸς ἄρκτον καὶ πρὸς νότον. τοῦτο δὲ διὰ τὸ κατὰ πλάτος κινεῖσθαι λαμβάνει, δι' ἣν αἰτίαν ἐν πλείοσι τόποις ὑπολειπόμενός τε καὶ γενόμενος ὁ ἀστὴρ οὗτος, ἐν μόνοις τοῖς βαρείοις κόμην ἔχων ὁρᾶται. ἐν μὲν γὰρ τοῖς μεταξὺ τῶν τροπικῶν κινούμενος, οὐχ ἕλκει ὕδωρ πρὸς αὑτόν,

*) Ald. ὃ et mox ἐκεῖνοι.
**) Sor. οἰκείαν.

διὰ τὸ τὰ ὑποκείμενα τούτων *) μὴ ἔχειν πολλὴν νοτίδα τῷ ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως ἀναξηραίνεσθαι αὐτήν. οὐχ ἕλκει μὲν οὖν ἐφ' αὑτὸν κατὰ τὸν τόπον τοῦτον ὑγρότητα, οὐδὲ κομήτης φαίνεται, ἐπειδὴ ἡ κόμη αὐτῷ ἀπὸ τῆς τοῦ ἑλκομένου ὑγροῦ συστάσεως γίνεται. ὑπερβὰς δὲ τοὺς τροπικούς, ἢ κατ' αὐτοὺς φερόμενος, ὧν μεταξὺ ἡ τοῦ ἡλίου κίνησις γίνεται, ἕλκει μὲν ἐν ἀμφοτέροις ὑγρότητα πρὸς αὑτόν, καὶ ἐν τοῖς νοτίοις ὁρώμενος καὶ ἐν τοῖς βορείοις. οὐ γὰρ ἔτι ταῦτα ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως τὰ χωρία κατεξηράνθαι συμβαίνει. ὅτι οὖν ἐπὶ νότον φέρεται, δαψίλειαν μὲν ἔχειν τῆς τοιαύτης νοτίδος. διὸ καὶ ἕλκειν πολλὴν πρὸς αὐτόν. οὐ μὴν φαίνεσθαι τότε αὐτὸν κομήτην. διὰ τὸ μὴ δύνασθαι τὴν ὄψιν ἀπὸ τῆς ἀναγομένης ὑπ' αὐτοῦ νοτίδος, ἀνακλᾶσθαι πρὸς τὸν ἥλιον, διὰ τὸ μῆκος τῆς ἀποστάσεως. αἴτιον δὲ τούτου, τὸ τὸν νότιον πόλον ἀφανῆ εἶναι, καὶ ὑπὸ γῆν, ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν. τοιαύτης δὲ οὔσης τῆς θέσεως αὐτοῦ τῶν περὶ αὐτὸν κύκλων, ὀλίγον μὲν μέρος ἐστὶν ὑπὲρ τὴν γῆν **), τὸ δὲ πλεῖστον ὑπὸ τὴν γῆν. αἱ δὲ συστάσεις τῆς ὑγρότητος αἱ κατὰ ταῦτα τὰ μέρη γινόμεναι***), ὑπὲρ τὸ κέντρον γίνονται τοῦ κύκλου, τῷ τὸ κέντρον μὲν τῶν κύκλων τούτων ὑπὸ γῆν εἶναι, τὰς δὲ συστάσεις τῆς ὑγρότητος ὑπὲρ γῆν γίνεσθαι. ἀδύνατον δὲ εἶναι ἔλεγε Διόδοτος ὁ ἀστρόλογος †), ἐν τούτοις ἀνὴρ οὐδενὸς δεύτερος τῶν καθ' ἡμᾶς, ἀνάκλασιν ὑπὸ γῆν γίνεσθαι τῆς ὄψεως ἀπὸ τῆς ἀναθυμιάσεως, ὅταν ὑπὲρ τὸ κέντρον τοῦ κύκλου ἡ ἀναθυμίασις συνίσταται. ἐπεὶ οὖν τοῦ τροπικοῦ τοῦ

*) Ald. τούτω.

**) Sine articulo scribendum esse ὑπὸ γῆς ideoque etiam ὑπὸ γῆν et ὑπὲρ γῆν, sensu physico et geographico, non in alia disputatione moralis aut communis argumenti, voluit Bake ad Cleomed. *Meteor.* I, 2. p. 293, reprehendens Heindorfium ad Plat. *Gorg.* p. 523 E. Sed falsus est vir sagacissimus.

***) Fort. γινόμεναι.

†) Fortasse idem est Diodotus ille, de quo Strabo XVI. p. 1098 D: καθ' ἡμᾶς δὲ ἐκ Σιδῶνος μὲν ἐνδοξοι φιλόσοφοι γενόνασι, Βοηθός τε ᾧ συνεφιλοσοφήσαμεν ἡμεῖς τὰ Ἀριστοτέλεια καὶ Διόδοτος ἀδελφὸς αὐτοῦ.

πρὸς τῷ νότῳ, τὸ ἔλαττον ἡμικύκλιον *) ὑπὲρ γῆν ἐστι, δῆλον ὡς τὸ κέντρον αὐτοῦ ἐστιν ὑπὸ γῆν. ἐξ ἀνάγκης οὖν ἡ συνισταμένη ἀναθυμίασις ἐν αὐτῷ ὑπὲρ τὸ κέντρον αὐτοῦ συνίσταται. ὥστε οὐ γίνεται οὔτ' ἂν πλησίον ἧ τοῦ νοτίου μέρους, οὔτ' ἂν πόρρω πρὸς ταῖς θεριναῖς τροπαῖς. καὶ γὰρ τότε ἐστὶν ὑπὸ γῆν, ὑφ' ἣν ἡ ἀνάκλασις οὐχ οἷά τε γίνεσθαι τῆς ὄψεως, διά τε τὴν προειρημένην αἰτίαν καὶ τὴν τοσαύτην ἀπόστασιν. ἐπὶ δὲ τοῦ τροπικοῦ τοῦ βορείου γίνεται καὶ ὑπὸ γῆν ἀνάκλασις, ὅταν ἡ ἀναθυμίασις ὑποκάτω τοῦ κύκλου τοῦ κέντρου συστῇ. δύναται δὲ τοῦτο ἐν τούτῳ τῷ κύκλῳ γίνεσθαι, τῷ τὸ κέντρον αὐτοῦ αἰεὶ ὑπὲρ γῆν εἶναι, τοῦ μείζονος ἡμικυκλίου ὄντος ὑπὲρ τὴν γῆν. Alex. fol. 78, a et b.

VI, 2. Ὁ μὲν Πυθαγόρας Σάμιος ἦν **), πλὴν πρόσεστι τοῦ Ἰταλικοῦ διδασκαλία. διὸ εἶπε τῶν Ἰταλικῶν τινές. οὗτος οὖν τὸν κομήτην ἕκτον ᾠετο πλάνητα ἔχοντα ἐκ τοῦ πέμπτου σώματος καὶ τὴν κόμην. τὴν δ' αἰτίαν τοῦ σπανίως φαίνεσθαι ταύτην ἔλεγεν. ὥσπερ φησὶν ὁ τοῦ Ἑρμοῦ ἀστὴρ διὰ τὸ ἰσόδρομος εἶναι τῷ ἡλίῳ σπανίως φαίνεται, δυσχερῶς γὰρ ὑπολείπει, οὕτω καὶ οὗτος ὁ ἕκτος πλανήτης τοιαύτην ἔχει κίνησιν καὶ σπανίως ὑπολείπει. ὑπόλειψιν δ' ἀκουστέον ἀστρονομίας τὴν κίνησιν τοῦ ἀστέρος αὐτοῦ. αὗται γὰρ αἰτίαι γίνονται ὑπολείψεως αὐτῶν. καὶ εἰκότως. ἐὰν γὰρ νοήσωμεν τὸν ἥλιον ὄντα ἐν κριῷ μοῖραν μίαν καὶ ἀποκαθιστάμενον τὸ πᾶν ἐν μιᾷ ἡμέρᾳ, κινούμενον δὲ καὶ τὸν ἥλιον κατὰ τὴν ἰδίαν κίνησιν μοῖραν, ὥστε εἶναι δύο μοίρας. τῇ δευτέρᾳ ἡμέρᾳ κριοῦ εὑρεθήσεται ὁ ἥλιος τῆς κινήσεως καὶ τῆς τέλει αὐτοῦ παντός, ἐλλείψας μοῖραν μίαν, ἥνπερ καὶ ἐκινήθη. ἡ

*) Ald. ἡμικυκλίου.

**) Tyrrhenum fecit Aristoxenus apud Diogen. Laërt. VIII, 1, 1: Πυθαγόρος Μνησάρχου δακτυλιογλύφου, ὥς φησιν Ἑρμιππος (ut videtur excidit Σάμιος), ἢ ὡς Ἀριστόξενος Τυρρηνός, ἀπὸ μιᾶς τῶν νήσων ἃς κατέσχον Ἀθηναῖοι Τυρρηνοὺς ἐκβαλλόντες. Clem. Alexandrin. Stromat. I. p. 300 D. ed. Sylb. Πυθαγόρας μὲν οὖν ὁ Μνησάρχου Σάμιος, ὥς φησιν Ἱππόβοτος. ὡς δὲ Ἀριστόξενος ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀρίσταρχος καὶ Θεόπομπος Τυρρηνὸς ἦν.

οὖν κίνησις ἡ ἰδία αἰτία γέγονεν αὐτῷ τῆς ὑπολείψεως. ὁ γὰρ ἥλιος μίαν μοίραν τὴν ἡμέραν κινεῖται τὴν ἰδίαν κίνησιν. ἡ δὲ σελήνη ιγ μόρια. ὅπερ συμβαίνει περὶ τὸν Ἑρμοῦ ἀστέρα. διὰ γὰρ τὸ σμικρὸν ἐπαναβαίνειν πολλάκις ἐκλείπει φάσιν *), ὥστε διὰ χρόνου φαίνεσθαι πολλοῦ. ὁ γὰρ τοῦ Ἑρμοῦ ἀστήρ, ὡς εἴρηται, περὶ τὸν ἥλιον κινούμενος, σπανίως φαίνεται. ὑπολείψεις οὖν νῦν ἀκουστέον τὰς ἀποστάσεις τῶν ἀστέρων τὰς ἀπὸ τοῦ ἡλίου, ἐν αἷς ἕξαυγος γίνεται φαινόμενος. φάσεις δ' ἀκουστέον οὐχ ἃς λέγουσι ποιεῖν τὸν τοῦ Ἑρμοῦ ἀστέρα. πολλὰς γὰρ τοιαύτας ποιεῖ. εἰ γὰρ λέγουσιν αἰτίας αὐτὸν ποιεῖν ἃς ζητοῦσιν οἱ ἡμερογράφοι, ἀλλὰ φάσεις ἀκουστέον τὰς ἀποστάσεις καθὼς φαίνεται. αὗται γὰρ σπάνιοί εἰσιν ἐπὶ αὐτοῦ ὁμωνύμου οὔσης τῆς φάσεως. μηδεμία οὖν ἡμῖν γένηται ἀπάτη, προδιεστειλάμεθα γάρ. Olymp. fol. 12, a.

VI, 3. *Παραπλησίως δὲ τούτοις καὶ οἱ περὶ τὸν Ἱπποκράτην τὸν Χῖον*] Τουτέστι τοῖς περὶ Πυθαγόραν. καὶ οὗτοι γὰρ ἕκτον ἔλεγον πλάνητα τὸν κομήτην εἶναι. πλὴν ἐν τούτῳ ἡ διαφορά, ὅτι Πυθαγόρας μὲν καὶ τὴν κόμην ἔλεγεν ἐκ τοῦ πέμπτου σώματος εἶναι, ὁ δὲ Ἱπποκράτης ἐκ τοῦ ὑπὸ σελήνην ἔλεγεν αὐτὴν γίνεσθαι, ὡς εἴρηται καὶ ἐν τῇ θεωρίᾳ. διὰ γὰρ τὸ ὑπολείπεσθαι βραδυτάτῳ χρόνῳ διὰ πλείστου χρόνου φαίνεσθαι τῶν ἄλλων ἄστρων. ὁ μὲν Ἀλέξανδρος τὸ ὑπολείπεσθαι ὡς πρὸς τὸ πᾶν ἔλαβεν **). *ἐπειδή φησιν ὀλίγον ὑπολείπεται τοῦ παντός. βραδυτάτη γάρ ἐστιν ἡ κίνησις. ἀλλ' εἰ τοῦτο, ἔδει καὶ συνεχῶς αὐτὸν φαίνεσθαι.* ὁ γὰρ ἥλιος οὐκ ἔχει βραδεῖαν τὴν ἰδίαν κίνησιν. ὅθεν μᾶλλον ὡς ἐξηγήσατο ὁ μέγας φιλόσοφός φησι ***), δεῖ

*) Ald. *φασίν*.

**) Quod re vera fecit Alexander ille, qui paraphrasin istam composuit, qua nunc utimur, uti elucet ex iis, quae paulo ante ad I, 6, 1 adscripsimus. Sed verba, quae adducit, ibi non reperiuntur. Cfr. ad Excerpt. I, 8, 1.

***) *Φησι* delendum videtur, aut si tolerari potest, quod vix credam, explicandum sicut latinum *inquit*, quod saepenumero ponitur, omisso *aliquis*. cfr. Ruhkopf ad Senec. *de ira* I, 3, 1. *Epist.*

τὸ ὑπολείπεσθαι ὡς πρὸς τὸν ἥλιον λαβεῖν. ἐπειδὴ γὰρ σύνδρομος ὢν τῷ ἡλίῳ βραδυτάτῳ αὐτοῦ ἀπολείπεται, διὰ τοῦτο καὶ σπανίως φαίνεται, ὡς ὅταν ἐκ τούτου φαίνειν ὑπολελειμμένος τὸν ὅλον ἑαυτοῦ κύκλον. εἴρηται ἡμῖν, τίς καλεῖται ὑπόλειψις. ὅτι ὑστερισμὸς τῶν πλανήτων ὁ διὰ τὴν κίνησιν αὐτοῖς προσγενόμενος, οἷον χάριν γὰρ σαφηνείας κέχρημαι παραδείγματι, ἔστω ἡ σελήνη μία μοῖρα τοῦ κριοῦ. εἶτα μετὰ μίαν ἡμέραν γίνεται ιδ' μοιρῶν τοῦ κριοῦ. καὶ γὰρ ιγ ἑκάστης μοίρας κινεῖται. δῆλον οὖν, ὅτι τῆς ἀπλανοῦς δεκατέσσαρας ὑστέρησεν. εἶτα ἐφεξῆς κινουμένη ὑπολείπεται οὐ ζῳδιὸν μόνον, ἀλλὰ καὶ ὅλῳ κύκλῳ ὅτε γένηται ἐν κριῷ. καὶ ἔχομεν, ὅτι οἱ ταχυκίνητοι τῶν πλανήτων *) βραδυκίνητοι ὡς πρὸς τὸ πᾶν. ἐπεὶ οὖν τοῦτο ἐσαφηνίσθη, καὶ τί βούλεται εἰπεῖν ἐν τῇ λέξει σαφηνίσομεν. φησίν, ὅτι ὥσπερ ὑπολείπεται ὅλον τὸν αὐτοῦ κύκλον. καὶ ὁ μὲν ἐξηγητὴς **) ἔφη πρὸς ταύτην τὴν λέξιν

LXXVIII, 19. De Graecis adi Upton ad Arrian. *Diss.* I, 4, 9. Schweigh. ὁ μέγας φιλόσοφος est Ammonius, quod ex sequentibus patet. Vide Exc. ad I, 13, 30

*) Ald. πλανίτων.

**) Innuitur Alexander Aphrodisiensis, cui hoc nomen propterea, quod satis feliciter plurimis commentariis Aristotelis scripta erat interpretatus, tribuebatur. Cfr. Fabric. *Bibl. gr.* Vol. III. p. 430. ed. Harles. Neque igitur Alexandri Aphrodisiensis est paraphrasis, quam nunc habemus: neque Alexander, quem deinceps laudat Olympiodorus, est ille, qui eam conscripsit, sed tertius quidam, de quo vide Prolegg. Paraphrasin nostram h. quoque l. ante oculos habuit Philoponus fol. 95, a. Dicit enim: τὸ ὑπολείπεσθαι βραδύτατα τῷ χρόνῳ ὁ Ἀλέξανδρος ἐξηγούμενος, βραδυτάτῳ χρόνῳ ὑπολείπεται φησι, τουτέστι τὸν ἑαυτοῦ περίοδον κύκλον. ὑπολείπεσθαι γὰρ οἱ πλανῆται λέγονται, ἢν αὐτοὶ καθ' αὑτοὺς κινοῦνται κίνησιν ἀνάπαλιν οὖσαν ᾗ ὑπὸ τῆς ἀπλανοῦς περιφέρονται. λέγονται δὲ ὑπολείπεσθαι, ὅτι διὰ ταύτην τὴν κίνησιν ὑστερίζοντες φαίνονται τῶν ἄλλων πλανητῶν μὴ οὕτω βραδέως ὑπολειπομένων. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος ὑπὸ λέξεως. Quae verba prorsus congruunt cum iis, quae supra adscripsimus, nisi quod ibi desiderantur, quae hic post φαίνονται addita reperiuntur.

ἀφεωρακότα Ἀλέξανδρον καλῶς ἐξηγήσασθαι. τὸ γὰρ δὴ ὑπολείπεσθαι κύκλον ἃς πρὸς τὸ πᾶν λέγεται. πλὴν ἔστιν ἀπολογήσασθαι ἡμᾶς ὑπὲρ Ἀμμωνίου μεγάλου φιλοσόφου, ὅτι κἂν πρὸς τὸν ἥλιον λάβωμεν τοὺς πλάνητας ἔχειν τὴν ὑπόλειψιν, ἀλλ' οὖν ὅμως συμπαραμαρτῶν *) τῷ ἡλίῳ λέγεται ὑπολείπεσθαι, ὅταν ταχύτερον αὐτοῦ μικρὸν κινηθῇ ἢ ὅταν βραδύτερον, ἥτις καὶ αἰτία γίνεται τοῦ διὰ χρόνου γίνεσθαι. ἡ γὰρ πρὸς τὸν ἥλιον ὑπόλειψις, οὐχὶ πρὸς τὸ πᾶν ἐστιν αἰτία τοῦ βραδέως αὐτὸν φαίνεσθαι. Olymp. fol. 12, a.

VI, 5. Ἐπειδὴ οὐ δεῖ μόνον τὰς ψευδεῖς δόξας ἱστορεῖν, ἀλλὰ καὶ τοὺς ἐλεγκτικοὺς λόγους τούτων, φέρε καὶ τούτους παραδώσομεν. πάσαις ταῖς νῦν εἰρημέναις περὶ κομήτου δόξαις τὰ μὲν κοινῇ ἔπεται, τὰ δὲ ἰδιάζοντα. ἀλλ' ἐπειδὴ δεῖ τοὺς φιλοσόφους τοῦ καθόλου φροντίζειν, καὶ πρῶτον αὐτοῦ ποιεῖσθαι φροντίδα, εἰθ' οὕτως, εἶπον δέοι μερικῶν τούτου χάριν ὁ Ἀριστοτέλης πρῶτον τοὺς κοινοὺς ἡμῖν ἐλέγχους παραδίδωσιν. εἰσὶ δὲ οὗτοι τέσσαρες, ἐκ τοῦ τόπου, ἐκ τοῦ πλήθους, ἐκ τῶν ἀπλανῶν, ἐκ τῆς φθορᾶς· ἐκ μὲν τοῦ τόπου οὕτως. ἰστέον ὅτι ὁ ζωδιακὸς πλάτος ἔχει. πλάτος δὲ οὐχ ἧ κύκλος, ἀλλ' ἧ ζώνη. τοῦτο δὲ τὸ πλάτος οὔτε πλέον δέκα μοιρῶν λαμβάνει, οὔτε ἔλαττον. περὶ τοῦτο τὸ πλάτος οἱ πλανώμενοι κινοῦνται πλέον τῶν δέκα μοιρῶν μὴ κινούμενοι μηδ' ἐπὶ τὰ βόρεια, μηδ' ἐπὶ τὰ νότια, ἀλλ' ἢ καὶ ἔλαττον ἴσως. ἔδει οὖν τὸν κομήτην, εἰ τῶν πλανωμένων εἷς ἐστιν, ὡς Πυθαγόρας καὶ Ἱπποκράτης εἰρήκασιν ἢ σύνοδος πάντων, ὡς Ἀναξαγόρας καὶ Δημόκριτος, μηδέποτε περαιτέρω τῶν δέκα μορίων φαίνεσθαι τοῦ ζωδιακοῦ ὤφθησαν δὲ πολλοὶ πολλὰς μοίρας ἀποστάντες τοῦ ζωδιακοῦ. καὶ ἵνα τὰ λοιπὰ παρεὶς τοῦ καθ' ἡμᾶς γενομένου κομήτου, ὅστις συνέστη τῷ σπα ἔτει τοῦ Διοκλητιανοῦ **) κατὰ Αἰγυπτίους μεσώρῃ μηνὶ ἀπὸ τοῦ περὶ τὴν

*) Vox Xenophontea. Cfr. *Oeconom.* IV, 21. *Conviv.* IV, 17. *Hieron.* II, 8.

**) Aera Diocletiani sive martyrum incepit anno 284 p. Chr. mense Augusto, die XXIX. cfr. Ideler *Handb. der Chronol.* I. p. 164. Annus igitur ille incepit anno p. Chr. 564. Mesore est ultimus,

ἄρκτον δράκοντος καὶ τοῦ ἀπὸ τῆς κεφαλῆς. καὶ ἐκινήθη ἕως τοῦ αἰγοκέρωτος διαμείνας ἄχρι θὼθ μηνὸς πληρουμένου διελθὼν καὶ τὸν γαλαξίαν. εἰ οὖν ἐναντιοῦται ἡ ἱστορία, κακῶς ποιοῦσιν οἱ σύνοδον πλανήτων ἢ πλάνητα ὑποτιθέμενοι τὸν κομήτην. ἀλλ' ἴσως ἔχει τις εἰπεῖν, ἀλλ' ἕκτον πλάνητα οἱ περὶ Πυθαγόραν καὶ Πλάτωνα αὐτὸν ἔλεγον. καὶ οὐκ ἄτοπον λέγει αὐτοὺς μὴ ὁμοίως κινεῖσθαι τοῖς ἄλλοις πέντε πλανήταις κίνησιν. ἢ καὶ κατ' αὐτὸν ἄτοπον ὑποθέσθαι πλέον τῶν δέκα μοιρῶν τοῦ ζωδιακοῦ φέρεσθαι τοῦτον, εἴγε σύνδρομον αὐτὸν τῷ ἡλίῳ εἰρήκασιν. ἄλλως τε εἰ ἔξω πλέον ἐφέρετο τῶν δέκα τοῦ ζωδιακοῦ μοιρῶν, οὐκ ἂν διὰ χρόνου ἐφαίνετο, ἀλλὰ καὶ συνεχῶς. τὰ γὰρ κατα πλάτος ἀφιστάμενα συνεχῶς φαίνονται. καὶ ὅτι ἀληθὲς τὸ ἀποστάντας πολὺ κατὰ πλάτος φαίνεσθαι, μάθοις ἂν ἐκ τῶν λοξῶν φάσεων Ἑρμοῦ καὶ Ἀφροδίτης καὶ μάλιστα τῆς Ἀφροδίτης. αὕτη γὰρ διὰ τὸ οἰκεῖον μέγεθος ἔσθ' ὅτε πλεῖον ἀπέχουσα τοῦ ἡλίου κατὰ πλάτος ἐν μιᾷ ἡμέρᾳ καὶ ἑῴα καὶ ἑσπέρια γίνεται *). ὅθεν φησὶν ὁ ἐξηγητὴς **) καὶ μόνον κατ' ἐξαίρετον ἑῷον καὶ ἑσπέριον λέγεσθαι τὸν τῆς Ἀφροδίτης ἀστέρα διὰ τὸ δύνασθαι ἐν μιᾷ ἡμέρᾳ καὶ ἑῷον καὶ ἑσπέριον φαίνεσθαι ***). ὅτι γὰρ ὁ αὐτός ἐστι καὶ

Thoth primus anni Aegyptii mensis: itaque cometa apparuit secundum Olympiodorum inde ab exeunte mense Iulio ad finem usque mensis Septembris anni 565, et a capite dracontis septentrionalis (*τοῦ* ante *ἀπὸ τῆς κεφαλῆς* delendum videtur) per viam lacteam ad capricornum usque iter confecit, quartam fere caeli partem permeans. Eodem anno in China cometam apparuisse, testatur Pingré *Cométographie* Tom. I. p. 322, teste usus de Mailla *Histoire générale de la Chine* (Paris 1776. 4.) Tom. V. p. 428. Idem procul dubio cometa ille fuit, quem Marius Aventicensis episcopus in Chronico suo ante Iustiniani mortem apparuisse narrat.

*) Ald. *γίνονται.*

**) Alex. Aphrodisiensis. Nihil tale in paraphrasi reperitur.

***) Veneris hanc naturam primum repertam esse a Pythagora Samio Ol. XLII refert Plinius *Histor. nat.* II, 8.

ἑῷος καὶ ἑσπέριος δηλοῖ καὶ Καλλίμαχος λέγων ἐν Αἰκάλλῃ*). ἡνίκα μὲν γὰρ φαίνεται τοῖς ἀνθρώποις, ταὐτὰ αὐτοὶ μὲν φιλέουσιν, αὐτοὶ δέ τε πεφρίκασιν. ἑσπέριον φιλέουσιν, ἀποστυγέουσιν ἑῷον**). Ὁ οὖν τῆς Ἀφροδίτης ἀστὴρ καὶ ἑσπέριός ἐστι καὶ ἑῷος. ἑῷος μέν, ἐπειδὴ προανατέλλει τοῦ ἡλίου, ἑσπέριος δέ, ἐπειδὴ καὶ μετὰ δύσιν αὐτοῦ φαίνεται. καὶ τὸ θαυμαστόν, ὅτι ταῦτα γίνονται εἰς τὰ ἑπόμενα τοῦ ἡλίου αὐτῆς τυγχανούσης. οἷον ἵνα νοήσητε***) τὸν μὲν ἥλιον κριῷ μοίρας κ, τὴν δὲ καὶ ἐπὶ τοῦ α τοῦ ζωδιακοῦ μοίρας ιε, πλὴν ὅταν τοῦτο γένηται, ὅταν τὰ ἑπόμενα σημεῖα καὶ προηγούμενα ἐπὶ ἑνὸς ᾖ κύκλου καὶ βορείου. ἐπὶ γὰρ διαφόρων κύκλων τοῦτο οὐ γίνεται. ἐπὶ δὲ Ἑρμοῦ συμβαίνει†) καὶ τὴν τελείαν αὐτῶν ἀπόστασιν ἀπέχοντα τοῦ ἡλίου μὴ φαίνεσθαι διὰ τὸ μὴ ἀπέχειν κατὰ πλάτος τοῦ ἡλίου ἐπὶ τὰ βόρεια, ἀλλ' ἐπὶ τὰ νότια. ἐπειδὴ οὖν εἴρηται ὁ κοινὸς ἔλεγχος ἀπὸ τοῦ τόπου, φέρε καὶ τὸν τοῦ πλήθους σκοπήσωμεν· εἴτε σύνοδός ἐστι τῶν πλανωμένων, εἴτε ἔκτον ὑποθώμεθα πλάνητα εἶναι κομήτην, οὐκ ἔδει συνεχῶς φαίνεσθαι, ὡς εἴρηται, κομῆτας, οὐδὲ ἐν τῷ αὐτῷ

---

*) Ita Aldus. Sed iam Spanhemius in margine: „*Callimachus in Hecale. l.* Ἑκάλῃ", quem cfr. ad *Hymn. in Apollin.* v. 106. Tom. II. p. 146. Harduin. ad Plin. XXII, 22. Tom. IV. p. 206. Hemsterhus. ad Callimach. *fragm.* LXV. p. 438 sq. ed. Ernesti. Fragmenta istius epici carminis prostant a Bentleio collecta in editione Ernestiana a XL ad LXVI. Adde fragm. CX.

**) Bentleius p. 434 fr. LXII versus sic scribendos esse censuit:

αὐτὸν μὲν φιλέουσ', αὐτοὶ δέ τε πεφρίκασιν
ἑσπέριον φιλέουσιν, ἀτὰρ στυγέουσιν ἑῷον.

Ita enim alterum versum exhibet Eustathius ad *Iliad.* IX. p. 1273. Is. Voss. ad Catull. p. 153 in primo versu bis *αὐτὸν* scribendum esse censuit. Sed in verbis, quae hosce versus antecedunt, tertium quendam latere versiculum suspicatus est non sine iure Valckenarius, quem sic refingendum esse censuit: *ἡνίκ' ἂν ἀνθρώποισι κατ' ἠέρα ταὐτὰ φανείῃ.*

***) Ald. *νοήσῃ τε.*

†) Ald. *συμβαίνοι.*

νῦν πλείους ἑνός. ἱστόρηνται δὲ καὶ συνεχῶς φαινόμενοι καὶ ἐν τῷ αὐτῷ νῦν πλείονες ἑνός. τρίτος ἔλεγχος ὁ ἐκ τῶν ἀπλανῶν. εἴτε γὰρ ἔκτος πλάνης, εἴτε σύνοδός ἐστι τῶν πλανωμένων, οὐκ ἔδει ἀπλανῆ ποτε κομήτην φανῆναι. ὥφθη δὲ ἀπλανὴς κομήτης. καὶ ἵνα πάλιν μὴ ἄλλων μνημονεύσωμεν, τοῦ ἐπὶ ἡμῶν γενομένου μνησθῶμεν, ὡς εἴρηται, ἐπὶ ἑνὸς ἀστέρος τῶν περὶ τὴν κεφαλὴν τοῦ δράκοντος τοῦ ἐν τοῖς ἄρκτοις. τέταρτος *) ἔλεγχος ὁ ἐκ τῆς φθορᾶς. τί δήποτε γὰρ μηδέπω ἐφάνη ἢ διαλυόμενος εἰς τοὺς ε πλάνητας ἢ τὸν ς ἐκεῖνον πλάνητα, ἀλλὰ κατὰ μέρος μαραίνεται καὶ ἀφανίζεται εἰς οὐδένα ἀστέρα διαλυόμενος. ταῦτα μὲν οὖν κοινὰ ταῖς τρισὶ δόξαις ἑπόμενα ἄτοπα. ἴδια δὲ ἕπεται ἄτοπα τοῖς λέγουσιν ἐκ τῆς συνόδου τῶν ε ἀστέρων γίνεσθαι τὸν κομήτην. ταῦτα πρῶτον μέν, ὅτι ἔδει τὸν κομήτην τότε γενέσθαι, ὅτε σύνοδος τῶν πλανήτων γίνεται. νῦν δ' ὁρῶμεν, ὅτι ὅτε σύνοδος τῶν πλανωμένων γέγονε, κομήτης οὐκ ἐφάνη, καὶ κομήτης ἐφάνη συνόδου μὴ γενομένης. ὡς ἐδήλωσάν τινες τῶν πλανήτων γινόμενοι. δεύτερον ἄτοπον, εἰ ἐκ τῆς μίξεως καὶ τῆς συνόδου τῶν ε πλανήτων λέγεται γίνεσθαι τὸν κομήτην, τί δήποτε μὴ καὶ ἀπλανῆ πλανωμένης μιγνύμενον λέγεται ποιεῖν κομήτην. τίς γὰρ ἡ ἀποκλήρωσις **); εἰ δὲ τοῦτο ἄτοπον. καὶ γὰρ πολλοὶ πλανῆται ὑπέδραμον ἀπλανῆ, ὡς Ἀριστοτέλης ἱστόρησε τὸν τοῦ Διὸς ὑποδραμόντα ἀπλανῆ τινα ἀστέρα τῶν διδύμων, καὶ ὅμως οὐ γέγονε κομήτης. πολλὴ δ' ἐστὶν ἡ μαρτυρία τούτου παρ' Αἰγυπτίοις. τρίτον ἄτοπον, εἰ τὰ τῇ φύσει ἀδιαίρετα συντιθέμενα οὐ ποιεῖ διαιρετόν. ὅσα γὰρ δήποτε ἐὰν συνθῇ σημεῖα, οὐδὲν πλέον ποιεῖ ἢ σημεῖον, ἔδει καὶ τὰ τῇ αἰσθήσει ἀδιαίρετα συντιθέμενα μὴ ποιεῖν διαιρετὸν τῇ αἰσθήσει. νῦν δ' ὁρῶμεν, ὅτι ὁ κομήτης μέγιστος πάνυ φαίνεται ὑπὲρ τὴν ἀναλογίαν τῆς συνθέσεως· πλὴν σεσόφισται ὁ λόγος, δύναται γὰρ πολλὰ τῇ αἰσθήσει ἀδιαίρετα ποιῆσαι διαιρετόν. τί οὖν λέγομεν; ὅτι πολλὰ συντιθέμενα. οὗτοι δὲ οἱ πολλὰ ἔλεγον συνέρχεσθαι, ἀλλ' ὀλίγα. πέντε γὰρ μόνον. πρὸς δὲ τὰς ἀνα-

*) Ald. δ' ἔλεγχος.

**) Cfr. ad Excerpt. I, 3, 10.

κλάσεις φησίν, ὅτι εἰ λέγεις διὰ τὰς ἀνακλάσεις γίνεσθαι τὴν κόμην, ἔδει, ἐν ᾧ τόπῳ μὴ δύναται γενέσθαι ἀνάκλασις, μὴ γενέσθαι κόμην. νῦν δ' ἱστόρηται ἐν παντὶ γενόμενος κομήτης. ὤπται γὰρ ἐν τῷ μεταξὺ τῶν τροπικῶν τοῦ ἰσημερινοῦ, ἅπερ εἰσὶν ἐγγὺς τῆς διακεκαυμένης τὴν ἀρχὴν ἔχων κομήτης. καὶ τί δήποτε ἔλεγεν ὁ Ἱπποκράτης μηδ' ἐν τῷ ζωδιακῷ διὰ τὴν ἔνδειαν τοῦ ὑλικοῦ μηδ' ἐν τῷ νοτίῳ. ἡλίου μὲν γὰρ ἐν τῷ βορείῳ ὄντος ἢ ἐν τῷ νοτίῳ γίνεσθαι κομήτην. οὗτοι καὶ οἱ ἰδιάζοντες ἔλεγχοι τῶν δύο ὑποθέσεων. Πυθαγόραν γὰρ οὐδὲν ἠξίωσεν ἰδία ἐλέγξαι, ὡς εἰς ἐλέγκτου*) ὄντος τοῦ εἰπεῖν κόμην ἐκ τῆς πέμπτης οὐσίας διαφθειρομένην. εἰ δὲ τοῦτο οὕτως, ἔστι κερδάναι τι. Ἀριστοτέλης τὸν γαλαξίαν τοῦ ἀέρος πάθος λέγει συνηγορικῶς. οὗτος γὰρ ἂν τὸν ἀεὶ ὡσαύτως ἔχοντα πάθος ἔλεγεν. ὃ ἐκ τοῦ μὴ ἀεὶ ὡσαύτως ἔχειν χαρακτηρίζειν τὰ ὑπὸ σελήνην. ἀλλ' ἡμεῖς μὲν διὰ τὸ σαφὲς πρῶτον τὰ κοινὰ εἰρήκαμεν ἄτοπα, εἶτα καὶ τὰ ἴδια ἑκάστης δόξης. ἑκάστῳ γὰρ τὸ οἰκεῖον ἀποδιδότες κατὰ τὸν ποιητὴν εἰπόντα**)·

Κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας Ἀγαμέμνων.

Ὁ δ' Ἀριστοτέλης συγκεχυμένος αὐτὰ παραδίδωσιν. Olymp. fol. 12, a — 13, a.

VI, 7. Καὶ φανερῶς δὲ ὄντων αὐτῶν καὶ μὴ πάντων φαινομένων] Τοῦτο φησὶ πρὸς τὴν δόξαν τὴν λέγουσαν σύνοδον. κομήτης γὰρ ἐφάνη φαινομένων τῶν πλανήτων ἢ ἁπάντων ἢ τινῶν. σὺ δὲ εἰπέ, ὅτι καὶ συνόδου μὴ γενομένης γεγόνασι κομῆται, καὶ γενομένης οὐκ ἐγένοντο. ἀλλὰ μὴν οὐδὲ τοῦτο ἀληθές, ὅτι ἐν τῷ πρὸς ἄρκτον τόπῳ γίνεται κομήτης μόνον. τοῦτο πρὸς Ἱπποκράτην λέγεται, ὅτι οὐκ ἐν μόνῳ τῷ βορείῳ γίνονται κύκλῳ κομῆται, ἀλλὰ καὶ ἐν τῇ διακεκαυμένῃ ἐγένοντο. ἐν δὲ τῷ ἰσημερινῷ ἐφάνησαν τὴν ἀρχὴν ἔχοντες, ὅστις οἷον κέντρον ἐστὶ ζωδιακοῦ· ἀλλ' εἰ μὴ φαίνεται ἡ διακεκαυμένη πῶς ἔχει ἐκεῖ γεγονέναι· ἢ λέγομεν, ὅτι ἐστοχά-

*) Ald. εὐλέγκτου. Cfr. Stallbaum ad Platon. *Apolog.* p. 33 C.

**) *Il.* β', 362. Ald. Ἀγάμεμνον.

σατο γενομένου αὐτοῦ περὶ τὴν ἀρχὴν τοῦ ἰσημερινοῦ, ὅτι πάντως καὶ τῆς διακεκαυμένης μέρος κρατεῖ; ἢ τὸ ἀληθέστερον εἰπεῖν γέγραπται τοῖς παλαιοῖς τὸ ποσὸν *) τῆς φαινομένης παραλλάξεως λοξῶς τῆς φαινομένης ἐποχῆς πρὸς τὴν ἀληθῆ ἐποχὴν καθ' ἕκαστον κλῖμα. καὶ ἐκ τούτου μᾶλλον εὗρεν, ὅτι ἐν τῇ διακεκαυμένῃ ζώνῃ ἐγένετο κομήτης· ὅτε γὰρ μέγας κομήτης ὁ γενόμενος πρὸς τὸν ἐν Ἀχαΐᾳ σεισμὸν καὶ τὴν τοῦ κύματος ἔφοδον (εἰκότως γὰρ μέλλοντος γίνεσθαι σεισμοῦ καὶ κατακλυσμοῦ ἐφάνη μέγας κομήτης, δι' ὃν πολλὴ ἦν ἡ καπνώδης ἀναθυμίασις) ἐνταῦθα σφοδρότατοι ἐγένοντο ἄνεμοι καὶ ὑπόγειοι καὶ ἀπόγειοι. διὰ μὲν τοὺς ὑπογείους γέγονεν ὁ σεισμός. διὰ δὲ τοὺς ἀπογείους ἀλλήλοις ἐξ ἐναντίων πνεύσαντας, ἐκορυφώθη ἡ θάλασσα καὶ ἐπήρθη εἰς ὕψος μέγιστον. εἶτα ἀπολήξαντος τοῦ ἑτέρου τῶν ἀνέμων ἐφημμένος ἐπαύσατο ὁ ἄνεμος, ἐπὶ ἐκεῖνον ἐξημέθη τὸ ὕδωρ καὶ γέγονεν ἐπικλυσμός. οὐδὲ γὰρ κατακλυσμὸς ἀπ' ὑετοῦ γίνεται. Olymp. fol. 13, a.

VI, 8. *Καὶ τοῦτο πρὸς Ἱπποκράτην. Δείκνυσι γάρ, ὡς ἐπὶ ἄρχοντος Εὐκλεοῦς* **) ἐγένετο κομήτης πρὸς ἄρκτον μηνὸς γαμηλιῶνος, τουτέστιν ἡλίου ὄντος ἐν τοῖς νοτίοις μέρεσι. τῷ γαμηλιῶνι γὰρ μηνὶ ἐν ὑδροχόῳ ἐστὶν ὁ ἥλιος. πῶς οὖν ἡλίου ὄντος ἐν τοῖς νοτίοις γέγονε κομήτης; ἀδύνατον γὰρ ὡς ἔλεγεν Ἱπποκράτης. γαμηλιὼν δὲ ἐλέγετο μὴν παρ' Ἀθηναίοις διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν γάμους ἐπιτελεῖσθαι. εὔλογον γὰρ ὤοντο τότε σπείρειν, ὅτε καὶ ἡ γῆ ἀρδεύεται. ἐπιτήδειος γὰρ ὁ καιρὸς πρὸς καρπῶν γένεσιν. Olymp. fol. 13, b.

VI, 10. *Καὶ ἐκ τῶν περὶ τὸν μέγαν κομήτην Ὡρίωνα* ***) *συμβεβηκότων, ἐφ' ἃ καὶ ὁ σεισμὸς καὶ ἡ τοῦ κύματος ἔφοδος*

---

*) *Πεσόν* Ald.

**) Ita Aldus consentiens cum codice Morelliano. Perversus accentus inde natus, quod minuscula litera utebatur scriba. Saepe vero sub minusculis litteris nomina propria latere docuit Schaeferus ad Plutarchum pluribus locis. Ita ex. gr. in *Dion.* c. 25 scribendum esse *καὶ Πρῶτος μὲν ὁ κυβερνήτης* (non *πρῶτος*). Adi Tom. IV. p. 312. V. p. 339. 445. 459.

***) Mirum loquendi genus: nisi fortasse scribendum *τὸν κατ' Ὡρίωνα*. Similis tamen est usus, nomina locorum, ubi proelia

γέγονε, τὴν αὐτὴν πίστιν ἐπάγεται τοῦ μήτε ἕνα τῶν πλανωμένων ἀστέρων εἶναι τὸν κομήτην, μήτε σύνοδον καὶ σύμφασιν ἅμα πάντων. ὡς ἔθος δὲ τοῖς παλαιοῖς ἐπισημειοῦσθαι τὰ τοιαῦτα πάθη καὶ αὐτὸς τὰ περὶ τὸν κομήτην ἐκεῖνον ἱστορεῖ γενόμενα. ὀφθῆναι μὲν γὰρ αὐτόν φησιν ἑσπέρας χειμῶνος ὄντος πάγων τε καὶ αἰθρίας καὶ τῇ μὲν πρώτῃ φησὶ οὐκ ὤφθη δηλονότι καθ' ἣν συνέστη ὡς τοῦ ἡλίου προδεδυκώς, ἢ συγκαταδὺς αὐτῷ δηλονότι. καθ' ἣν δὲ ἑσπέραν ὤφθη, δευτέρα μὲν ἦν τῆς συστάσεως αὐτοῦ, πρώτη δὲ τῆς φάσεως. ἐν ταύτῃ οὖν ὀφθῆναί φησιν αὐτὸν ὑπὲρ τὸν ὁρίζοντα χρόνον ἐλάχιστον. πρὸς δυσμαῖς γὰρ ἦν. διὸ καταδύντι τῷ ἡλίῳ μετ' ὀλίγον ἐπικατέδυ. συγκινοῦνται γὰρ οἱ κομῆται τῷ ὑπεκκαύματι καὶ τῷ ὑπ' αὐτὸ ἀέρι, ὅσος μὴ λιμνάζει μεταξὺ τῶν ὁρῶν. ταῦτα δὲ τῷ οὐρανῷ. ἀλλ' εἰ καὶ κατέδυ, φησίν, ἀλλ' οὖν τὸ φέγγος αὐτοῦ ὑπερήλατο τὸν ὁρίζοντα τοσοῦτον, ὥστε τὸ τρίτον ὑπὲρ γῆν ἡμισφαιρίου καταυγάσας, οἱονεὶ τῷ ὑδροχόῳ συνέδυνε. καὶ τὸ φῶς αὐτοῦ δύο ζώδια διϊκνεῖτο τούς τε ἰχθῦς τε καὶ τὸν κριόν. τοῦτο γάρ ἐστι τὸ τρίτον τοῦ ὑπὲρ γῆν μετὰ τῶν ἑκατέρωθεν παρανατελλόντων αὐτοῖς. οὕτω πολὺς ἦν τῷ μεγέθει τε καὶ τῇ δυνάμει. πόθεν δὲ ὅτι τῇ προτέρᾳ τῆς φάσεως αὐτοῦ συνέστη, ἐτεκμήρατο καλῶς ἐκ τοῦ τὴν αὐγὴν αὐτοῦ καταδεδυκότος, ἤδη τοσοῦτον ὑπεράλεσθαι, ὡς τὸ τρίτον καταυγάσαι τοῦ ὑπὲρ γῆν οὐρανοῦ. τὸν οὖν μὴ πρὸ ταύτης τῆς ἡμέρας τὴν αὐγὴν αὐτοῦ τὸν ὁρίζοντα ὑπεράλλεσθαι, τεκμαίρεται πρὸ μιᾶς τῆς φάσεως αὐτόν συστῆναι. κατ' ὀλίγον γὰρ καὶ οὐκ ἀθρόα τούτων ἡ ἔξαψις γίνεται. προϋπέστη ἄρα τῆς φάσεως. ἀλλ' οὐκ ἐφαίνετο μήπω παραλλάξας τὸν ἥλιον. μηδὲ τοσοῦτός πως γενόμενος ἴσως. τὸ δ' οἷον ἅλμα φησὶ τοσαύτη γέγονε τουτέστιν ἡ ταχυτὴς τῆς κινήσεως οὕτω κληθέν. ἢ διὰ τὸ δίκην ὁδοῦ λευκανθῆναι τὸν τόπον ἐκεῖνον, ἧ φησιν ὁ τὰ Ἀργοναυτικά *)

---

commissa sunt, per breviloquentiam pro ipsis proeliis ponendi; de quo conferendus Schaeferus ad Plutarch. Tom. V. p. 33. et p. 70.

*) Sc. γράψας. Sed nihil ego addam, quamvis desint exempla. Ad 1, 13, 11. fol. 23, b scripsit Ἀπολλ. ὁ τὰ Ἀργοναυτικὰ γράψας. Versus sunt Apollonii Rhodii I, 545 sq.

— — μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι
ἀτραπὸς ὡς χλοεροῖο διειδομένη πεδίοιο *).

εἰ δὲ ἐν χειμῶνι καὶ πάγοις ὁ κομήτης ἐφάνη καὶ τῷ ἡλίῳ συγκατέδυ. ἐν χειμεριναῖς ἄρα τροπαῖς ἦ περὶ ταύτας ὁ ἥλιος ἦν, καὶ σύνδρομος αὐτῷ ὁ κομήτης. εἰ οὖν ἐν αἰγοκέρωτι φέρε τὸν ἥλιον ὑποθώμεθα δύνοντος αὐτοῦ τότε πρῶτον ὁ κομήτης ἐφάνη, δῆλόν ἐστιν ὡς ἐν ὑδροχόῳ τότε ὑπῆρχεν ἢ περὶ τοὺς ἰχθῦς. ἐπανῆλθε δέ φησι μέχρι τῆς ζώνης τοῦ Ὡρίωνος, τουτέστι παρήλλαξε τὸν ἥλιον, ὑπολελειμμένος αὐτοῦ τρία καὶ πλέον ζώδια, ἰχθῦς **), κριόν, ταῦρον καὶ τῶν διδύμων τι μόριον. ὑπὸ τούτους γάρ ἐστιν ἡ ζώνη τοῦ Ὡρίωνος, ὑφ' ἣν γενόμενος ὁ κομήτης ἐλύθη. ἐν νότῳ δὲ κεῖται τῷ χειμερινῷ τροπικῷ ἡ τοῦ Ὡρίωνος ζώνη. οὐκοῦν ἐν τῷ νοτίῳ ἡμισφαιρίῳ ὁ κομήτης συνέστη. εἰ γὰρ καὶ συγκινοῦνται τοῖς οὐρανίοις ὅ τε ἀὴρ καὶ τὸ ὑπέκκαυμα, ἐν ᾧ γίνεσθαι τοὺς κομήτας ἀνάγκη, ἀλλ' οὐ πάντως ἰσοδυναμοῦσιν αὐτοῖς· διὸ παρήλλαξε τὸν ἥλιον ὁ κομήτης μέχρι τῆς ζώνης τοῦ Ὡρίωνος ὑπολειφθείς. Philopon. fol. 97, a.

VII, 3. Τὸ συμπέρασμα †). ἐὰν γάρ φησιν αὗται πᾶσαι αἱ ὑποθέσεις συνδράμωσι, κομήτης γίνεται. ἀλλὰ πρὸς τὸ διάφορον σχῆμα τοῦ ἐκκαιομένου καὶ τὸ σχῆμα τοῦ κομήτου γίνεται. ἢ γὰρ καὶ κατὰ μῆκος καὶ κατὰ πλάτος γίνεται ἔξαψις καὶ καλεῖται κυρίως κομήτης, ὃν φαίης φλόγα πολυχρόνιον. ἢ κατὰ μῆκος μόνον καὶ καλεῖται δοκίας ††). τοιοῦτοι

*) Ald. δι' ἡδονὴν πεδίον.

**) Ἰχθύς Ald.

†) Post enumeratas scilicet quinque conditiones.

††) Cfr. auctorem libri *de mundo* c. 2. §. 9: ἐν δὲ τῇ πυρώδει καὶ ἀτάκτῳ λεγομένῃ, τά τε Σέλα διάττει, καὶ φλόγεις ἀκοντίζονται, καὶ Δοκίδες καὶ Βόθυνοι καὶ Κομῆται λεγόμενοι στηρίζονται καὶ ἀβέννυνται πολλάκις, ubi vide Kapp. et Harduin ad Plin. *Histor. natur.* II, 26. p. 90. Seneca *Quaest. nat.* I, 15, 4 dubitat, an *trabes* inter cometas referendae sint. cfr. VII, 5, 1. Adde Schaefer ad *Schol. Parisin.* Apollon. Rhod. II, 1088. p. 206.

γὰρ καὶ οἱ δοκοί, καὶ εἴποις ἐνταῦθα δαλὸν πολυχρόνιον. ἢ καὶ κατὰ βάθος ἔχει τὴν ἔξαψιν, καὶ οἱονεὶ ἀποσπινθηρίζει καὶ καλεῖται πωγωνίας, ὡς οὐδὲν ἄλλο ἐστὶν ἢ ἐξ ἐπιμονεῖς *). Olymp. fol. 14, b.

Εἰρηκώς, ποίαν ἔχειν δεῖ συμμετρίαν τὴν ὕλην ἐξάπτεσθαι μέλλουσαν εἰς κομήτου γένεσιν, λέγει νῦν καὶ τὴν ποιητικὴν αἰτίαν, ὁποίαν εἶναι χρεών· ἣν ἀρχὴν ἐκάλεσε πυρώδη ὅτι σύμμετρον καὶ αὐτήν, ὡς μήτε θᾶττον ἐκδαπανῆσαι τὴν ὕλην διὰ τὴν σφοδρότητα, μήτε ὑπ' αὐτῆς ἀποσβεθῆναι διὰ τὴν ἀσθένειαν αὐτῆς καὶ ἀμυδρότητα. δῆλον οὖν, ὅτι ἀρχὴν λέγει τὸ πρῶτον ἐξαφθὲν τῆς ἀναθυμιάσεως μόριον. πόθεν δὲ ἡ πυρώδης αὕτη γίνεται ἀρχή, πολλάκις εἶπεν ὅτι διὰ τὴν ἄνωθεν κίνησιν. εἴτε γὰρ πολλὴ λίαν καὶ σφόδρα τις ἡ ἔξαψις, ταχέως ἐκκαίει τὴν ὕλην καὶ ἐκδαπανᾶται, καὶ ἐπὶ πολὺ διάστημα χωρεῖ καίουσα ταύτην. τοῦτο δὲ φλόγας οὐ κομήτην ποιεῖ, περὶ ὧν ἤδη γέγραφεν. ὅμοιον, ὡς εἰ μεγίστη φλὸξ εἰς κλη̃ματίδας ὀλίγας, ἢ εἰς λεπτὸν ἐμπέσοι στυπεῖον. θᾶττον γὰρ ἐκδαπανήσει ταῦτα. εἴτε ἀσθενὴς ἡ πυρώδης ἀρχὴ εἴη, τοὔμπαλιν ὑπὸ τῆς ὕλης αὕτη πνιγομένη σβέννυται πάσχουσα μᾶλλον ὑπὸ τῆς ὕλης, καὶ οὐκ εἰς αὐτὴν δυναμένη μέγα τι δρᾶν. ὡς εἰ μικρὰ φλὸξ εἰς ἔλαιον ἐμπέσοι πολύ, ἢ πλῆθος ξύλων ἢ μέγεθος ἢ πυκνότητα. δυσκατέργαστα γάρ ἐστι τὰ τοιαῦτα. δεῖ οὖν καὶ αὐτὴν ἐκφεύγουσαν τῶν ἀμετριῶν τούτων ἑκατέραν, μέσην πως εἶναι μήτε νικωμένην ὑπὸ τῆς ὕλης, μήτε λίαν αὐτὴν ὑπερβάλλουσαν. οὕτω γὰρ ἔχουσα τὸν κομήτην ποιήσει. δεῖ δέ φησι καὶ κάτωθεν ὕλην ἄλλην ἐπαναβαίνειν εὔκαιρον, τουτέστιν ἐπιτηδείαν εἰς ἔξαψιν, ὡς ἀναπληροῦν τὴν δαπανωμένην τοῦ κομήτου ὕλην, καὶ τῇ ποιητικῇ δυνάμει χορηγίαν παρέχειν εἰς ἐργασίαν, ἵν' οὕτω πλείονα χρόνον διαμείνῃ τὸ πάθος. τοιαύτη τις ἡ τῶν κομητῶν ὑπάρχει σύστασις. καινότερον μὲν οὖν ὅλον τὸ τοιοῦτον γένος κομήτας ἐπονομάζουσιν. ἀρχόμενος γοῦν ὁ Ἀριστοτέλης τοῦ λόγου, περὶ αὐτῶν οὕτως εἰρηκεν· περὶ δὲ τῶν κομητῶν ἢ **) τοῦ καλουμένου

*) Quae quid sibi velint, equidem non intelligo.

**) Sic exhibetur.

γάλακτος. ἰδικώτερον δὲ καὶ τούτων ἕκαστος τῷ σχήματι τῆς ἀναθυμιάσεως πρέπον εἴληφεν ὄνομα. εἰ μὲν σφαιροειδὴς ἡ ἀναθυμίασις οὖσα τύχοι μικρῶν αὔτη παρηρτημένων ἔξωθεν τοιούτων συστάσεων, ἰδικώτερον τὸ σχῆμα τοῦτο καλεῖται κομήτης, ἐπειδὴ κόμῃ προσέοικεν. ἐξ οὗ πλεονάζοντος καὶ πόντας οὕτω καλοῦσιν. ἐὰν δὲ ἐπιμήκης εἴη καὶ μόνον, δοκίας καλεῖται. τριγωνίζουσα δέ, πωγωνίας ὠνόμασται. πιθίας δέ τις ἕτερος καὶ ἄλλος ἄλλοθεν ἄλλο τι συμφώνως τῷ σχήματι. Philopon. fol. 98, a.

VII, 4. Τὴν πρὸς ἄλληλα διαφορὰν τῶν κομήτων καὶ τῶν διαττόντων διδάσκει καὶ νῦν. ὥσπερ γάρ φησιν ἡ φορὰ τῆς τοιαύτης ἀναθυμιάσεως καθ' ὃν εἴρηται γινομένη τε καὶ ἐξαπτομένη τρόπον, ἀστέρος εἶναι δοκεῖ διαδρομή τε καὶ κίνησις, ὅπερ ἐκαλεῖτο διάττων. οὕτω καὶ ἡ μονὴ τῆς ἐξάψεως τῆς τοιαύτης, ἔδοξε τοῖς ὁρῶσιν ἀστέρος εἶναι μονή. τοῦτο δέ εἰσιν οἱ κομῆται γενικώτερον οὕτω καλούμενοι. πάλιν δὲ τὸ γινόμενον διδάσκει πάθος δι' ὑποδείγματος. ὡς γὰρ εἰς ἀχύρων φησὶ θημῶνα δαλὸν ὠθήσειέ τις, ἢ μικρά τις ἀρχὴ τούτῳ πυρὸς ἐμπέσοι, οἷον σπινθήρ, βραχύ τι τούτων ἐξάψειε τὸ πρῶτον ἐξαφθὲν τῶν ἀχύρων μέρος τῷ ἑξῆς μεταδίδωσι, καὶ τούτῳ τὸ μεταξὺ τοῦ πρῶτον ἐξαφθέντος σβεννυμένου διὰ τὴν λεπτότητα τῆς ὕλης καὶ οὕτως ἐφεξῆς, ἕως ἂν ἐξαφθῇ τὸ ἐπιτήδειον ἅπαν καὶ λοιπὸν μηκέτι εἴη τὸ ἐξαπτόμενον. τοῦτο δὲ τοῖς μὲν πλησιάζουσι δῆλόν ἐστι, πῶς γίνεται. τοῖς δὲ πόρρωθεν βλέπουσιν μιᾶς φλογὸς κίνησις εἶναι δοκεῖ καὶ διαδρομή. τοῦτο καὶ ἐπὶ τῶν διαττόντων συμβαίνει. διὰ γὰρ τὴν εὐφυΐαν φησὶ τοῦ ὑπεκκαύματος τουτέστι τὴν ἐπιτηδειότητα τὴν πρὸς ἕξαψιν, ἄλλο μετ' ἄλλο τούτου μέρος ἐξαπτόμενον κατὰ συνέχειαν, τοῦ τε προεξαφθέντος σβεννυμένου διὰ τὸ ῥᾳδίως δαπανᾶσθαι εἰς ἀστὴρ ἐπί τι μῆκος διατρέχειν δοκεῖ. ἀρχὴ μὲν οὖν ἐστι τῆς δοκούσης κινήσεως τό, ὅθεν ἤρξατο καίεσθαι, τέλος δὲ τό, ὅπη παύεται διὰ τὸ μὴ εἶναι λοιπὸν ἐπιτηδείαν ὕλην πρὸς ἕξαψιν. εἰ δέ, ἐν τῷ διατρέχειν τὴν φλόγα, ἐμπέσῃ πυκνοτέρα τις καὶ παχεῖα ὕλη καὶ στέγειν δυναμένη τὸ τοῦ πυρὸς εἶδος, τοῦ μὲν διάττοντος τοῦτό ἐστι πέρας, τοῦ κομήτου δ' ἀρχή. μένει γὰρ ἡ φλὸξ ἐν τούτῳ λοιπὸν ἐπὶ χρόνον

τινὰ διά τε τὸ πλῆθος τῆς ὕλης καὶ τὴν πυκνότητα, καὶ διὰ τὴν ἐπὶ πολὺ κάτωθεν χορηγουμένην ἀναθυμίασιν τῷ κομήτῃ καὶ προστιθεμένην αὐτῷ δίκην τροφῆς καὶ ἀναπληροῦσαν τὸ διαπεφορημένον τῆς προεξαφθείσης ὕλης αὐτοῦ. Τὸ δὲ γένοιτ' ἂν ἀρχὴ τῆς φορᾶς, ἢ τελευτὴ τῆς διαδρομῆς. Τὸ τέλος φησὶ τῆς τοῦ διάττοντος διαδρομῆς, τέλος ἔχων ἔνθα πυκνότης ὑπήντησεν ὕλης ἀρχὴ τῆς φορᾶς ἐστι τοῦ κομήτου, τουτέστι τοῦ καίεσθαι τὴν ὕλην αὐτοῦ ἀρχὴ ἔτι*). καὶ ἐπὶ τούτου γὰρ ἐπινέμεται τὴν ἐφεξῆς ἡ προλαβοῦσα καὶ φερομένη τὸ ἐπιτήδειον ἐξάπτει, ἀλλὰ διὰ τὴν πυκνότητα τῆς ὕλης. οὔτε τὸ ἐφεξῆς ῥᾳδίως ἐξάπτεται τὸ προλαβὸν ἑτοίμως ἀπομαραίνεται. διόπερ οὐδὲ κινήσεως φαντασία τις ἡμῖν ὑποπίπτει. ἢ οὖν ἀρχὴ τῆς φορᾶς εἶπεν, ἤτοι τῆς κινήσεως τοῦ κομήτου μετὰ τοῦ παντὸς ἀρχή, ἢ ἁπλῶς τῆς ὑπάρξεως αὐτοῦ καὶ εὐπορίας ὕλης ἀρχή. τὸ γὰρ πολλοὺς γεγονέναι καρποὺς, φορὰν καρπῶν λέγομεν καὶ ἐπὶ τῶν χειρόνων ὁμοίως. Μένανδρος. φορὰ γὰρ νῦν τούτου γέγονε καλή, διοτιδήποτε**). συμπεραίνων δὲ τὰ εἰρημένα φησὶ τοιοῦτον ὁ κομήτης ἐστὶν ἀστήρ, ὥσπερ διαδρομὴ ἀστέρος ἔχων ἐν ἑαυτῷ πέρας καὶ ἀρχήν. ὁ κομήτης φησὶν ἀστήρ, οἷον ἀστέρος ἐστὶ διαδρομή. τουτέστι διάττων ἐστὶ τὴν ἀρχὴν ἔχων καὶ τὸ πέρας [ἐν ἑαυτῷ] τῆς ἐκκαύσεως μόνον ἐν ἑαυτῷ καὶ μὴ σβεννύμενον. ἐπὶ γὰρ τοῦ διάττοντος ἐξαπτόμενον εὐθὺς σβέννυται. τὰ γὰρ ἐν κινήσει τὸ εἶναι ἔχοντά ἐστι τοιαῦτα, οὔτε τὴν ἀρχὴν τῆς κινήσεως ἐν ἑαυτοῖς οὔτε τὸ πέρας ἔχοντα. ἐν τῷ γίνεσθαι γὰρ καὶ φθείρεσθαι πᾶσα ἡ κίνησις ἔχει τὸ εἶναι. μόνον δέ τι μόριον αὐτῆς παντελῶς ἐστιν οὐδέν, ὡς οὐδὲ τοῦ χρόνου οὐδὲ τῆς φθορᾶς. ὁ δὲ κομήτης ἐν ἑαυτῷ ἔχει καὶ τὸ πρῶτον ἐξαφθὲν καὶ τὸ ἔσχατον μένοντα καὶ σωζόμενα. οὐκοῦν ὁ κομήτης διάττων ἐστὶν οὐ κινούμενος, ἀλλὰ μένων, καὶ τὴν ἀρχὴν καὶ τὸ πέρας τῆς ἐξάψεως ἔχων ἐν ἑαυτῷ. Philopon. fol. 98, b.

*) Quae ego verba minime intelligo.

**) Cfr. Menandri *fragm.* ed. Meineke. fr. 231. p. 260. De usu vocabuli conferri etiam potest Irmisch ad Herodian. I, 2, 7. p. 797—800, ubi καιρῶν φορά, quae πολύ τι πλῆθος ἀνδρῶν σοφῶν ἤνεγκε.

VII, 8. Ἐντεῦθεν κατεσκεύασεν, ὅτι πυρώδης αὐτῶν ἐστιν ἡ οὐσία, ὡς δηλοῖ τὸ αὐχμοὺς καὶ σεισμοὺς καὶ ἀνέμους τῶν κομήτων προηγεῖσθαι, ἀλλὰ μὴν καὶ τὸ ἐπακολουθεῖν. ταῦτα γὰρ γίνονται διὰ τὴν καπνώδη ἀναθυμίασιν πλεονάζουσαν. Olymp. fol. 15, a.

VII, 9. Ἐπὴν καὶ ὅτε ὁ ἐπὶ Αἰγὸς ποταμοῖς ἐνέπεσε λίθος*)] Τόπος δέ ἐστι περὶ τὴν Θράκην. τότε δὲ τοσαύτη ἦν ἀναθυμίασις ἡ καπνώδης, ὥστε καὶ ἀπὸ τοῦ ὄρους μετεωρισθῆναι λίθον καὶ ἐν τῇ πεδιάδι καταρρηχθῆναι. καὶ οὐ θαυμαστὸν τοῦτο. οἱ γὰρ ἄνεμοι καὶ τὰ πρόρριζα δένδρα ἀποσπῶσιν. Olymp. fol. 15, a.

VIII, 1. Ἀριστοτέλης καὶ ἐπὶ τὸν γαλαξίαν διὰ τρεῖς αἰτίας· ἦν**) ὅτι τῷ μᾶλλον καὶ ἧττον ταύτῃ ἀλλήλων διαφέρουσιν. ὁ γὰρ κομήτης περὶ κύκλον ἑνὸς ἀστέρος, τοῦτο γαλαξίας περὶ κύκλους πλειόνων ἀστέρων. ἢ ὅτι κατήντησεν ὁ περὶ κομήτου λόγος εἰς τὸν γαλαξίαν· πρὸς γὰρ τῷ πέρατι ἔφη σπανίως φαίνεσθαι τὸν κομήτην διὰ τὸ πᾶσαν τὴν καπνώδη ἀναθυμίασιν εἰς τὸν γαλαξίαν ἐκδαπανᾶσθαι. τρίτον, ὅτι ὥσπερ ἀπὸ τῶν ὀλιγοχρονίων Ἀριστοτέλης, φλογῶν φημι καὶ δαλῶν καὶ διαττόντων, μετῆλθεν ἐπὶ τὰ πολυχρόνια, οἷον ἐπὶ κομήτην, οὕτω καὶ ἀπὸ τῶν πολυχρονίων μέτεισιν ἐπὶ τὰ πολυχρονιώτατα· περὶ δὲ τοῦ γαλαξίου διαλεγόμενος πρότερον τὰς ψευδεῖς δόξας διελέγχει καὶ οὕτως ὕστερον τὴν ἑαυτοῦ παραδίδωσι. καὶ ἀμείνους ἐντεῦθα οἱ διωκόμενοι τοῦ κατηγόρου· πάντες γὰρ βούλονται ἐν τῷ οὐρανῷ εἶναι γαλαξίαν, μόνος δὲ Ἀριστοτέλης κακῶς διαπραττόμενος ἐν τῷ ἀέρι αὐτόν φησιν εἶναι· ἔστι δὲ ἀπορῆσασθαι ὑπὲρ Ἀριστοτέλους, ὅτι οὐδὲ αὐτὸς περὶ τούτου ἀποφαίνεται· λέγει γὰρ εὔλογον δέ ἐστιν ἴσως ὑπολαβεῖν†).

*) Ita Aldus.

**) Scribe τὸν περὶ κομ. λόγ. ut paulo post.

***) Scr. ἤ pro ἦν.

†) Respicit aperte ad §. 19. Sed ibi quamvis similia, haec tamen verba non occurrunt. ἴσως est, quod ibi dicitur τὸν αὐτὸν τρόπον. vid. supra ad Excerpt. I, 3, 4. (Philop. p. 79, a).

τοῦτο δὲ ἐνδοιαστικόν ἐστιν, ὡς τὸ πιθανόν, ἀλλ' οὐ τὸ ἀληθὲς ἔχον. λοιπὸν δὲ καὶ ἐκ τῶν ἐν ἀρχῇ εἰρημένων, ὧν τὰ μὲν ἀποροῦμεν περὶ γαλαξίου *), τῶν δὲ ἐφαπτόμεθά τινα τρόπον· τὸ γὰρ ἀποροῦμεν ἐπὶ τοῦ γαλαξίου εἴρηται· εἰ δὲ καὶ ὡς ἀπὸ τοῦ οἰκείου προσώπου τὸν λόγον προφέρεται, οὐχ ὅτι ταύτης ἐστὶ δόξης, ἀλλὰ διὰ τοῦ οἰκείου προσώπου ἐμβριθεστέραν καὶ γενναιοτέραν τὴν τῶν ἑτεροδόξων ὑπόληψιν καταστῆσαι βουλόμενος· τῶν δὲ περὶ γαλαξίου ψευδῶν δόξων δ' **) οὐσῶν, δύο Πυθαγόρειοί εἰσι. τῶν δὲ ἄλλων ἡ μὲν Ἀναξαγόρειός ἐστιν, ἡ δὲ Δημοκρίτειος, ἡ δὲ λοιπὴ Ἱποκράτειος ***). ἐστὶ δὲ ἡ πρώτη τοιαύτη. Φαέθων φησὶν ὁ ἀπὸ Ἡλίου καὶ Κλυμένης ἥτησε τὸν ἴδιον πατέρα παραδοῦναι αὐτῷ τὸ ἅρμα, ἐφ' ᾧ ἡνιοχεῖται· ἐπείσθη, ἔδωκεν· ἔλαβεν, ἀτεχνῶς ἤλασεν, ἐλάσας κατέφλεξε· καὶ ὁ τόπος ὁ καταφλεχθεὶς ἐστιν ὁ γαλαξίας· ἀλλ' ἐπειδὴ μυθῶδες τὸ λεγόμενον, ἄτοπον †) δὲ μυθώδη ταῦτα νομίζειν, Πυθαγορείου τῆς δόξης καθεστηκυίας, φέρε ταύτην ἀλληγορήσωμεν οὕτως· ὁ Φαέθων κομήτης. παῖς δὲ Ἡλίου ἐπωνομάσθη ἀπὸ ἡλίου, ὥσπερ πανάγαθον ἀπὸ τοῦ θείου· οὗτος ἥτησε τὸν ἥλιον ἡνιοχῆσαι, ἀντὶ τοῦ ἠφίετο τῆς κινήσεως τοῦ ἡλίου κύκλῳ γινομένης· διὸ καὶ αὐτὸς κύκλῳ ἐκινήθη τοῦ ὑπεκκαύματος ὑπὲρ φύσιν τῷ παντὶ συγκινηθέντος· κινηθεὶς δὲ κατέφλεξεν, ἀντὶ τοῦ αὐχμιῶν αἴτιος ἐγένετο· τοιοῦτος γὰρ καὶ ὁ κομήτης ††)· τοῦτόν φησιν ὁ Ζεὺς ὀργισθεὶς ἐκεραύνωσε. δι' ἣν αἰτίαν; ὡς τοῦ αἰθέρος ἄρχων κατὰ τὸ εἰρημένον †††)·

Ζεὺς δὲ λάχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν·

Ἐκεραύνωσε δὲ αὐτόν, ἀντὶ τοῦ ὑπὸ τῆς ἀτμίδος

*) Verba περὶ γαλαξίου delenda videntur, ex sequentibus inepte inculcata.

**) Alterum δέ post δόξων delendum videtur, aut δ' numerus inferendus, quod mallem. Anaxagorae enim et Democriti opiniones paulo post (vid. p. 200) ab ipso Olympiodoro coniunguntur.

***) Ald. Ἱπποκράτει.

†) Vide tamen Commentar.

††) Cfr. Comment. ad I, 7, 8.

†††) Hom. *Iliad.* XV, 192.

κατέσβεσε. διὸ καὶ ἐν τῷ Ἠριδανῷ τοῦτον λέγουσι πεπτωκέναι, τουτέστιν κατὰ τῆς ὑγρότητος καταβαπτισθῆναι· ὀδύρεσθαι δὲ αὐτόν φασι τὰς Ἡλιάδας ἀντὶ τοῦ τὴν ἀτμίδα ἐξ αὐτοῦ καταρρεῖν ὑδατώδη οὖσαν οἷα καὶ τὰ δάκρυα· εἰς αἰγύρους δὲ λέγουσι ταύτας μεταβληθῆναι, διότι ἀπὸ τῶν αἰγύρων ὀπὸς καταρρεῖ ὅμοιος τῷ ἠλέκτρῳ· τὸ δὲ ἤλεκτρον χρυσοφανές· ὁ δὲ χρυσὸς ἡλίῳ ἀνάκειται *). τὴν οὖν ἀτμίδα ὡς τῷ ἡλίῳ συμπράξασαν αὐτῷ ἀντιθέασιν· αὕτη πρώτη Πυθαγόρειος δόξα. ταύτης ὡς μυθώδους παρασιωπᾷ ὁ Ἀριστοτέλης ἔλεγχον. τὸ γὰρ καταδήλως ἐλεγχόμενον περιττὸν εἰς ἐξέτασιν προφέρεσθαι· διὸ καὶ μόνας τρεῖς ἐν τῷ πέρατι λέγει δόξας ὡς ἂν μηδὲ λογισάμενος ταύτην. δευτέρα δόξα καὶ αὕτη Πυθαγόρειος οὖσα· ἔχει δὲ οὕτως· ὁ ἥλιός ποτε μὴ τὴν τοῦ ζωδιακοῦ καὶ κατὰ φύσιν ὁδὸν βαδίσας, ἀλλ' ἑτέραν ἁρπὸν διανύσας ἐξεπύρωσεν αὐτὴν καὶ ὥσπερ λεωφόρον ὁδὸν ὑπὸ ἁμάξης κατετριβεῖσαν εἰργάσατο· καὶ ἐκεῖνος ὁ τόπος ἐστὶν ὁ γαλαξίας ὀνομαζόμενος. ἀλλά φησιν ἄτοπος **) ὑπόθεσις· ἔδει γὰρ τὸν ζωδιακὸν μᾶλλον γαλαξίαν εἶναι, ἐπειδὴ δι' αὐτοῦ τὴν πορείαν ἀεὶ ὁ ἥλιος ποιεῖται. ἔστι δὲ προσευπορῆσαι ***) τῇ λέξει καὶ ἡμᾶς τοιοῦτον ἐπιχείρημα· ἄτοπόν ἐστι τὸ εἰπεῖν τὸν ἥλιον ἀλεῖψαι τὸν τόπον †). τὰ γὰρ ἔχοντα συνεχῆ τὴν κίνησιν συνέχει κατὰ

*) Cfr. infra ad libr. III. fol. 56, b: *ἡλίῳ δὲ τὸν χρυσὸν (ἀνακεῖσθαι φησιν ὁ Ἡρόκλος) ὡσανεὶ πηγῇ φωτὸς ὄντι.* Eustath. ad *Iliad.* II. p. 25: *τῷ ἡλίῳ ὁ χρυσὸς ἀνατίθεται.* Schol. Pindar. *Isthm.* V, 2: *ἑκάστῳ τῶν ἀστέρων ὕλη τις ἀνάγεται, ἡλίῳ μὲν ὁ χρυσός* et q. s. Vide, quae ad ista Olympiodori verba laudabimus.

**) Fort. *ἄτοπος ἡ ὑπόθεσις.*

***) Cfr. Lobeck. ad Phrynich. p. 595.

†) Quod argumentum adeo obvium, ut iure mireris Aristotelem eo non usum esse. Fuitne iam illis temporibus incertus fortasse aliquis rumor de Eclipticae mutatione ab aliis populis, Aegyptiis vel Chaldaeis ad Graecos perlatus? Utrum Pythagoras, an Oenopides Chius, an Anaximander primus statuerit, solem obliquo per caelum itinere incederè, iam apud veteres disceptabatur. cfr. Plin. *Hist. nat.* II, 68. Plut. *Plac. Philos.* II, 12. Tom. IV. p. 575 ed. Wyttenb. Anatolii *fragmentum* apud Fabric. *Bibl. gr.* Vol. III. p. 464. ed. Harles.

ῥυθμιὸν τὸ ὑποκείμενον· καὶ οὐδέποτε τοῦτο ἀμείβει· εἰ γὰρ ἀμείψει, οὐκέτι τὸ συνεχὲς τῆς κινήσεως διασώζεται· τρίτη δόξα Ἀναξαγόρειος καὶ Δημοκρίτου· οὗτοί φασι τὸν γαλαξίαν εἶναι τὸ ἴδιον φῶς τῶν ἀστέρων τῶν μὴ φωτιζομένων ὑπὸ τοῦ ἡλίου· ἔχουσι γάρ φησι τὰ ἄστρα τὸ ἴδιον φῶς καὶ ἐπίκτητον τὸ ἀπὸ τοῦ ἡλίου. καὶ δηλοῖ ἡ σελήνη· ταύτης γὰρ ἕτερον μὲν τὸ ἴδιον φῶς, ἕτερον δὲ τὸ ἀπὸ ἡλίου· τὸ γὰρ ἴδιον αὐτῆς φῶς ἀνθρακῶδές ἐστιν *), ὡς δηλοῖ ἡμῖν ἡ ἔλλειψις αὐτῆς· ἀλλ' οὐ πάντα φησὶ τὸ ἐπίκτητον δέχονται· τὰ οὖν μὴ δεχόμενα ἐκεῖνα τὸν κύκλον τοῦ γαλαξίου ἀπεργάζονται. ἐλέγχει δὲ καὶ ταύτην τὴν δόξαν Ἀριστοτέλης τρισὶν ἐπιχειρήμασιν, ὧν τὸ πρῶτον τοῦτον ἔχει τὸν τρόπον· ὁ γαλαξίας ἀεὶ ὡσαύτως φαίνεται μήτε τὸν τόπον μήτε ἄλλο τι ἐναλλάττων· ἀλλὰ μὴν ὁ ἥλιος οὐκ ἀεὶ τῶν αὐτῶν ἄστρων τὸ αὐτὸ διάστημα ἀπέχει, εἰ καὶ δῶμεν ὅτι τινὰ οὐ φωτίζει· ἀλλ' οὖν τὰ αὐτὰ οὐ φωτίζει ἀεί, ἀλλὰ διάφορα διὰ τὸ διάφορον αὐτοῦ μέτρον τῆς ἀποστάσεως. εἰ δὲ τοῦτο ἀληθές, ἔδει μὴ ἐν τῷ αὐτῷ τόπῳ ἀεὶ ὁρᾶσθαι τὸν γαλαξίαν. ἀλλὰ μὴν ἐν τῷ αὐτῷ ὁρᾶται· ἄτοπος ἄρα ἡ ὑπόθεσις. δεύτερον ἐπιχείρημα. ὁ ἥλιος πάντα φωτίζει τὰ ἄστρα, οὐκοῦν καὶ τὸν κύκλον τοῦ γαλαξίου. ἄτοπον γάρ τινα τηλικοῦτον κύκλον ὄντα τοῦτον τὸν γαλαξίαν ὑπὸ τοῦ κύκλου τοῦ κώνου τῆς σκιᾶς τῆς γῆς οὐ φθάνειν ἐπισκοτίζεσθαι, ὥστε μὴ συγχωρεῖν τὸ ἀπὸ τοῦ ἡλίου φῶς ἐπὶ τὸν γαλαξίαν κινεῖσθαι. τρίτον ἐπιχείρημα. εἰ ὁ κῶνος τῆς σκιᾶς τῆς γῆς οὐ φθάνει μέχρι τῆς ἡλιακῆς σφαίρας (μόλις γὰρ ἐφάπτεται τῆς ἑρμαϊκῆς σφαίρας ὁ κῶνος τῆς σκιᾶς καὶ οὐδέποτε αὐτὸν σκοτίζει. ὁρῶμεν δὲ τὸν ἥλιον καὶ τὸν γαλαξίαν μηδέποτε σκοτιζόμενον· δῆλον ὅτι ἀνωτέρω ἐστὶ τῆς σεληνιακῆς σφαίρας, εἴ γε αὐτὴ σκοτίζεται), οὐδὲ τὸν γαλαξίαν σκοτίσει πολλῷ τοῦ ἡλίου ὑπερέχοντα· ὅτι δὲ μείζων καὶ ἐκ πλείονος διαστήματος ὁ κῶνος τῆς σκιᾶς τῆς γῆς τοῦ κύκλου τοῦ ἡλίου δῆλον. δέδεικται γὰρ ἐν ἀστρονομίᾳ **), ὅτι εἴκοσι

*) Cfr. Olymp. fol. 7, b. 8, b. quae verba adscripsimus ad I, 3, 10. 19.

**) Hinc patet Olympiodorum Aristotelis verba de quovis libro ce-

μέρη ἀπέχει ὁ ἥλιος ἀπὸ τοῦ κέντρου ὅ ἐστι τῆς γῆς· τούτων δὲ τῶν εἴκοσιν ἡ διάμετρος τοῦ κώνου τῆς γῆς ἔχει *), ὡς ἀπὸ τῆς γῆς μέχρι τοῦ κώνου αὐτῆς πέντε εἶναι· ἡ δὲ σελήνη ἀπὸ τῆς γῆς ἓν ἀπέχει, ὡς εἶναι ἐπάνω τῆς σελήνης τὸν κῶνον τῆς γῆς τέσσαρσι μέρεσιν· ὅλος γὰρ ὁ κῶνος πέντε ἐστὶ μερῶν ἤτοι μοριῶν, ὡς**) θέλῃς εἰπέ, ὧν ἡ σελήνη ἓν ἀπέχει, ὁ δὲ ἥλιος ἀπὸ τοῦ κέντρου εἴκοσιν ἀπέχει. ἀπὸ δὲ σκιᾶς τοῦ κώνου δέκα πέντε μέρη ἀπέχει, ἐννεακαίδεκα δὲ ἀπὸ σελήνης· εἰ δὲ τοῦτο καὶ τόσον ἀπέχει, οὐδέποτε ἡ σκιὰ μέχρι τούτου φθάνει. εἰ δὲ μὴ μέχρι αὐτοῦ, οὐδὲ μέχρι τοῦ γαλαξίου πολλῷ ὑπεράνω ὄντος· ἐν τῇ ἀπλανεῖ γάρ ἐστι· τοῦτο καὶ τρίτον ἐπιχείρημα. Τετάρτη δόξα Ἱπποκράτους τοῦ Χίου. οὗτός φησι τὸν γαλαξίαν γίνεσθαι ἀνακλάσεως γενομένης πρὸς τὸν ἥλιον, ἀλλ' οὐκ ἀνακλάσεως ἀπὸ ἀτμίδος, καθάπερ ἔφαμεν ἐπὶ τοῦ κομήτου, ἀλλ' ἀπὸ ἀστέρων. φέρεται οὖν φησιν ἡ ὄψις πρὸς τοὺς ἀστέρας καὶ ἐκεῖθεν ἀνακλᾶται πρὸς τὸν ἥλιον καὶ οὕτως φέρεται πρὸς ἡμᾶς· οὕτως ὁ Ἱπποκράτης. ἐλέγχει δὲ αὐτὸν δυσὶν ἐπιχειρήμασιν. ἔστι δὲ τὸ πρῶτον τοιοῦτον· τί δήποτε ἀεὶ ὁ γαλαξίας ὡσαύτως φαίνεται ἔχων; ἐπὶ γὰρ τῆς ἀνακλάσεως εἰ μὲν τὸ ὁρῶν καὶ τὸ ὁρώμενον καὶ τὸ ἔνοπτρον ἠρεμοίη, ἀεὶ καὶ ὡσαύτως φαίνεται ἔχον τὸ ὁρώμενον. εἰ δέ τι τούτων κινηθείη, οὐχ ὡσαύτως. ἀλλὰ μὴν ἐνταῦθα τὸ μὲν ὁρῶν μόνως ἠρεμοῦν, οἱ ἀστέρες δὲ καὶ ὁ ἥλιος κινοῦνται, οἱ μὲν μίαν κίνησιν τῆς ἀπλανοῦς, ἡ δὲ ***) δύο τήν τε τοῦ ἀπλανοῦς καὶ τὴν ἰδίαν· οὐκ ἔδει ἀεὶ τὴν αὐτὴν εἶναι ἔμφασιν. εἰ γὰρ καὶ τοῦ ὁρῶντος ἀεὶ τὸ αὐτὸ διάστημα ἀπέχει τό, τε ἔνοπτρον καὶ τὸ ὁρόμενον, διότι ἐν τῷ κέντρῳ τὸ ὁρῶν. ἀλλ' οὐν ὁμῶς ἀλλήλων οὐχ ὁμοίως ἀπέχουσιν. ὅτι δὲ τοῦτο ἀληθὲς καὶ οὐκ ἀεὶ τὰ ἄστρα τοῦ ἡλίου τὸ αὐτὸ διάστημα ἀπέχουσιν,

---

pisse, in quo astronomia sit tractata, indeque apparet illius iam aevo nullum amplius Aristotelis opus eius generis, praeter libros de caelo exstitisse.

*) Post ἔχει adde $\overline{\epsilon}$.

**) Deest ἄν.

***) Ald. οἱ δέ.

δηλοῦσι*) δελφῖνες, ποτὲ μὲν περὶ τὴν ἕω ἀνατέλλοντες, ποτὲ δὲ περὶ τὸ μέσον τῆς νυκτός, ποτὲ δὲ μετὰ τὴν ἑσπέραν εὐθέως. δεύτερον ἐπιχείρημα. ἐὰν ὕδωρ ἐν ἀγγείῳ βάλλωμεν καὶ διὰ τούτου τὸν γαλαξίαν θεασώμεθα, συμβαίνει περὶ τὴν ὄψιν δύο ἀνακλάσεις ὑπομένειν, ὅπερ ἄτοπον· καὶ γὰρ φέρεται περὶ τὸν ἀστέρα, εἶτα ἀνακλᾶται πρὸς τὸν ἥλιον καὶ γίνεται μία ἀνάκλασις· ἀλλ' ἵνα διὰ τοῦ ὕδατος ὁραθῇ ἀνάγκη καὶ ἑτέρων κλᾶσιν ὑπομεῖναι οὐχ οἵαν πρότερον· οὐ γὰρ κατὰ ἀνάκλασιν, ἀλλὰ κατὰ διάκλασιν. ἄτοπος οὖν ὁ λόγος· ὁ μὲν Ἀλεξάνδρου Ἀφροδισιεὺς τοῦτο αὐτὸ παραδέχεται τὸ ἄτοπον εἶναι δύο κλάσεις τὴν ὄψιν παραμεῖναι**). Ὁ δὲ φιλόσοφος Ἀμμωνίου φησὶ μὴ ἄτοπον δύο γίνεσθαι ἀνακλάσεις· οἱ γὰρ ἐνοπτρικοὶ καὶ δύο καὶ τρεῖς καὶ πλείονάς φασι γίνεσθαι. ἐὰν γάρ φησι τὶς θείῃ δύο ἔνοπτρα ἓν ἔμπροσθεν καὶ ἓν ὀπίσω, τὰ ὀπίσθια αὐτοῦ ὁρᾷ· οὐκ ἂν δὲ τοῦτο ἐγίνετο, εἰ μὴ ἐν ἑκατέροις τῶν ἐσόπτρων ἡ κλᾶσις ὄψιν ὑπέμεινεν· εἰ οὖν μὴ ἄτοπον, τί δήποτε αὐτὸ Ἀριστοτέλης ὡς ἄτοπον προφέρει; καὶ ἐπιλύεται λέγων, ὅτι δύο κλάσεις γίνεσθαι ἐκ τόσου διαστήματος ἄτοπον, ὡς φέρεσθαι πρὸς τὸν ἀστέρα καὶ ἀπὸ τοῦ ἀστέρος πρὸς τὸν ἥλιον ὑπὸ γῆν ὄντα· ἐν νυκτὶ γὰρ ὁ γαλαξίας ὁρᾶται. αὗται αἱ τῶν παλαιῶν δόξαι. Olymp. fol. 15, a. — 16, a.

*) Scr. *δηλοῦσι οἱ δελφῖνες*. Nota pluralem, vix alibi obvium. Nisi ita intelligendum est *ἀμάξας* in Anacreonteo carmine, quod exstat apud Gellium *Noctt. Attic.* XIX, 9, in *Anthолog. Palat.* XI, 48, in *Anthol. lyric. minor.* Mehlhornii 3 v. 7. ubi tunc non erat necessarium, ut moneret Mehlhornius proprie maiorem tantum ursam hoc nomine esse appellatam, (qua in re laudat Schol. Hom. *Iliad.* VI, 487), sibique indulsisse poëtam, ut potiori nomine alteram quoque comprehenderet. Sunt stellae ursae maioris, quas significavit poëta.

**) Apud Alexandr. fol. 82, a leguntur haec verba huc pertinentia: *λίαν ἄτοπος ἡ διπλῆ ἀνάκλασις, διὰ τὸ διάστημα*. Quae ipsius est Ammonii sententia, quam in sequentibus exponit Olympiod. Unde vel maxime iterum patet, Alexandri commentarios, quos nunc habemus, non esse profectos ab Alexandro Aphrodisiensi et Olympiodorum alios sub illius philosophi nomine ante oculos habuisse, quam istam, qua nunc utimur, paraphrasin. Quod patet etiam ex verbis, quae adscripsimus ad I, 3, 8.

VIII, 2. *Αἱ προκείμεναι δύο δόξαι μυθώδεις οὖσαι καὶ ὑπὸ ποιητῶν ἀναπεπλασμέναι τοῖς ἄλλοις εἰσὶ τῶν Πυθαγορείων μύθοις ἀκόλουθοι· τὸ μὲν οὖν κατὰ τὸν Φαέθοντα πλάσμα πολλαχοῦ διαβεβόηται τῆς ποιήσεως, ὡς νέος ὢν καὶ τοῦ πατρὸς ἡλίου τὸ ἅρμα διφρηλατεῖν ἐπιθυμήσας οὗτος, καὶ τυχὼν τούτου, νεανικώτερον ἢ σοφώτερον ἐλαύνων, οὐδὲ νόῳ κατὰ τὸν ποιητὴν ἐπιβάλλων ἰμὰς ὅλην . . . πολὺ τοῦ κόσμου μέρος κατέφλεξεν. ὧν καὶ ἡ διακεκαυμένη ζώνη ἐστί, καὶ κατὰ τοὺς Πυθαγορείους ὁ γαλαξίας ἐμφαίνων ἔτι νῦν χρῶμα τῆς ἐκεῖθεν γενομένης πυρώσεως καὶ τῶν ἐνταῦθα πεσόντων ἀστέρων. ἕτεροι δὲ τῶν Πυθαγορείων πάλιν τὸν ἡλιόν φασί ποτε τοῦτον ἐκπεριϊέναι κύκλον, οὐ τὸν ζωδιακόν, ὃν νῦν δίεισιν, ἀλλὰ τὸν τοῦ γάλακτος, ὅθεν ἐκπυρωθέντα τοῦτο ποιῆσαι τὸ χρῶμα. καὶ οἶμαί γε καὶ τούτους ἑτέρῳ μύθῳ κατακολουθῆσαι τῷ περὶ τὸν Ἀτρέα πεπλασμένῳ, ὅτι ἐστράφη ἐπ' αὐτοῦ ἡ τοῦ ἡλίου κίνησις εἰς τοὔμπαλιν ἢ φέρεται νῦν.

Τὸ γὰρ πτερωτὸν ἅρμα ἀελίου φησὶν Εὐριπίδης
Μετέβαλεν ἅρμα τὰν πρὸς ἑσπέραν·
Καὶ κέλευθον οὐρανοῦ προσαρμόσας
Μονόπωλον ἐς ἄω
Ἑπταπόρου τε δρόμημα
Πλειάδος ἐς ὁδόν
Ἀλλὰ Ζεῦς μεταβάλοι *)

*) Dedimus lectionem editionis Aldinae. Versus sunt ex *Oreste* 996 sqq. secundum Porsonum ita legendi:

ὅθεν ἔρις τό, τε πτερωτόν
ἁλίου μετέβαλεν ἅρμα
τὰν πρὸς ἑσπέραν κέλευθον
οὐρανοῦ προσαρμόσασα
μονόπωλον ἐς ἀῶ
ἑπταπόρου τε δρόμημα Πελειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει.

Quae ad verba monere volumus ἑπτάπορος esse vulgatum Pleïadum epitheton cfr. Interpp. ad *Hymn. Homeric.* VII, 7. Eurip. *Rhes.* 529. Arat. *Phaenom.* 256. — Deinde ineptire Bothium, qui apud Euripidem πελείαδα, *columbam*, Πλειάδα *sidus* signi-

Πρὸς μὲν οὖν τὴν προτέραν μυθολογίαν Ἀριστοτέλης οὐδ' ἀντειπεῖν ἀξιοῖ, πρὸς δὲ τὴν δευτέραν σύντομον ἐπάγει τὸν ἔλεγχον, ὅπωσδήποτε φυσιολογίας ἡμμένην, ὅτι δι' ὧν φέρεται τόπων θερμὸς ὢν καὶ πυρώδης ὁ ἥλιος, δεῖ τι παθεῖν ὑπ αὐτοῦ τούτους· τίς οὖν ὁ ἔλεγχος; ὡς ἔδει καὶ τὸν ζωδιακὸν κύκλον δι' οὗ φέρεται νῦν ὁ ἥλιος τὸ αὐτὸ πεπονθέναι πάθος καὶ τῷ γάλακτι κεχρῶσθαι ὁμοίως καὶ τοσούτῳ μᾶλλον, ὅσῳ μετὰ τοῦ ἡλίου καὶ οἱ πέντε τῶν πλανωμένων καὶ ἡ σελήνη δι' αὐτοῦ φέρεται. ἀλλ' οὐδὲν τοιοῦτο φαίνεται πεπονθώς, καίτοιγε καθ' ἕκαστον τῆς νυκτὸς μέρος ἡμικύκλιον ὁρῶμεν αὐτοῦ καὶ τοιοῦτον πάθος οὐδὲν ἐν αὐτῷ θεωρεῖται γινόμενον, πλὴν φησιν, εἴ τι συνάπτει πρὸς τὸν τοῦ γάλακτος κύκλον μόριον αὐτοῦ. συνάπτει δ' αὐτὸ κατὰ τοὺς διδύμους καὶ τὸν τοξότην· εἰ δὲ τοῦ ζωδιακοῦ τὸ πάθος ἦν διὰ τὴν τοῦ ἡλίου δι' αὐτοῦ γινομένην κίνησιν, ἔδει τὸν ὅλον κύκλον τοῦτο πεπονθέναι· τὸν μὲν οὖν κατὰ τὸν Ἀτρέα μῦθον λύουσί τινες οὕτως. ἀστρονόμος φησὶν ὑπάρχων ὁ Ἀτρεὺς ἔδειξε τοῖς ἀνθρώποις πρῶτος, ὡς ἡ τῶν πλανωμένων κίνησις τῶν ἑπτὰ τὴν ἐναντίαν φέρεται τῷ παντί. κἀντεῦθεν ὁ μῦθος πάροδον ἔσχεν, ὡς διὰ τὸν Ἀτρέα ὁ θεὸς μετέβαλεν εἰς τοὐναντίον τὴν κίνησιν τοῦ οὐρανοῦ. οἶμαι δὲ καὶ ἑπταπόρου δρόμημα Πλειάδος διὰ τοὺς ἑπτὰ πλανωμένους εἰρῆσθαι. αἱ γὰρ λεγόμεναι Πλειάδες ἓξ εἰσι καὶ

---

ficare contendat. Scilicet, qui *Πελειάδας* vocabant, nomen a vocabulo *πέλας* propter stellarum viciniam, qui *Πλειάδος* a *πλέων*, quod plures essent, derivabant, quibus etymologiis accedebat tertia eaque mythologica a matre Pleione. cfr. Schol. Homer. ad Il. σ', 486 et quos laudat Schaubach ad Eratosthen. *Catasterism.* 23. p. 101. — *δρόμημα* recte se habere contra Blomfieldum ad Aesch. *Pers.* 252 docuisse Lobeckium ad Phrynich. p. 618 sq. — Denique ultimo versu *Ζεύς* positum esse pro *Ἥλιος*, quemadmodum inversa ratione a Sophocle apud Auctorem *Vit. Arat.* p. 151. Petav.: *Καὶ Σοφοκλῆς Δία τὸν ἥλιον καλεῖ λέγων*

— *Ἥλιος οἰκτείρειέ με*
ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν
καὶ πατέρα πάντων.

Adi Lobeck *Aglaopham.* Tom. I. p. 79.

μόναι καθάπερ Ἄρατος εἴρηκε *). καὶ τοῦτο τοῖς εἰς αὐτὰ ἀποβλέπουσι φαίνεται. ὁ δὲ τοῦ Φαέθοντος μῦθος ἵνα προσφόρως τῇ θεωρίᾳ τῶν μετεώρων αὐτὸν ἀναπτύξωμεν, σύστασιν αἰνίττεσθαί μοι κομήτου δοκεῖ γενομένην ποτέ, ὃν ἡλίου φασὶν εἶναι παῖδα. ἐκ γὰρ πυρώδους ὕλης ἀναθυμιωμένης ὑπὸ ἡλίου τὴν γένεσιν ἔχει. ἐπιθυμῆσαι δὲ τὸ ἅρμα τοῦ πατρὸς ἐλάσαι, διότι τὴν αὐτὴν τῷ ἡλίῳ φέρεται. ἡ δὲ ἄτακτος αὐτοῦ κίνησις καὶ τὸ μὴ ἰσοδρομῆσαι τῷ πατρί, τῷ μὴ ἰσοταχῶς κινεῖσθαι τῷ ἡλίῳ τὸν κομήτην, μηδὲ τὸ τεταγμένον τῆς αὐτοῦ φυλάττειν κινήσεως δηλοῖ. διὰ τὸ ὑπολείπεσθαι τοῦ ἡλίου τοὺς κομήτας καὶ τὸ ἄτακτον τῆς ὕλης τῶν ὑπὸ σελήνην, ἐν οἷς ἀδύνατον τὴν τῶν οὐρανίων εὐταξίαν φαίνεσθαι. τὸ δὲ καταφλέξαι μέρη τοῦ κόσμου τινὰ δι' ὧν ἡ κίνησις αὐτοῦ γέγονε, σύμφωνον τοῖς περὶ κομητῶν εἰρημένοις, ὅτι αὐχμῶν καὶ ἐκπυρώσεως τοῦ ὑπὸ σελήνην ἀέρος εἰσὶ τεκμήρια. εἰκὸς δὲ καὶ Πλειονας τό τε συστῆναι κομήτας καὶ διάττοντας καὶ φλόγας· ἐξ ὧν ὁ μῦθος οὐκ ἀπιθάνως ἔσχε τὴν γένεσιν. Philopon. fol. 100, b.

VIII, 3. *Δῆλος δὲ ἡμῖν πᾶς ὁ κύκλος, ἀεὶ γὰρ αὐτοῦ φανερὸν ἡμικύκλιον τῆς νυκτὸς* **)] Οὐ καλῶς φησιν, ὅτι ἅπας ὁ κύκλος τοῦ ζωδιακοῦ δῆλός ἐστι διὰ τὸ φαίνεσθαι νυκτὶ ἡμικύκλιον τούτου. οὐ γὰρ μόνον τὸ ἡμικύκλιον ὁρᾶται, ἀλλ' ὅλος ὁ κύκλος διὰ τῆς νυκτός. καὶ γὰρ μετὰ δύσιν τοῦ ἡλίου ἓξ ὁρῶνται ζώδια καὶ λοιπὸν ἐν τῇ νυκτὶ τὰ ὑπόλοιπα ἓξ κατὰ μέρος ἀνατέλλοντα φαίνονται. τί οὖν ῥητέον; ὅτι καὶ κατὰ τὸ αὐτὸ ἐν τῇ νυκτὶ οὐ δυνατόν ἐστι πλείω θεωρῆσαι τῶν ἓξ ζώδια. διχοτομεῖται γὰρ ὁ κύκλος ἀεί. ἰστέον δέ, ὅτι οὐχ ὁρῶνται τὰ ιβ ζώδια, ἀλλὰ μόνα τὰ ἕνδεκα. ὁ γὰρ ἥλιος πρὸ δέκα πέντε μοιρῶν ἐπισκοτίζει τὸ πρὸ

*) *Phaenom.* 256 sqq.

**) Hoc enim modo verba adornanda sunt, misere corrupta et dilacerata apud Olympiodorum Aldi. Quod saepe factum. Ita paulo ante h. l. ἅπαντα γὰρ ἐν αὐτῷ . . . . . πλανώμενα sunt Aristotelis, quos deinde excipit commentarius Olympiodori. Vide ad Exc. I, 5, 1.

αὐτοῦ ζῴδιον καὶ τὸ μετ' αὐτὸν ιε'. ἀλλ' εἰ τοῦτο, οὐ δι' ὅλης τῆς νυκτὸς ἓξ ὁρῶνται ζῴδια. εὐθέως γὰρ μετὰ δυσμὰς ἡλίου ἓξ μόνον ὁρῶνται διὰ τὸ ιε' μοιρῶν τὸ πλησίον αὐτοῦ ἐπισκοτίζεσθαι. Olymp. fol. 16, a.

VIII, 6. *Δείκνυται ἐν τοῖς ἀστρολογικοῖς ὁ ἥλιος τῆς γῆς ὢν πολλαπλάσιος καὶ τὸ διάστημα ᾧ ἀφέστηκε τὰ ἄστρα ἀπὸ τῆς γῆς μεῖζον τοῦ διαστήματος, οὗ ὁ ἥλιος διέστηκε τῆς γῆς· οἱ ἀπλανεῖς γὰρ ἀπέχουσι τῆς γῆς πολλαπλάσιον τοῦ διαστήματος, οὗ ὁ ἥλιος τῆς γῆς ἀφέστηκεν, ὥσπερ πάλιν καὶ τὸ τοῦ ἡλίου ἀπὸ τῆς γῆς ἀπόστημα πολλαπλάσιον τοῦ ἀποστήματος, οὗ ἀφέστηκεν αὐτῆς ἡ σελήνη. ὧν οὕτως ἐχόντων οὐ πόρρω οὐδὲ πολὺ ἀπὸ τῆς γῆς ὁ κῶνος ἂν ὁ ἀπὸ τῶν ἀκτίνων τῶν ἀπὸ τοῦ ἡλίου περιλαμπουσῶν τὴν γῆν καὶ συναπτουσῶν ἀλλήλοις γίνοιτο. οὗ οὕτως ἔχοντος, οὐχ οἷόν τε τὴν ἀπὸ τῆς γῆς σκιάν, ἥτις ἐστὶν ἡ νύξ, ἐπὶ τοσοῦτον ἐκτείνεσθαι, ὡς ἐπισκοτεῖν δύνασθαί τισι τῶν ἀπλανῶν· κῶνος μὲν γὰρ ἡ σκιὰ γίνεται, ὅταν μεῖζον ἡ σφαῖρα ἡ φωτίζουσα τῆς φωτιζομένης ᾖ. οὕτω δὲ ὁ κῶνος περιγράφεται ὑπὸ τοῦ τῆς φωτιζούσης σφαίρας φωτός, ὥστε κἀκείνου αἱ ἀκτῖνες καὶ τὸ φῶς κατὰ κοινήν τινα περιφέρειαν συμβάλλειν ἀλλήλαις· κατὰ γὰρ τὴν περιγράφουσαν τὸν τῆς σκιᾶς κῶνον. ὥστε τούτων οὕτως ἐχόντων, ἀνάγκη τὸν ἥλιον ἀεὶ πᾶσι τοῖς ἀπλανέσιν ἐπιβάλλειν τὸ φῶς καὶ πάντας περιορᾶν. ἐμνημόνευσε δὲ καὶ τῆς σελήνης, ὅτι τὸ ταύτης διάστημα ἐπὶ τὴν γῆν ἔλαττον ἢ τὸ τοῦ ἡλίου, ὑπὲρ τοῦ εὐδείξασθαι, ὅτι ταύτην μὲν οὐδὲν ἄτοπον ἐμπίπτουσάν ποτε εἰς τὴν ἀπὸ τῆς γῆς σκιὰν μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἡλίου μηδὲ προσλάμπεσθαι. καὶ οὕτως ἐκλείπειν τῶν δὲ ἀπλανῶν τινας ἀδύνατον, μὴ δυναμένης τῆς γῆς τοσαύτην ποιεῖν σκιάν.* Alexand. fol. 81, b.

Κατὰ ἔνστασιν καὶ παράστασιν τὴν προκειμένην ὑπόθεσιν ἤλεγξε· πρῶτον μὲν τῇ ἀντιπαραστάσει χρησάμενος καὶ συγχωρήσας τινὰ τῶν ἄστρων) ὑπὸ τῆς γῆς ἀντιφράττεσθαι, ὡς τοῦ κώνου τῆς σκιᾶς μέχρι τῆς ἀπλανοῦς κατ' αὐτοὺς διατείνοντος

*) Scr. *ἀστέρων*, quod sequens docet *αὐτοίς*.

καὶ εἰς αὐτὸν ἄστρων τινῶν ἐμπιπτόντων ὡς καὶ ἐπὶ τῶν σεληνιακῶν ἐκλείψεων γίνεται, τῆς σελήνης εἰς αὐτὸν τὸν κῶνον ἐμπιπτούσης· καὶ διὰ τοῦτο τῶν αὐτῶν τό τε τῶν ἡλιακῶν οὐ μετεχούσης διὸ καὶ ἐκλείπειν· νυνὶ δὲ τῇ ἐνστάσει χρώμενος ἄγνοιαν τῶν ἀστρονομικῶν θεωρημάτων κατηγορεῖ τῶν οἰομένων μέχρι τῆς ἀπλανοῦς τὸ σκίασμα διήκειν τῆς γῆς, ὡς καί τινα τῶν ἄστρων ὑπ' αὐτοῦ διαφράττεσθαι καὶ τῶν ἡλιακῶν διὰ τοῦτο μὴ μετέχειν ἀκτίνων. δείκνυται γὰρ ἐν τοῖς ἀστρονομικοῖς θεωρήμασι πρῶτον μὲν ὅτι ἑκατονταεπτακονταπλασίων ἐστὶ τῆς γῆς ὁ ἥλιος ἢ ἁπλῶς πολλῷ μείζων· καὶ διὰ τοῦτο κωνοειδὲς γίνεται τὸ σκίασμα τῆς γῆς· συμβαίνει γὰρ οὕτως, ὅταν ἐλάττων σφαῖρα φωτίζηται ὑπὸ μείζονος τῶν ἀκτίνων τοῦ ἡλίου τῶν ὑπερεκπιπτουσῶν τὴν γῆν κατὰ μικρὸν συνιουσῶν, τοσούτῳ γὰρ πρόϊασιν, ἕως ἂν εἰς ἓν συνελθοῦσαι σημεῖον τὴν σκιὰν λύσωσι. διϊκνεῖσθαι οὖν φασι τὸν κῶνον τοῦτον μέχρι μόνης τῆς ἑρμαϊκῆς σφαίρας καὶ τοῦτον *) οὐχ ὑπερεκπίπτειν, ὥστε τῶν ἀνωτέρω ταύτης μηδὲν σκιάζεσθαι, πάντη δὲ τῶν ἡλιακῶν ἀεὶ μετέχειν αὐτῶν. καὶ τοῦτο πάλιν δείκνυται, ὅτι ὅσον ἐστὶ τὸ ἀπὸ τοῦ κέντρου τῆς γῆς ἐπὶ τὴν ἐπιφάνειαν αὐτῆς διάστημα, τοσοῦτόν ἐστιν ἑξήκοντα τὸ ἀπὸ τοῦ κέντρου διῆκον ἐπὶ τὴν σεληνιακὴν σφαῖραν. ὁ δὲ ἥλιος ἀπὸ τῆς γῆς διέστηκε τοσοῦτον χιλίων διακοσίων καὶ δέκα. ἐὰν τούτων ἀφέλῃς ἀπὸ τοῦ κέντρου μέχρι σελήνης ἑξήκοντα, περιλείπεται χίλια ἑκατὸν πεντήκοντα, ἅπερ ἀφέστηκεν ἀπὸ τῆς σελήνης ὁ ἥλιος. γίνεται οὖν τὸ ἀπὸ σελήνης ἐπὶ τὸν ἥλιον ὧνπερ ἦν χιλίων ἑκατὸν πεντήκοντα τοῦ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν σελήνην, ὅπερ ἦν ἑξήκοντα, ἔλαττον μὲν ἢ εἰκοσαπλάσιον, μεῖζον δὲ ἢ ἐννεακαιδεκαπλάσιον· ὁ δὲ τῆς γῆς σκιᾶς κῶνος διήκει μέχρι μυρίων διακοσίων ἑξήκοντα ὀκτὼ τοιούτων διαστημάτων, οἷόν ἐστι τὸ ἀπὸ τοῦ κέντρου τῆς γῆς ἐπὶ τὴν ἐπιφάνειαν αὐτῆς. ὑφαιρουμένων τοίνυν ἀπὸ τῶν χιλίων ἑκατὸν πεντήκοντα τῶν διακοσίων ἑξήκοντα ὀκτώ, τὸ λειπόμενον ἔσται ὀκτακόσια καὶ ὀγδοήκοντα καὶ δύο, ἅπερ διέστηκε ἀπὸ τοῦ πέρατος τῆς ἀπὸ

*) So. τὸν Ἑρμῆν? an scribendum ταύτην? quod postulare videtur sequens ταύτης.

τῆς γῆς σκιᾶς ὁ ἥλιος. πόσος οὖν εἰκὸς εἶναι τὸ μέχρι τῆς ἀπλανοῦς ἄλλαις τρισὶ μεσολαβουμέναις σφαίραις, τῆς τε Ἄρεος καλουμένης καὶ τῆς Διὸς καὶ τῆς τοῦ Κρόνου; ὅπερ οὐδὲ λογίσασθαι διὰ τὴν ἄφατον ὑπερβολὴν αἱ ἀστρολογικαὶ δεδύνηνται *) μέθοδοι· οὐδὲν οὖν τῶν μετὰ τὴν ἑρμαϊκὴν σκιάζεται παντελῶς· πολλῷ μᾶλλον ἡ ἀπλανὴς τούτου κεχώρισται. ἀλλὰ πᾶσαι διὰ παντὸς τῶν ἡλιακῶν ἀκτίνων μετέχουσι. πάντα γάρ φησι τὰ ἄστρα ὁ ἥλιος ἐξ ἀνάγκης περιορᾷ καὶ οὐδὲν αὐτὸν ἀποκέκρυπται, ὥστε οἱ λέγοντες ἀντιφράττεσθαι ὑπὸ τῆς γῆς τῶν ἀπλανῶν τινας εὐήθεις εἰσὶ καὶ τῶν ἀστρονομικῶν μεθόδων παντάπασιν ἀνεννόητοι. Philop. fol. 100, b. **).

VIII, 11. *Τὴν αὐτοῦ δόξαν προστίθησι διὰ τούτων.* προσχρῆται δὲ τοῖς προειρημένοις. ἔκειτο γὰρ αὐτὴν τό, τε ἔσχατον τοῦ ἀέρος καὶ ἐπιπολάζον αὐτῷ εἶναι δυνάμει πῦρ, τουτέστι θερμὴ καὶ ξηρὰ ἀναθυμίασις καὶ ἐπιτήδειος πρὸς ἕξαψιν. κινουμένου δὲ τοῦ ἀέρος καὶ διακρινομένου ὑπὸ τῆς τῶν οὐρανίων περιφορᾶς ἡ προειρημένη ἀναθυμίασις ἀποκρίνεται ἀπ' αὐτοῦ καὶ μετεωρίζεται, ἡ πυκνοτέρα δὲ καὶ παχυτέρα ἀναθυμίασις τοιαύτη ἐστίν, ὡς ἀπ' αὐτῆς γίνεσθαι τοὺς κομήτας κατὰ τὸν εἰρημένον τρόπον. ἐπεὶ δὲ τῶν κομητῶν οἱ μέν τινες καθ' αὑτοὺς συνίστανται ὡς προείρηται, οἱ δὲ καὶ ὑπό τι ἄστρον τῶν ἀπλανῶν ἢ τῶν πλανωμένων, ᾧ κινουμένῳ καὶ συμπεριφέρονται, ὡς δοκεῖν τοῦ ἄστρου τὴν κόμην εἶναι, ἐπὶ τοσοῦτον διαμένοντες, ἐφ' ὅσον κάτωθέν τις αὐτοῖς ἀπὸ τοῦ ἀέρος χορηγία γίνεται ἀναφερομένης κατ' αὐτοὺς ἀπ' αὐτοῦ εὐκράτου τε πρὸς ἕξαψιν καὶ εὐκαίρου ἀναθυμιάσεως, δεῖ φησιν ἐπὶ τοῦ γάλακτος τοιοῦτον τὸ γινόμενον ἐπινοῆσαι ὁποῖον ἐπὶ τῶν κομητῶν τῶν ἀπὸ τῶν ἄστρων συνισταμένων. ὡς γὰρ τῷ ἡλίῳ πολλάκις ὁ ὑπ' αὐτὸν γινομένη σύστασις, ἀφ' ἧς ἢ ἄλως κατὰ τὴν πρὸς τὸν ἥλιον ἀνάκλασιν γίνεται κινουμένῳ συμπεριφέρεται ἐπὶ πολύ, ἀλλὰ καὶ τῇ σελήνῃ, οὕτως οἵ τε ***)

---

*) Ald. *δεδαύνηνται.*

**) Mendo enim typographico bis recurrit fol. 100 in editione Aldina.

***) ἥ τε Ald.

κομῆται τοῖς ἄστροις ὑφίστανται, ταύτῃ διαφέροντες τῆς ἄλω, ὅτι ἐκείνη μὲν ἐξ ἀνακλάσεως φωτίζεται, οἱ δὲ κομῆται ἐν αὐτοῖς τὸ φῶς ἔχουσιν ὡς προείρηκεν, ἐπεὶ ἄμφω γε ἀναθυμιάσεις πνευμάτων τε καὶ ξηραί. ἀλλὰ καὶ τὸ γάλα ὁμοία τις ἀναθυμίασις *) τῇ κόμῃ· ὃ γὰρ ἐπ' ἐκείνων, ἡ περὶ ἕν ἄστρον ἀναθυμίασις τοιαύτη γενομένη κομήτην ποιεῖ, τοῦτο περὶ τοὺς ἀστέρας ἅμα γινόμενον τοὺς καθ' ὃ τὸ γάλα φαίνεται, τὸν καλούμενον ποιεῖ γαλαξίαν κύκλον. ὃ γὰρ περὶ ἕνα ἀστέρα γίνεται, τοῦτο καὶ περὶ ὅλον τὸν οὐρανὸν ὑποληπτέον γίνεσθαι. Alex. fol. 82, b. sq.

VIII, 13. Οὐρανὸν ἐνταῦθά φησιν ὁ Ἀλέξανδρος **), τὴν ἀπλανῆ σφαῖραν Ἀριστοτέλης ὠνόμασε. τοῦτο γάρ φησιν ἐδήλωσεν εἰπών, καὶ τὴν ἄνω φορὰν ἅπασαν. ἐγὼ δὲ τὴν προσθήκην οἶμαι πᾶσαν δηλοῦν τὴν κυκλοφορουμένην οὐσίαν· λέγω τὴν ὅλην καὶ τὰς σφαῖρας, ὡς Πτολεμαίῳ δοκεῖ· τὸ γὰρ ἅπασαν εἰπεῖν τὴν ἄνω φοράν, τούτου μᾶλλον ὑπάρχει δηλωτικόν. καὶ προσέτι τὸ πρὸ τούτων εἰρημένον ἀλλ' ὑπό τινος τῶν ἀστέρων ἢ τῶν ἐνδεδεμένων ἢ τῶν πλανωμένων πᾶσαν ἐκείνην τὴν οὐσίαν συμπεριειλῆφεν ***). οὐ γὰρ τοὺς ἀπλανεῖς ἀλλὰ καὶ τοὺς πλανωμένους ἔλκειν τοιαύτην ἀναθυμίασιν βούλεται. οὐρανὸν δὲ τοῖς παλαιοῖς καὶ τὸν ὅλον κόσμον καλεῖν ἔθος, ὡς καὶ Πλάτων, ὃν δὴ οὐρανὸν ἢ κόσμον ἐπωνομάκαμεν †). καὶ τὴν περὶ οὐρανοῦ πραγματείαν οὕτως Ἀριστοτέλης ὠνόμασε περὶ τοῦ κόσμου πάντος διαλαμβάνουσαν· καὶ ἰδικώτερον πάλιν οὐρανὸν ὀκτάσφαιρον ὁμοῦ ἢ ἐννεάσφαιρον καλοῦσι καὶ πρὸς τούτοις ἰδικώτατα μόνην τὴν ἀπλανῆ· τὸ οὖν ἐντεῦθεν συναγόμενόν ἐστιν, ὅτι τὸ περὶ ἕνα γινόμενον ἀστέρα πάθος τουτέστι τὸ ἕλκειν εἰς ἑαυτὸν τὴν εἰρημένην ἀναθυμίασιν καὶ δι' αὐτὴν γίνεσθαι κομήτην, εὔλογον καὶ περὶ

*) ἀναθυμιάσεις Ald.

**) Verbis quae excipiunt ista, quae paulo ante adscripsimus.

***) Ald. συπεριειλῆφεν, quod videbatur monendum.

†) Cfr. Diodor. Stoic. apud Achill. Tat. *Isagog. in Arat.* p. 129, C. Procl. in Plat. *Tim.* p. 83. Adde Macrob. *Somn. Scip.* I, 20. II, 11. ibiq. Interpp.

πάντα συμβαίνειν. καὶ μίαν κόμην ὅλῳ περικεῖσθαι κύκλῳ ἑκάστου ἀστέρος τὴν ὑποκειμένην ὕλην ἐπισπωμένου καὶ διὰ τὴν συνέχειαν τῆς ἀναθυμιάσεως μίαν κόμην γίνεσθαι πᾶσιν, ἣν γαλαξίαν διὰ τὸ χρῶμα προσαγορεύομεν. Phil. fol. 102, b.

VIII, 15. Διὰ τί μὲν ὑπὸ τὸν ζωδιακὸν τὸ γάλα μὴ γίνεται, δέδειχεν ἤδη· τίνος δὲ χάριν ἐν τούτῳ συνίσταται διδάσκει νῦν· ὅτι τε μέγιστός φησιν οὗτος ὁ κύκλος ἐστί, τὴν σφαῖραν διχοτομῶν· καὶ ὅτι τοὺς τροπικοὺς ὑπερβάλλει, τουτέστιν ἔξω τούτων πέπτωκε. κἀντεῦθεν οὐ ταὐτὸ τῷ ζωδιακῷ πάσχει πάθος· τῷ γὰρ μηδένα τῶν πλανωμένων δι' αὐτοῦ φέρεσθαι μήτε τὸν ἥλιον μήτε τὴν σελήνην ἢ ἐκεῖ φερομένη ἀναθυμίασις οὐ διαλύεται. καὶ πρὸς τούτῳ πλήρης ἐστὶν ἄστρων μεγίστων τε καὶ λαμπροτάτων, ὡς πολλὴν μὲν ἐξ αὐτῶν ἀναθυμίασιν ἕλκεσθαι, μὴ παντελῶς δὲ διαφορεῖσθαι ταύτην. οὐ γὰρ οὕτως ὑπερβάλλει τὸ θερμὸν ἐν τούτοις ὡς ἐν τῷ ζωδιακῷ. διὸ καὶ ἡ ὑπὸ τοῦτον ζώνη τῆς γῆς διακέκαυται καὶ ἀοίκητός ἐστι. ταῦτα μὲν οὖν πιθανὰ λίαν· τί δὲ πρὸς τοῦτο λυσιτελεῖ καὶ τὸ μέγιστον εἶναι τὸν τοῦ γάλακτος κύκλον; τηλικοῦτος γάρ ἐστι καὶ ὁ ζωδιακὸς καὶ ὁ ἰσημερινὸς καὶ πᾶς διχοτομῶν τῆν σφαῖραν. φημὶ τοίνυν, ὡς τὰ ἐπὶ τῶν μεγίστων κύκλων ἄστρα φερόμενα θᾶττον κινεῖται συμπεριαγόμενα τούτοις, ἥπερ τὰ ἐν σμικροῖς ὄντα κύκλοις· μιᾶς γὰρ οὔσης τοῦ παντὸς οὐρανοῦ τῆς περιφορᾶς καὶ ἐν τῷ αὐτῷ χρόνῳ τῶν ἐν αὐτῷ κύκλων πάντων ἅμα ἀποκαθισταμένων μειζόνων τε καὶ ἐλαττόνων, ἀνάγκη πᾶσα τοὺς μείζονας κύκλους θᾶττον κινεῖσθαι τῶν ἐλαττόνων. καὶ ὅσον ὑπερβάλλουσι τῷ μεγέθει, τοσοῦτον καὶ ἡ ταχυτὴς αὐτῶν τῆς κινήσεως αὔξεται, ἵν' οὕτως ἅμα πάντων ἡ ἀποκατάστασις γένηται· τοῦτο δὲ καὶ Ἄρατος περὶ τῶν ἄστρων τῶν ἐν τῷ ἰσημερινῷ κειμένων εἴρηκε μεγίστῳ ὄντι αὐτῷ *):

— Καὶ κριοῖο θοώταται εἰσὶ κέλευθοι
Ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλον,
Οὐδὲν ἀφαυρότερον τροχάει κυνοσούριδος ἄρκτου.

---

*) αὐτοῦ Ald. Sequentes versus reperiuntur in *Phaenomen.* 224 — 226, ubi exhibetur περὶ κύκλα.

τουτέστιν· οὐχ ὑπολείπεται ὁ κριὸς διὰ τὸ μέγεθος τοῦ ἰδίου κύκλου ἐν τῇ ἀποκαταστάσει τῆς τοῦ παντὸς κινήσεως τῆς ἐν τῷ ἐλαχίστῳ κύκλῳ κειμένης κυνοσούρας, ἀλλ' ἰσοχρόνως ἀποκαθίστανται· τοῦτο δὲ διὰ τὸ τάχος τῆς κινήσεως τοῦ κριοῦ δηλονότι γίνεται. εἰ οὖν ἡ κίνησις θερμαίνει, ἡ δὲ θερμότης ἕλκει τὴν ἀναθυμίασιν, καὶ ἡ ταχυτέρα κίνησις δηλονότι μᾶλλον θερμαίνει. ἡ δὲ μείζων θερμασία πλείονα ποιεῖ ἀναθυμίασιν. ὅταν δὲ εἴπω τοὺς ἐν τοῖς μείζοσι κύκλοις ἀστέρας θᾶττον κινεῖσθαι τῶν ἐν τοῖς ἐλάττοσι, τοὺς κύκλους ὧν συμπεριάγονται λέγω. οἱ γὰρ ἐπὶ τοῦ ζωδιακοῦ κείμενοι ἀστέρες οὐ πάντων τῶν ἄλλων ταχύτεροι κινοῦνται· καίτοι μέγιστός ἐστιν οὗτος ὁ κύκλος διότι μὴ διὰ μέσου πάντων τούτων ἡ κίνησις· οἱ γοῦν τοῖς σημείοις τοῖς τροπικοῖς πλησιάζοντες, ὅ τε καρκῖνος καὶ ὁ αἰγόκερως τῶν ἄλλων εἰσὶ πάντων βραδύτεροι τῶν ὅσοι τοῦ ἰσημερινοῦ τυγχάνουσιν ὄντες πλησιέστεροι. ἐπὶ μειζόνων γὰρ παραλλήλων οὗτοι κινοῦνται, οἱ δὲ ἐν τοῖς τροπικοῖς σημείοις ἐπ' ἐλαττόνων· εἰπὼν δέ, ὡς ὁ τοῦ γαλαξίου τύπος τῶν μεγίστων ἄστρων πλήρης ἐστὶ καὶ λαμπροτάτων ἐπήγαγεν ἔτι καὶ τῶν σποράδων καλουμένων, ὡς ἐκείνων μὲν οὐκ ὄντων σποράδων, ἀλλ' εἰδωλοποιημένων *), τούτων δὲ κατὰ τὸ ἐπιτυχὸν διεσπαρμένων καὶ οὐκ ἀποτυπούντων εἴδωλα· οὕτω δὲ τοὺς τοιούτους καὶ Ἄρατος ὀνομάζει **).

Ἄλλοι δὲ σποράδην ὑποκείμενοι Ὑδροχόοιο
τέως αἰθέριοι καὶ Ἰχθύος ἠερέθονται
μέσοι —

σημεῖον δὲ καὶ τοῦτο ποιεῖται τοῦ καλῶς ἀποδεδόσθαι τὸν περὶ τοῦ γάλακτος λόγον. ὅλος μὲν γὰρ ὁ κύκλος οὗτός φησι μεγίστων καὶ λαμπροτάτων ἀστέρων πλήρης, τῶν τε ἄλλων καὶ τῶν καλουμένων σποράδων· καὶ αὐτοῦ δὲ τούτου τὸ μὲν ἕτερον ἡμικύκλιον, ἐν ᾧ πλεῖόν ἐστι τὸ φῶς τοῦ γάλακτος καὶ

*) Significatio vocabuli addatur lexicis.

**) *Phaenom.* 388 sq. In altero versu legendum *Κήτεος αἰθερίοιο*, in tertio *μέσσοθι* sive *μέσσοι*.

λαμπρότερον *) καὶ ἀναδιπλώσεις ἔχον, ἐν τούτῳ πυκνότερα τοῦ λοιποῦ καὶ μείζονά ἐστι τὰ ἄστρα καὶ λαμπρότερα· ἐν δὲ τῷ λοιπῷ, ἐν ᾧ μὴ τὰ τοιαῦτά ἐστι μηδὲ τοσαῦτα μηδ' οὕτω πεπύκνωται τὰ ἄστρα, ἐν τούτῳ καὶ τὸ γάλα ἧττον ὑπάρχει καὶ ἀμυδρότερον καὶ ἀναδιπλώσεις οὐκ ἔχον· δῆλον οὖν, ὅτι τὰ ἄστρα τοῦ γάλακτός ἐστιν αἴτια. Phil. fol. 103, a.

VIII, 18. *Καὶ διὰ καταγραφῆς τῇ ὄψει τὰ εἰρημένα παρίστησιν οὕτως αὐτὸν ὡς ἐν τῷ οὐρανῷ κεῖται τὸν γαλαξίαν ὑπογράφων, ἐν οἷς τε ἁπλοῦς ἐστι καὶ ἐν οἷς ἀναδίπλωσιν ἔχει καὶ τὰ ἐν ἑκάστῳ τούτου μέρη τῶν ἄστρων εἰδωλοποιημένα. ἐπειδὴ δὲ μεταξὺ τούτων καί τινα τῶν σποράδων ἐστίν, ἃ καταγράφειν οὐκ ἦν εὐμαρὲς διὰ τὴν ἄτακτον αὐτῶν θέσιν, τούτους φησὶ θεωρητέον οὐκ ἐν τῷ διαγράμματι, ἀλλ' εἰς αὐτὸν ἀναβλέποντας τὸν οὐρανόν. ὄψει γὰρ μεταξὺ τούτων κατεστηριγμένους πολλοὺς τῶν σποράδων, οὓς εἰδωλοποιῆσαι τοῖς παλαιοῖς οὐ γέγονεν εὔκολον. ἅπαντα γάρ φησι τὰ μεταξὺ τῶν εἰδωλοποιημένων ἄστρων ἐν τῷ γαλαξίᾳ πλήρη τῶν σποράδων ἐστὶν ἄστρων, ἐν δὲ τοῖς ἄλλοις κύκλοις, πολλὰ μεταξὺ φαίνεται κενὰ καὶ ἄστρων χωρίς. ταῦτα εἰπὼν συμπεραίνει τὸν λόγον, καί φησιν ὡς εἰς τὴν εἰρημένην περὶ τῶν κομητῶν αἰτίαν ἀποδεχόμεθα, τὴν αὐτὴν εἶναι ταύτην καὶ περὶ τοῦ γάλακτος εὔλογον ὑπολαμβάνειν, ὥστ' εἴ τις ὁρίσειέ φησι τὸν γαλαξίαν, εἴποι ἄν· γαλαξίας ἐστὶν ἡ τοῦ μεγάλου κύκλου κόμη διὰ τὴν εἰρημένην ἀναθυμίασιν ὑφισταμένη· τὰ μὲν οὖν Ἀριστοτέλει περὶ τοῦ γαλαξίου δοκοῦντά ἐστι τοιαῦτα· ἄτοπα δὲ πολλὰ τῷ λόγῳ καὶ ἀδύνατα συμβαίνει καὶ ἀποκλήρωσιν ἔχοντα μόνην. εἰ γὰρ ὡς ὁ κομήτης οὕτω καὶ ὁ γαλαξίας πάθος ἦν τοῦ ἀέρος, πῶς ὁ αὐτός ἐστιν ἀεὶ καὶ ἀεὶ ὡσαύτως ἔχων οὔτε καθόλου οὔτε κατά τι τῶν αὐτοῦ μερῶν ἀλλοιότερός ποτε γινόμενος, οὐ τὸ μῆκος, οὐ τὸ πλάτος αὐξήσας, οὐ μειώσας, οὐ τὴν θέσιν οὐ τὸ σχῆμα μεταβάλλων, οὐχ ὅπῃ ἀναδεδίπλωται γενόμενος ἁπλοῦς ἢ ἔμπαλιν ἐν οἷς ἁπλοῦς ἐστι διπλόην ἔσχε πλείονος ὕλης ἢ ἐλάττονος ἄλλοτε ἐν ἄλλοις μέρεσιν αὐ-

*) Ald. λαμπρότερος.

τοῦ συνισταμένης, ὃ καὶ ἐπὶ τῶν κομητῶν. καθά φησι συμβαῖνον φαίνεται ὁμοίλων ὄντων αὐτοῦ. καὶ καθόλου γὰρ μυρίας ἐν τῷ ἀέρι μεταβολὰς ἐν χρόνῳ βραχεῖ γινομένας ὁρῶμεν, καὶ ἐν τοῖς ἀλεεινοτέροις τῶν τόπων ψῦχος *) πολὺ καὶ ἐν τοῖς ψυχροτέροις τὸ θερμὸν πολλάκις ἐπικρατοῦν· πῶς οὖν ἐν οὕτως ἀστάτῳ πράγματι τῇ ἀναθυμιάσει τὴν αὐτὴν εἰκὸς ἦν ἐν μόνῳ τῷ γαλαξίᾳ γίνεσθαι διηνεκῶς μηδεμίας μηδέποτε γινομένης διαφορᾶς, ἀλλ' ἡ αὐτὴ καὶ ποσῷ καὶ ποιῷ φαίνεται ἀναθυμίασις καὶ τῇ θέσει ὁμοίως ἔχουσα καὶ τῇ τάξει τῶν ἄστρων μηδεμίας μηδαμόθεν γινομένης αὐτῇ μεταβολῆς. ὅπερ οὐδενὶ τῶν ὑπὸ σελήνην φαίνεται συμβαῖνον, οὐδ' ἐπ' αὐτῶν τῶν κομητῶν, περὶ ὧν ὁ λόγος· οὔτε γὰρ ἐν τοῖς αὐτοῖς τόποις ἀεὶ γίνονται οὔτε μεγέθεσιν οὔτε σχήμασιν, οὔτε τῇ θέσει τῶν μορίων εἰσὶν οἱ αὐτοί. εἰ δὲ διὰ τὸ πλῆθος τῶν ἀστέρων τῶν ἐν Τοξότῃ καὶ Διδύμοις ὁ γαλαξίας ἐστὶν ἐκεῖ διαφανέστερος, διὰ τί μὴ καὶ ὑπὸ τὸν Ὠρίωνα τὸ αὐτὸ γίνεται, πολλῶν ὄντων ἀστέρων ἀεὶ καὶ μεγίστων ἢ καὶ ὑπὸ τοὺς Ἄρκτους. πῶς δὲ μετακινουμένων ἡλίου τε καὶ σελήνης καὶ τῶν λοιπῶν πλανήτων καὶ ἄλλοτε ἐν ἄλλοις γινομένων μέρεσι τοῦ ζωδιακοῦ, μηδέποτε ἐν μηδενὶ μέρει τοῦ γαλαξίου βορειοτέρῳ τυχὸν ἢ νοτιωτέρῳ διαφορά τις ἐγένετο· καίτοιγε ἡ τοῦ ἡλίου μετάθεσις ἐπὶ τὰ νότιά τε καὶ ἐπὶ τὰ βόρεια μεγίστην περὶ τὸν ἀέρα ποιεῖ διαφορὰν τῷ ἀφεστηκέναι τινῶν αὐτοῦ μερῶν καὶ πλησιάζειν ἑτέροις· πῶς οὖν οὐδὲ τὴν τυχοῦσαν μεταβολὴν περὶ μόνα τὰ τοῦ γαλαξίου ποιεῖται μέρη πλησιάζων ὁ ἥλιος αὐτοῖς ἢ πάλιν αὐτῶν ἀφιστάμενος· ἀλλ' ἡ αὐτὴ περὶ ἕκαστον τῶν αὐτοῦ μερῶν ἀναθυμίασις ἀεὶ γίνεται ποσῷ τε καὶ ποιῷ καὶ τῷ χρώματι. τὸ γὰρ ἀεὶ μένον καὶ ὡσαύτως ἔχον τοῦ μὲν ὑπὸ σελήνην παντελῶς σώματι οὐδενί, μόνοις δὲ τοῖς οὐρανίοις, εἴπερ ἄρα καὶ τούτοις ὑπάρχον φαίνεται. καὶ ἄλλως δὲ δεικνύειν εὐχερές, ὡς οὐκ ἔστι τοῦ ἀέρος τὸ γάλα πάθος· ὑπέρκειται δὲ τούτων πολύ, καὶ αὐτοῦ τοῦ σώματός ἐστι τῆς ἀπλανοῦς ἡ τοιαύτη ποιότης· εἰ γὰρ ἦν τοῦ ἀέρος πάθος κρύ-

*) Ald. ψύχος.

ψεις τινὰς καὶ παραλλάξεις ἀστέρων, οὓς ὑποτρέχει, ποιεῖν ἔμελλεν. οἷόν τι λέγω, ὅταν νέφος ὑποδραμῇ τὸν ἥλιον, τοὺς μὲν τῶν ἀνθρώπων ἐπιπροσθεῖ καὶ κωλύει τοῦτον ὁρᾶν, τοῖς δὲ ἐνδοτέρως*) οἰκοῦσι τόποις οὐκ ἐπιπροσθεῖ παντελῶς, ἀλλ' ὁρῶσιν ὅλον αὐτὸν ἐναργῶς πρὸς τὴν ποιὰν σχέσιν, ἣν ποιεῖται τὸ νέφος πρός τε τὰς ὄψεις ἡμῶν καὶ πρὸς αὐτὸν τὸν ἥλιον. τὸ αὐτὸ καὶ περὶ σελήνην καὶ τοὺς λοιποὺς ἀστέρας, οὓς ὑπερτρέχει**) νέφος, συμβαίνει καὶ ἐπὶ τῶν ἡλιακῶν δὲ ὁμοίως ἐκλείψεων. τοῦτο δὲ ὁμοίως γίνεται τῆς ἐπιπροσθούσης τῷ ἡλίῳ σελήνης κατωτέρω κειμένης· οὐδὲ γὰρ πάντως πᾶσιν ἐπιπροσθεῖ πανταχοῦ, οὐδὲ τὴν αὐτὴν, οἷς ἐπιπροσθεῖ, ποιεῖται σχέσιν, ἀλλὰ καὶ κατὰ τοὺς διαφόρους τόπους, ἐν οἷς ἐπιπροσθεῖ, ποιεῖται διαφοράν· καὶ τοῖς μὲν ὅλος ὁ ἥλιος σκεπόμενος ὑπὸ τῆς σελήνης φαίνεται, τοῖς δὲ οὐχ ὅλος. ἔστι δὲ οἷς τὰ μὲν ἐπιπροσθεῖ μόνα τούτων, ἡ δὲ ἔξωθεν περιφέρεια κριοειδὴς***) ὁρᾶται περιγείου τῆς σελήνης οὔσης. εἰ τοίνυν καὶ ὁ γαλαξίας κατωτέρω τῶν ἄστρων ἦν πάθος, ὑπάρχων τοῦ ὑπεκκαύματος, παραλλάξεις ἔμελλε περὶ τὰ ἄστρα ποιεῖν, καὶ τοῖς μὲν ἡμῶν τινα τούτων ἐπικαλύπτειν, τοῖς δὲ μή. καὶ καθόλου εἰπεῖν, εἰ κατωτέρω τῶν ἀστέρων ἦν, ἢ τῶν ἀπλανῶν ἢ τῶν πλανωμένων, ἐπειδὴ τὰ σημεῖα καθ' ἃ τέμνουσιν ἀλλήλους ὅ τε ζωδιακὸς καὶ ὁ γαλαξίας, ὁ Τοξότης ἐστὶ καὶ οἱ Δίδυμοι, ἔδει τῶν πλανωμένων ἕκαστον ἐκεῖσε γινόμενον ὑπὸ τοῦ γάλακτος χρωματίζεσθαι, ἀλλὰ καὶ τῶν ἀπλανῶν πάλιν ἕκαστον τῶν ὄντων κατὰ κάθετόν τι τῶν τοῦ γαλαξίου μερῶν τὸ αὐτὸ πάσχειν ἢ καὶ παντελῶς ἐπικρύπτεσθαι ὑπ' αὐτοῦ. ὡς γὰρ ὁλοκλήρου τινὸς ἀστέρων κύκλου ὁ γαλαξίας ἐστὶ κόμη, εὔλογον καὶ ἑκάστου τῶν ἀποτελούντων τὸν κύκλον τοῦτον. ἡγούμεθα τὸν μῦθον τῷ ἐκ τοῦ γάλακτος τῆς Ἥρας φάσκοντι τοῦτον συστῆναι τὸν κύκλον, ὅτε τοῦ Ἡρακλέος ἀγνοούσης

---

*) Adverbium lexicis addatur, in quibus solum ἐνδοτέρω commemoratur.

**) Ald. ὑπερτρέχειν.

***) Vocabulum lexicis addatur.

βίᾳ τὸ γάλα ταύτης ἐκμυζῶντος *). Ἀθηνᾶ γὰρ ὑπέβαλέ φησιν αὐτὸν κοιμωμένῃ, ἵνα πιῶν ἀθάνατος γένοιτο, τὴν δ' Ἥραν ὀδυνωμένην ἀθρόον ἐκσπάσαι τῶν μαζῶν καὶ τοῦ γάλακτος ἐξακοντισθέντος τοῦτον γενέσθαι τὸν κύκλον. οὔτε γὰρ τὸ γάλα διηνεκῶς ἐξακοντίζεται, οὔτε ὁ αὐτὸς ἀεὶ τῶν ψυχῶν ἀριθμὸς ἄνεισί τε καὶ κάτεισιν, ἵνα καὶ τὰ αὐγοειδῆ σώματα αὐτῶν τὸν αὐτὸν τόπον ἀναπληροῖ μήτε λείψαντα μήτε πλεονάζοντα πώποτε. τῶν μύθων δὲ τούτων οὐδὲν ἧττον καὶ ἡ Ἀριστοτέλους φυσιολογία τὸ μυθῶδες ἔχει, ἄϊδιον πάθος ἐν τῷ ὑπεκκαύματι γίνεσθαι ὑποτιθεμένη μήτε ἀρξόμενον τοῦ εἶναι μήτε παυσόμενον, ὅπερ ἐν οὐδενὶ τῶν στοιχείων ὁρᾶται συμβαῖνον. ἐπεὶ καὶ ἡ οὐσία τούτων κατὰ μέρος γίνεταί τε καὶ φθείρεται. εἰ οὖν μηδὲν στοιχεῖον μέρος ἄναρχόν ἐστι καὶ ἀτελεύτητον, πῶς ὁ γαλαξίας ἐστὶ τοιοῦτος ἐν βραχεῖ μέρει τοῦ ὑπεκκαύματος ὤν, εἴπερ ἄϊδιος κατὰ τὸν Σταγειρίτην ὁ κόσμος ἐστίν. εἰ δὲ λέγει καὶ τούτου τὸ μὲν γίνεται, τὸ δὲ φθείρεται, ὡς καὶ ἐπὶ τῆς ὕλης τῶν κομητῶν εἴπομεν καὶ ἐπὶ τῶν τρεφομένων γίνεται, καὶ τὸ διαφορούμενον ἀναπληροῦται ὑπὸ τοῦ ἐπεισιόντος. ἀλλὰ τῶν τοιούτων οὐδὲν ὡσαύτως ἔχον ἀεὶ φαίνεται οὐδὲ ἑστάναι πάθος ἐστὶν ἐκτός, ἀλλὰ πλείστας ἀλλοιώσεις καὶ διαφορὰς ὑπομένει, μειώσεις τε καὶ αὐξήσεις, ὅπερ ἐπὶ τοῦ γάλακτος οὐ συμβαίνει. εἴρηται δὲ τῷ φιλοσόφῳ κα-

*) Ald. ἐκμύζοντος. Huc pertinent verba Achillis Tatii Isagog. in Arat. *Phaenom.* c. 24. p. 80 sqq. περὶ τούτου (τοῦ γαλαξίου) φησὶν Ἐρατοσθένης ἐν τῷ καταμερισμῷ (fort. καταστερισμῷ) μυθικώτερον τὸν γαλαξίαν κύκλον γεγονέναι ἐκ τοῦ τῆς Ἥρας γάλακτος. τοῦ γὰρ Ἡρακλέους ἔτι βρέφους ὄντος καὶ τὸν μαστὸν τῆς Ἥρας ἐπισπασαμένου σφοδρότερον, ἐκείνην ἀντισπάσαι καὶ οὕτως περιχυθέντος τοῦ γάλακτος κύκλον γενέσθαι παγέντος. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ Ἑρμοῦ λέγει γεγενῆσθαι Ἐρατοσθένης, ὡς ἄρα ὁ Ἑρμῆς τοῦ μαστοῦ τῆς Ἥρας ἐσπάσατο. Schol. *Arat. Phaenom.* 469: Ἐρατοσθένης δέ φησι μυθικῶς αὐτὸν διηγούμενος, ὑπὸ τοῦ τῆς Ἥρας γάλακτος γεγενῆσθαι ἐκχυθέντος· ἤκουσε γὰρ παρὰ τοῦ Ἑρμοῦ, ὅτι οὐκ ἴδιός ἐστι. Adi etiam Lobeck. *Aglaopham.* II. p. 936. not. Bernhardy *Eratosthenic.* p. 164.

λῶς μηδένα μηδένι λέγοντι συγχωρεῖν, ὃ μὴ ἐπὶ πάντων ἢ ἐπὶ πλειόνων οὕτως ἔχον ἢ γιγνόμενον φαίνοιτο. εἰ οὖν μηδὲν τῶν φερομένων ὡσαύτως ἔχον ἀεὶ διαμένει, μεταβολὰς δὲ ποιεῖται μυρίας, τὸ δὲ γάλα μεταβολὴν οὐδεμίαν ἔσχεν, οὐδὲ σχήσει ποτέ, ἕως ἂν ᾖ τὸ πᾶν, οὐκ ἄρα ἐστὶ τοῦ ἀέρος πάθος, οὐδὲ τοῦ ὑπεκκαύματος ἐκ τῆς ξηρᾶς συμβαῖνον ἀναθυμιάσεως· τὰ γὰρ ἐκ ταύτης γινόμενα πάντα, φλόγες, διάττοντες, δαλοί, κομῆται, κεραυνοί, πνεύματα, καὶ ὅσα ἐν τοῖς μετεώροις ἁπλῶς συμβαίνει, ῥᾳδίαν τε ἔχει τὴν μεταβολήν, καὶ γίνεται φανερῶς καὶ φθείρεται, ὧν οὐδὲν ὑπαμένει. τὸ γάλα ἔοικεν ἄρα πάθος οὐσιῶδες εἶναι τοῦ οὐρανίου σώματος ἀχώριστον αὐτοῦ· καὶ ὥσπερ οὐκ ἔστιν αἴτιον εἰπεῖν τῆς διαφορᾶς τῶν ἄστρων κατά τε μέγεθος καὶ χροιάν, καὶ θέσιν αὐτῶν καὶ πρὸς ἄλληλα σχέσιν τε καὶ τάξιν, οὐδὲ τῆς διαφόρου τῶν σφαιρῶν κινήσεως, τίνος ἕνεκεν αἱ μὲν ἐπὶ τὰ ἑπόμενα, αἱ δὲ ἐπὶ τὰ ἡγούμενα φέρονται, ἢ τούτων αἱ μὲν θᾶττον αἱ δὲ βραδύτερον, οὕτως οὐδὲ τοῦ γάλακτος τὴν οὐσίαν ἔστιν εἰπεῖν, τίνος ἕνεκεν ἐν μέρει τῆς οὐσίας συμβέβηκε τοῦτο ἐκείνης καθ' αὐτὸ μηδεμιᾶς ἐν αὐτῷ μήτε οὔσης μήτε γινομένης διαφορᾶς. ψευδὲς δὲ τὸ τῇ κινήσει τὰ ἄστρα θερμαίνοντα τὸν ἀέρα καὶ τὸ ὑπέκκαυμα τὴν ὕλην τὸν κομητῶν ἐκεῖθεν καὶ τοῦ γάλακτος συνελκειν. ἀνωμάλου γὰρ οὔσης τῆς τοιαύτης ἐκκρίσεως, ἀδύνατον ἦν μὴ καὶ τὸν γαλαξίαν ἀνωμαλίαν ἔχειν πολλήν, ποιότητι καὶ ποσότητι αὐτῆς τῆς ἀναφερομένης κάτωθεν ὕλης ἀνωμάλου οὔσης· πῶς δὲ ἡ τοσαύτη τῶν ἄστρων ἀπόστασις οὐδὲ λόγῳ ῥητὴ δρᾶν ἔμελλεν εἰς τὰ ὑπὸ σελήνην ὡς τοσαύτην ὕλην διηνεκῶς ἀναφερόμενα καὶ τὴν αὐτὴν ἀεὶ χειμῶνος καὶ θέρους, μετοπώρου τε καὶ ἔαρος μηδεμιᾶς μηδὲ σμικροτάτης γινομένης ἐν τῷ γάλακτι διαφορᾶς; ὅπερ ἐν σώμασι θνητοῖς ἐστιν ἀδύνατον, ὡς δεικνύουσι τοῦτο καὶ οἱ κομῆται τῆς αὐτῆς ὕλης ὄντες τῷ γάλακτι κατὰ Ἀριστοτέλη· καίτοι πρότερον αὐτὸς ζητῶν, πόθεν ἐκ τῶν οὐρανίων τὰ ὑπὸ σελήνην θερμαίνεται, μόνην τοῦ ἡλίου τὴν κίνησιν αἰτίαν ταύτης ἔλεγεν εἶναι καὶ οὔτε τὰ ἀπλανῆ οὔτε ἄλλο τι τῶν οὐρανίων· πῶς οὖν αἴτια τῆς ὕλης τῶν μετεώρων τὰ ἄστρα φησὶ τῇ θερμότητι τοσαύτην εἰς ἑαυτὰ ἐκ τῶν ὑπὸ σελήνην ἕλκοντα ὕλην,

ὡς μὴ μόνον τοὺς κομήτας ποιεῖν, ἀλλὰ καὶ τὸν γαλαξίαν; ἢ πῶς ἐκείνους μὲν ποτὲ ποιεῖ καὶ ἄλλοτε ἄλλους, τὸν δὲ γαλαξίαν ἀεὶ τὸν αὐτὸν μήτε ἀρχὴν μήτε πέρας ἔχοντα *), μήτε τινὰ μεταβολὴν μικρὰν ἢ μείζονα πάσχοντα, εἴ τινα ὅλως καὶ κίνησιν ἰδίαν αὐτοῖς παράσχωμεν, δι' ἧς τὸν ἀέρα καὶ τὸ ὑπεέκκαυμα θερμαίνουσιν, εἰ δ' ὅλως καὶ συγχωρηθεῖεν θερμαίνειν ποιότητι μόνῃ, καὶ ἄλλῳ δρῶσιν οὐδενί, καθάπερ καὶ ἐπὶ τοῦ ἡλίου δεδείχαμεν. καὶ οὕτω κατὰ Πλάτωνα τῆς στοιχειώδους τοῦ πυρὸς οὐσίας κατὰ τὸ πλεῖστον τὰ ἄστρα τὴν σύστασιν ἔχουσι. καὶ ὁ τοῦ φιλοσόφου λόγος αὐτὸς ἑαυτὸν συμπεπόδικεν. καὶ Δαμάσκιος **) δὲ Ἀριστοτέλους περὶ τοῦ γάλακτος κατέγνωκεν ὑποθέσεως. μήτε γὰρ ἀναθυμίασιν εἶναι τὴν ὕλην αὐτοῦ μήτε ἐν τῷ ὑπὸ σελήνην τόπῳ συνίστασθαι. οὐδὲν γὰρ τῶν ἐξ ἀναθυμιάσεως ἐν τῷ ἀέρι καὶ τῷ ὑπεκκαύματι γινομένων παθῶν ἀεὶ τὸ αὐτὸ φαίνεται ἢ ἐν τῷ αὐτῷ τόπῳ συνίσταται ἀεί. μυρίας δὲ μεταβολὰς ὑπομένει καὶ ἄλλοτε ἐν ἄλλοις συνίσταται τόποις. ὁ δὲ γαλαξίας ἀεί ἐστιν ὁ αὐτός, καὶ τὴν αὐτὴν ἀπαράβατον ἔχει θέσιν, τέμνων τὸν ζωδιακὸν κατὰ Τοξότην καὶ Διδύμους. οὐκ ἂν δὲ οὕτως ἔχων ἐφαίνετο, εἰ περὶ γῆν ἔχει τὴν σύστασιν καὶ μὴ τῶν οὐρανίων ὑπῆρχε σωμάτων. καὶ ἄλλως εἰ ἐν τῷ αἰθέρι τὴν σύστασιν εἶχεν. ὁ δὲ αἰθὴρ ἐν τῇ κινήσει τῆς τῶν οὐρανίων ὑπολείπεται κινήσεως, ὑπελείπετο ἂν ταύτης καὶ ὁ γαλαξίας ἐξ ἀνάγκης· νῦν δὲ κατ' οὐδὲν παντελῶς αὐτῶν ὑπολείπεται οὐκ ἄρα ἐν τῷ

---

*) Aristoteles dixisset *μήτε τέλος ἔχοντα*. cfr. Göttling ad Arist. *Politic.* p. 298.

**) Est is procul dubio Damascius ille, qui commentarios in Aristotelis libros *de caelo*, quorum adhuc particula exstat in Bibliothecis, et epitomen in *Physicarum auscultationum* libros composuit; quae latet in Bibliotheca Matritensi, praeter alia quam plurima. Cfr. Fabric. *Bibl. gr.* ed. Harles. Vol. III. p. 230, 483—485. Poterat egisse ea de re in libro secundo vel tertio *παραδόξων λόγων*, quorum ille auctore Photio (cod. CXXX) inscribebatur: *παραδόξων περὶ δαιμονίων διηγημάτων κεφ. νβ'*, hic: *περὶ τῶν μετὰ θάνατον ἐπιφαινομένων ψυχῶν παραδόξων διηγημάτων κεφ. ξγ'*.

αἰθέρι συνέστηκεν, ἀλλὰ τῶν οὐρανίων ἐστὶ σωμάτων· τούτοις καὶ τοῖς τοιούτοις τὴν περὶ τοῦ γάλακτος ὑπόθεσιν Ἀριστοτέλους ἀνελὼν καλῶς ὁ Δαμάσκιος τὴν Ἐμπεδοτίμου *) περὶ τοῦ γάλακτος οἰκειοῦται ἔργον **) αὐτὸν οὐ μῦθον καλῶν. φησὶ γὰρ ἐκεῖνος ὁδὸν εἶναι ψυχῶν τὸ γάλα τὸν ᾅδην ***) τὸν ἐν οὐρανῷ διαπορευομένων †). καὶ οὐ θαυμαστόν φησιν ὁ Δαμάσκιος, εἰ καὶ ψυχαὶ καθαίρονται ἐν τούτῳ τῷ κύκλῳ τῆς ἐν οὐρανῷ γενέσεως. αὐτὸν μέντοι τὸν κύκλον οὐράνιον εἶναι θεῶν διακόσμησιν ὁμολογητέον, εἴτε κατὰ τὸ γάλα τῆς Ἥρας ὑποστᾶσαν ††), ὡς φησιν ὁ μῦθος (διὸ καὶ πρὸς τὴν ἀναγωγὴν †††) τῶν ψυχῶν οἰκείως ἔχειν, καὶ τοῦτο εἶναι τὸ μυθευόμενον, ὡς οὐκ ἄνεισιν. ἀπὸ τοῦ κόσμου ψυχὴ μὴ σπῶσα τοῦ Ἡραίου γάλακτος, ὅ ἐστιν, εἰ μὴ τύχῃ τῆς ἐν τῷ γάλακτι τούτῳ κεχυμένης προνοίας αὐτῆς τῆς θεοῦ) εἴτε καὶ ἄλλον τρόπον διακοσμηθεῖσαν, τὸν θεοῖς ἐγνωσμένον. εἶναι δ' οὖν τοῦ οὐρανοῦ τινα διάθεσιν ἄφθαρτον, ἀστρῴαν, μικρῶν ἀστέ-

---

*) „Suidas v. Ἰουλιανός· Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύομεν, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη. hic puto, in libro περὶ τῶν ἐν ᾅδου cfr. Plut. *adv. Colot.* XIV, 556. De Empedotimo nihil afferre possum, praeter Clementis et Gregorii testimonia, a Muratorio collecta ad Greg. Carm. LXXXVI. in *Raccolt.* F. XXII. p. 47. Galland. p. 377. modo patet hominem Syracusanum fuisse dolo quodam immortalitatis famam consecutum, quare cum Hercule, Trophonio et Aristea componitur ab illis." Lobeck *Aglaopham.* II. p. 935. not. b.

**) Ita Lobeck. Ald. ἀργόν.

***) Ex coniect. Lobeckii. Ald. τῶν ἐν ᾅδῃ.

†) Lobeck l. l. confert verba Porphyrii *vit. Pyth.* c. XXVIII. Δῆμος ὀνείρων (Hom. *Odyss.* XXIV, 12) κατὰ Πυθαγόραν αἱ ψυχαί, ἃς συνάγεσθαί φησιν εἰς τὸν γαλαξίαν τὸν οὕτω προσαγορευόμενον ἀπὸ τῶν γάλακτι τρεφομένων, ὅταν εἰς γένεσιν πέσωσι. Turnebus *Advers.* XIII, 2. p. 3. addit Ovid. *Metamorph.* I, 169. Cfr. etiam Lobeck *Aglaopham.* II. p. 944. not. d.

††) Ald. ὑπόστασιν.

†††) Quod Lobeckius p. 936 ait ἀναγωγήν se de suo scripsisse, cum vulgo ederetur ἀνάγκην, non intelligo. Ald. enim ἀναγωγήν aperte exhibet.

ρων πυκνότητι γαλακτίζουσαν. ψυχῶν δὲ ὀχήματά φησι λέγειν οὐκ εὔλογον τῆς συστάσεως αὐτοῦ λαμπρᾶς οὕτω καὶ ἀστροειδοῦς φαινομένης καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης. διὰ τί δὲ μᾶλλον δαιμονίων ἢ ψυχῶν; διὰ τί δὲ μὴ πρῶτον θεῶν; ἀπὸ θεῶν γὰρ ἄρχεσθαι δεῖ καὶ ταύτην τὴν ἰδιότητα. ἄλλως τε εἰ ἐδείχθη μέρος ὢν τοῦ οὐρανοῦ, πῶς οὐκ ἂν εἴη θεὸς καὶ θεῶν πλήρης, ἅτε τὸν ὁρώμενον συμπληρῶν οὐρανόν; ταῦτα πρὸς λέξιν Δαμάσκιος, τὸν Ἐμπεδοτίμου μῦθον ὡς λόγον κυρῶν ἀληθῆ, ὃν ἐχρῆν ὥσπερ τὰ ἀντικείμενα τῇ Ἀριστοτέλους ὑποθέσει συνιδεῖν καλῶς, οὕτω καὶ τῶν ἐν τῷ μύθῳ τούτῳ σκοπεῖν ἕκαστον, εἰ συμβαίνει τῇ φύσει τῶν ὄντων. φυσικῶν γὰρ πραγμάτων, περὶ ὧν πρόκειται φυσικὰς δεῖ καὶ τὰς αἰτίας ἀποδιδόναι. ὁ δέ φησιν, ὁδός ἐστι τὸ γάλα τῶν διαπορευομένων τὸν ἐν οὐρανῷ ᾅδην· εἰ οὖν τὸν γαλαξίαν διαπορεύονται, οὗτος ἂν εἴη ὁ ἐν οὐρανῷ ᾅδης καὶ πῶς ᾅδης ὁ οὕτω φωτεινός; καὶ εἰ καθαίρονται ἐκεῖ ψυχαὶ δηλονότι μὴ κεκαθαρμέναι ἀνῆλθον· οὐκοῦν μετὰ τῶν θνητῶν ὀχημάτων, ἀλλ' ἀδύνατον ἐκείνοις θνητὸν συνεῖναι σῶμα, εἴπερ εἰσὶν ἄφθαρτα. καὶ σὺ γοῦν ἔφης, οὐκ ἄνεισιν*) ἀπὸ τοῦ κόσμου ψυχὴ μὴ πιοῦσα τοῦ Ἡραίου γάλακτος, τουτέστι τῆς ἐκκεχυμένης ἐν αὐτῷ τῆς θεοῦ προνοίας· καὶ τίς αὕτη παρὰ τὴν τῶν λοιπῶν θεῶν διαστέλλειν ἐχρῆν καὶ μὴ φωναῖς ἀσήμοις θεολογεῖν, φενακίζειν δὲ μᾶλλον. καίτοιγε Πλάτων**) οὐδὲν εἶναι τὴν Ἥραν τὸν***) ἀέρα βούλεται. εἰ γὰρ συνεχῶς φησιν ἐπισυνάψεις τὸ ἥρα ἐπικαταλαμβάνοντος τοῦ α τὴν ἀρχὴν τὸ ἐξῆς τοῦ ὀνόματος τὸ η γίνεται ἀήρ, εἰ καὶ συντομώτερον ἐν ὑπερθέσει τοῦ α τὸ ἥρα γίνεται ἀήρ· διὸ καὶ τὸν Ἥφαιστον παρατριβόμενος ἀὴρ γεννᾷ, τουτέστι τὸ πῦρ· μήτηρ Ἥφαίστου ἡ Ἥρα. πῶς δὲ οὐκ ἄτοπον αἰσθητοῦ ὄντος τοῦ γαλαξίου καὶ τούτου τὴν φυσικὴν αἰτίαν ζητούντων εἰς ἀλληγορίαν τρέπεσθαι, δέον τὴν ἄγνοιαν μὴ ἐρυθριᾶν ὁμολογεῖν. καὶ αὐτὸς γοῦν τοῦ πλάσματος τῆς ἀτόπου θεολογίας

*) Ald. ἄν εἰσιν.

**) Cratyl. p. 410 B. Cfr. Meteorol. veter. Gr. et Roman. I, 1. p. 17.

***) Scr. ἢ τὸν.

αἰσθόμενος ἐπὶ φυσικὴν ἐτράπετο αἰτίαν ἀπίθανον καὶ αὐτὴν εἶναι γάρ φησι τὸν γαλαξίαν τοῦ οὐρανοῦ τινα διάθεσιν ἄφθαρτον, ἀστρώδη, μικρῶν ἀστέρων πυκνότητι γαλακτίζουσαν. ἀλλὰ τὸ φῶς τοῦ γάλακτος πολλῷ καὶ οὐ τῶν τυχόντων ἀστέρων ἐστὶ λαμπρότερον· καὶ οὐκ ἂν ἔλαθεν ἡμᾶς αὐτῶν καὶ τὸ σχῆμα. ἀλλ' ὡς αὐτὸς τοῦτο ἔχων οὕτως ἀποδείξας μέμφεται τοὺς λέγοντας ὀχήματα εἶναι ψυχῶν τὸ γάλα. λαμπρὰ γάρ φησι καὶ ἀστεροειδής ἐστιν ἡ σύστασις αὐτοῦ· τοῦτο δὲ οὐκ ἀναγκαῖον. καὶ γὰρ οἱ ὀχήματα τῶν ἡμετέρων ψυχῶν ὑποτιθέμενοι τὸ γάλα, τῆς οὐσίας τῶν οὐρανίων αὐτά φασιν· διόπερ ἀστεροειδῆ καὶ αὐγοειδῆ ταῦτα καλοῦσιν ἀϊδίως τῶν ἡμετέρων ἐξημμένα ψυχῶν συνανιόντα τε αὐτοῖς *) καὶ συγκατιόντα· εἰ δὲ καὶ ψυχῶν ἐστι κατ' αὐτὸν δίοδος, πάντως που μετὰ τῶν ἰδίων ὀχημάτων διατρεχουσῶν, οὐκ οἶδα, δι' ἣν τινα αἰτίαν τὴν ὁδὸν ἐκείνην τρίβουσι. Καὶ αὐτὸ δέ σου τὸ διαστασιαζόμενον. διὰ τί δὲ ἀνθρωπίνων καὶ μὴ δαιμονίων ψυχῶν ὁδός; διὰ τί δὲ μὴ πρῶτον θεῶν τεκμήριον τοῦ μηδὲν τούτων εἰδότα λέγειν, ἀλλὰ μόνον τὸ ὑποπῖπτον τῇ φαντασίᾳ τοῦ μὴ δοκεῖν ἀγνοεῖν. καίτοιγε τῷ Ἀριστοτέλει καλῶς ἐν τοῖς προοιμίοις εἰρημένον, φυλάττειν εὔλογον· ἐν οἷς τὰ μὲν ἀπορούμενά φησι, τῶν δ' ἐφαπτόμεθά τινα τρόπον. διὸ καὶ ἡμεῖς ἐνταῦθα πέρας τῷ λόγῳ τούτῳ δεδωκότες, τοῖς ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς ἐπίωμεν. Philopon. fol. 103, b — 104, b.

IX, 1. *Κάτεισιν ὁ Ἀριστοτέλης ἀπὸ τοῦ ἄνω τόπου ἐπὶ τὸν κάτω. καὶ τὰ ἐν τούτῳ γινόμενα πάθη φυσιολογεῖ. πέντε δέ εἰσι ταῦτα, ὑετός, χάλαζα, χιών, πάχνη, καὶ δρόσος. ἀλλὰ τούτων τὰ μὲν τρία ἐν τῷ ἀπογείῳ γίνονται μέρει τοῦ κάτω ἀέρος, ὑετὸς γάρ, χάλαζα καὶ χιὼν ἄνω γίνονται, πάχνη δὲ καὶ δρόσος κάτω. καὶ τούτων τὰ μὲν πρῶτα τρία ἐπέτειά ἐστι, τὰ δὲ ὑπόλοιπα δύο καθ' ἑκάστην ἡμέραν γίνονται· καὶ σωρεύεται μὲν ὑετοῦ καὶ χαλάζης ὕλη ἐν τῷ θέρει, τὸ δὲ εἶδος αὐτῶν ἐπιγίνεται ἐν τῷ χειμῶνι. δρόσου δὲ καὶ πάχνης σωρεύεται μὲν ὕλη ἐν τῇ ἡμέρᾳ, ἐπιγίνεται δὲ τὸ εἶδος ἐν τῇ νυκτί,*

*) Ald. *αὐταῖς*.

ὥστε διὰ τούτων ἀναφωνεῖ σοι τὸ ποιητικὸν αἴτιον. τούτων γὰρ ἥλιός ἐστι τὸ ποιητικὸν αἴτιον. τῶν ἐπετείων γάρ, τουτέστι τῶν καθ' ἕκαστον ἔτος γινομένων, ἡ ἰδία αὐτοῦ κίνησίς ἐστιν αἰτία τῷ ποτὲ μὲν αὐτὸν ἄνω γενέσθαι, ποτὲ δὲ κάτω. ἄνω δὲ ὅταν λέγω γίνεσθαι τὸν ἥλιον, πρὸς τὸ κατὰ κορυφὴν δηλονότι οὐ πρὸς τὸ ἀπὸ κέντρου. ἀεὶ γὰρ ἀπὸ κέντρου ἴσον ἀπέχων, πῶς δύναται ἄνω ἢ κάτω λέγεσθαι; τούτων μὲν οὖν διὰ τὴν ἰδίαν κίνησιν αἰτιός ἐστι. τῶν δ' ἄλλων τῶν καθ' ἑκάστην ἡμέραν γινομένων αἴτιόν ἐστιν οὐ διὰ τὴν ἰδίαν κίνησιν, ἀλλὰ διὰ τὸ συμπεριφέρεσθαι τῷ παντί. τούτῳ γὰρ συμπεριφερόμενον ποιεῖται τὴν νύκτα καὶ τὴν ἡμέραν. καὶ ἔστιν ἡ ἡμέρα μικρὸς ἐνιαυτός, ὥσπερ ἄνθρωπος μικρὸς κόσμος *). ὁ σοφὸς γὰρ Πλάτων τοῦτ' ἔφη. ποιητικὸν μὲν οὖν αἴτιόν ἐστι δευτέρως ὁ ἥλιος. πάντως δὲ ποιητικὸν αἴτιόν ἐστι πάντων τῶν εἰρημένων ἡ ψῦξις. ὑλικὸν δὲ αἴτιόν ἐστιν αὐτῶν ἡ ἀτμίς. πέντε δέ εἰσι ταῦτα τὰ γινόμενα καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. δι' αἰτίαν τοιαύτην ἐκ τῆς τῶν ἀκινήτων **), τοῦ ἡλίου θερμασίας καὶ τῶν λοιπῶν ἀστέρων, τὸ ὕδωρ τὸ περὶ τὴν γῆν ἐξατμίζεται καὶ ἀναφέρεται ἐπὶ τὸ ἄνω οὐ μόνον, ἀλλὰ μετὰ καπνώδους ἀναθυμιάσεως. αὕτη οὖν ἄνω ὀχοῦσα φέρει αὐτὴν μέχρι τοῦ ἀπογείου ἀέρος καὶ ἐκεῖ λοιπὸν ἀπολύει αὐτήν. ἀπολύει δὲ ὥσπερ φορτίον τι καὶ ἄχθος ἀποθεμένη διὰ τὸ μηκέτι δύνασθαι ἄνω χεῖν, καὶ λοιπὸν αὕτη φέρεται πρὸς τὸ συγγενὲς ὑπέκκαυμα. μένει δὲ ἡ ἀτμὶς ὑπὸ τῆς ἄγαν ψύξεως καὶ κατασβέννυται ἡ καπνώδης ἀναθυμίασις καὶ φθείρεται, ἐᾷ δὲ τὴν ἀτμιδώδη. καὶ γὰρ τὸ φθειρόμενον λέγεται ἐᾶν

*) Utrum hanc sententiam omni aevo saepenumero repetitam et in omnem partem ridicule versam et deductam primus produxerit Pythagoras, an alius quidam Graecus, an ab Aegyptiis Chaldaeisve repetita sit, hodie ignoratur. Vide omnino Iust. Lipsium *Physiol. Stoicor.* III, 2. p. 145 sqq. (ed. Antverp. 1610. 4.) et Lobeck *Aglaopham.* Tom. II. p. 920—925. Nemo elegantius eam expressit Manilio *Astronom.* IV, 893:

— — *Nobis est mundus in ipsis*
Exemplumque Dei quisque est in imagine parva.

**) Nescio, an *καί* inserendum sit.

τὸ μένον. αὕτη μένουσα οὖν ἄνω ἢ ἀλλοιοῦται καὶ μεταβάλλεται εἰς ὕδωρ, καὶ τοῦτο καταφέρεται κάτω καὶ ποιεῖ ψεκάδα ἢ ὑετόν. ψεκάδα μὲν κατὰ μέρος, ἡνίκα ἐνεχθῇ δηλονότι καὶ τῆς ἀλλοιώσεως γινομένης· ὑετὸν δέ, ἡνίκα λαβρότερον κατίῃ ἀθρόως, καὶ τῆς ἀλλοιώσεως γινομένης. ἢ οὖν μεταβάλλεται καὶ ποιεῖ ὑετὸν καὶ ψεκάδα, ἢ πήγνυται καὶ ποιεῖ χιόνα, ἢ μεταβάλλεται πρότερον καὶ οὕτω πήγνυται καὶ γίνεται ἡ χάλαζα. ταῦτα μὲν οὖν ἐὰν ᾖ πλείων θερμασία καὶ ἰσχύσῃ ἄνω ἐλκύσαι· εἰ δὲ ἐλάττων εἴη, ἔλκει μέν, ἀλλ' οὐκ ἄνω. μένει δὲ ἡ ἀτμὶς ἐν τῷ περιγείῳ μέρει τοῦ ἀέρος· ἐκεῖσε δὲ μένουσα ἢ ἀλλοιοῦται ἢ μεταβάλλεται καὶ γίνεται τὸ ἀνάλογον τῷ ὑετῷ, φημὶ δὲ δρόσος, ἢ πήγνυται καὶ γίνεται ὁ παγετός, ὅστις ἀναλογεῖται τῇ χιόνι. τὸ δὲ ἀναλογοῦν τῇ χαλάζῃ οὐ γίνεται ἐν τῷ περιγείῳ· οὐδὲ γὰρ γίνεται ἀλλοιουμένη πρότερον ἡ ἀτμὶς, εἶτα οὕτως πήγνυται καὶ ποιεῖ ἕτερόν τι διὰ τὸ μὴ εἶναι πολὺ τὸ ἐν τῷ μεταξὺ διαστήματι. ἐν γὰρ τῷ ἀπογείῳ ἀέρι ἐπειδὴ ἐκεῖνος πολὺ ἀπέχει τῆς γῆς δυνατὸν ἀλλοιωθῆναι τὴν ἀτμίδα καὶ καταγομένην τυχὸν παγῆναι. ἐν δὲ τῷ περιγείῳ ἀέρι ἐπειδὴ ὀλίγον ἐστὶ τὸ διάστημα (πλησίον γὰρ ὄντος τῆς γῆς, οὐ φθάνει ἀλλοιωθῆναι πρότερον καὶ εἶθ' οὕτω παγῆναι) οὐκ ἐστιν οὖν τὸ ἀναλογοῦν τῇ χαλάζῃ, εἰ μή τις φαίη ἀναλογεῖν αὐτῇ τὸν κρύσταλλον, ὃς γίνεται ἀπὸ ὕδατος πεπηγυμένου. πλὴν ἔχει τινὰ διαφοράν, ὅτι κρύσταλλος μὲν ὕδατος μόνου δηλοῖ πῆξιν, χάλαζα δὲ ἀλλοίωσιν ἀτμίδος εἰς ὕδωρ καὶ οὕτως ὕδατος τὴν πῆξιν *). αὕτη ἡ ποιητικὴ αἰτία τούτων ἥ τε προσεχὴς ἥ τε πόρρω αὕτη καὶ ἡ ὑλική. ἰστέον, ὅτι ὁ μὲν Ἀριστοτέλης αἴτιον λέγει τῆς εἰς ὕδωρ μεταβολῆς τὴν ψύξιν μόνον. Θεόφραστος δὲ οὐ μόνον τὴν ψύξιν λέγει αἰτίαν τῆς τοῦ ὕδατος γενέσεως, ἀλλὰ καὶ τὴν πίλησιν. ἰδοὺ γὰρ ἐν Αἰθιοπίᾳ μὴ οὔσης ψύξεως, ὅμως ὑετὸς κατάγεται διὰ τὴν πίλησιν. φησὶ γὰρ ὄρη εἶναι ἐκεῖσε ὑψηλότατα, εἰς ἃ τὰ νέφη προσπταίουσι. καὶ εἶθ' οὕτως ὁ ὑετὸς καταρρήγνυται διὰ τὴν γινομένην πίλησιν· ἀλλὰ καὶ ἐπὶ τῶν λεβήτων ὑγρότης φησὶν

*) Haec exhibentur apud Aldum, tamquam ab ipso Aristotele profecta.

ἀντικαταρρεῖ. ἔτι δὲ καὶ ἐπὶ τῶν θόλων τῶν λουτρῶν μὴ παρούσης ψύξεως διὰ τὴν πίλησιν δηλονότι τούτου γινομένου. ἔστιν εἰπεῖν καὶ ἄλλο αἴτιον, τὴν ἀντιπερίστασιν. ἰδοὺ γὰρ ἐν Θηβαΐδι μετεώρων ὄντων ὑψηλῶν, ἀλλὰ καὶ θερμοτάτης χώρας ὑπαρχούσης *), ὑετὸς κατάγεται διὰ τὸ ἀντιπερίστασθαι τὸ ψυχρὸν ἐν τῇ νεφέλῃ ἔσω ὑπὸ τῆς ἔξωθεν θερμασίας ὑποκαιόμενον· ἀλλ' ἔστιν, ὡς μοι δοκεῖ, συνηγορῆσαι τῷ Ἀριστοτέλει, ὅτι ψύξις μόνη αἰτία. καὶ γὰρ ἐπὶ τοῦ λουτροῦ καὶ ἐπὶ τοῦ λέβητος ἄτοπον αἰτιᾶσθαι τὴν πίλησιν. αὐτὸ γὰρ τοῦτο ἡ πίλησίς τι ποιεῖ, ὑπὸ τίνος γίνεται. μᾶλλον οὖν δεῖ λέγειν, ὅτι πολὺς ἀτμὸς ἐπισωρεύεται ἄνω περὶ τὸ πῶμα καὶ περὶ τὸν θόλον, ὡς καταπνίγειν τὴν θερμασίαν. καὶ λοιπὸν τῇ τῆς κινήσεως ἀπωλείᾳ ψύξις ἐπιγίνεται καὶ διὰ τοῦτο συμβαίνει κατάγεσθαι τὸ ὑγρόν. ὅτι δὲ καὶ οἱ λέγοντες ἀντιπερίστασιν πάλιν ψύξιν ὁμολογοῦσι κατὰ πρῶτον λόγον ποιοῦσαν, πρόδηλον. ταύτην γὰρ ἔφασαν ὑπὸ τῆς θερμότητος ἀποκλειομένην ποιεῖν. ἡ ψύξις οὖν μόνη αἰτία ἐστί. χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἐν Θηβαΐδι ὑετὸς καταγόμενος καὶ λάβρος κάτεισι καὶ ἐστὶ τὸ ὕδωρ πικρόν. πικρὸν μὲν οὖν ἐστι διὰ τὸ μετέχειν πλείστης τῆς καπνώδους ἀναθυμιάσεως. λάβρος δὲ κάτεισιν, ἐπειδὴ ἐν ταύτῃ τῇ καπνώδει ἀναθυμιάσει ἐπιμέμικται καὶ γεῶδες, ὅπερ ὡς βαρύτατον σφοδρότατα κάτεισιν, οὕτως καὶ ἐν Θήρει λάβρος ἐστὶν ὑετὸς καταγόμενος, ὡς ὁ θεῖος ἐμαρτύρησεν Ἱπποκράτης εἰρηκώς, οἷον ἐν καύματι λάβρῳ διὰ τὸ εἶναι πλείστην γεώδη οὐσίαν σὺν τῇ καπνώδει, ἥτις τότε μάλιστα πλεονάζει. ὅτι δὲ καπνώδει μάλιστα συμμέμικταί τις οὐσία γεώδης δῆλον ἐκ τῆς θαλάσσης· τὸ γὰρ αὐτῆς ὕδωρ βαρύτερόν ἐστι τοῦ ἐν λίμναις. διὸ ὡς βαρύτερον καὶ ἀντιβαῖνον καὶ μεῖζονα πλοῖα πλείω φόρτον φέρουσιν ἐπὶ θαλάττης ἢπερ ἐν λίμναις. ἀμέλει διὰ ταύτην τὴν αἰτίαν πολλοὶ Ἰνδικοπλεῦσται ναυαγοῦσι μὴ εἰδότες τοῦτο, καὶ ἐν μὲν τῇ θαλάσσῃ γεμίζουσιν αὐτὰ

*) Fortasse scribendum *ἐν Θηβαΐδι ὄρων ὄντων ὑψηλῶν, ἀλλὰ καὶ θερμοτάτης τῆς χώρας ὑπαρχούσης.* Caeterum cfr. quae monet Olympiodorus infra fol. 34, b, quae verba suo loco adscribemus.

φόρτου. καὶ ἡ μὲν θάλασσα διὰ τὸ γεῶδες αὐτῆς ἀνοχεῖ καὶ βαστάζει. ἔρχονται δὲ ἐν ποταμοῖς ἢ λίμναις καὶ ναναγοῦσι διὰ τὸ μὴ ἔχειν οὕτως τὸ γεῶδες ἐκ τῆς καπνώδους ἀναθυμιάσεως καὶ μὴ δύνασθαι ἀνοχεῖν. ἴσως δὲ δυνατὸν καὶ τὴν καπνώδη ἀναθυμίασιν ἀνοχοῦσαν διὰ τὸ σπεύδειν ἐπὶ τὸ συγγενὲς χωρεῖν, ἐν τῇ θαλάσσῃ μείζονα τὰ πλοῖα τὰ αὐτὰ πλείω φόρτον βαστάζοντα οὐ μόνον ἐκ τῶν πλοίων ἐστὶ πιστώσασθαι βαρύτερον τὸ θαλάσσιον καὶ μᾶλλον ἀνοχοῦν, ἀλλὰ καὶ εἴτις σταθμίζει τὸ ἀληθὲς εἴσεται. καὶ εἴτις ὠὸν ἐν ὕδατι γλυκεῖ καὶ θαλαττίῳ βάλλῃ· ἀνοχεῖται γὰρ ἐπὶ τοῦ θαλαττίου, κάτω δὲ βρίθει καὶ οὐκέτι πλεῖ ἐπὶ τοῦ γλυκέος· ταῦτα παραδίδωσιν ἡ μετὰ χεῖρας λέξις. Olymp. fol. 18, a — 18, b.

IX, 1. *Ληπτέον δὲ καὶ τούτων τὰς ἀρχὰς καὶ τὰς αἰτίας πάντων ὁμοίως*] *Ἀρχὰς καὶ αἰτίας.* ἢ ἀρχὴν μὲν εἶπε τὴν ποιητικήν. ἐπειδὴ καὶ ποιητικόν ἐστιν αἴτιον ὅταν ᾖ ἀρχὴ τῆς κινήσεως. *αἰτίαν* δὲ εἶπε τὴν ὑλικὴν τῷ γενικῷ ὀνόματι. τί δέ ἐστι πάντων ὁμοίως; ὅτι δεῖ τὴν ποιητικὴν φησιν αἰτίαν καὶ τὴν ὑλικὴν τῶν πέντε τούτων ὁμοίως λαβεῖν. πάντων γὰρ τούτων προσεχὲς μὲν ποιητικὸν αἴτιον ψύξις. πόρρω δὲ καὶ δεύτερος ὁ ἥλιος. ὑλικὸν δὲ αἴτιον ἡ ἀτμίς. Olymp. fol. 18, b.

IX, 5. *Αἰνίττεται εἰς τοὺς ποιητὰς* *) *λέγοντας Ὠκεανόν ποτε μὲν κύκλον τινὰ ὄντα τῆς γῆς καὶ περιέχοντα αὐτήν, οὐ δεῖ γὰρ τοῦτο λέγειν φησὶν Ὠκεανόν. τὸ γὰρ ὕδωρ οὐ περιέχει τὴν γῆν, ἀλλὰ τοὐναντίον ὑπὸ αὐτῆς περιέχεται, καὶ ὡς ἀγγείῳ αὐτῇ κέχρηται. ἔπειτα δὲ οὔτε κύκλῳ ἐστὶν οὗτος. ἱστόρηται γάρ, ὅτι οὐ πᾶσαν τὴν γῆν περιέχει. ἤθελον οὖν οὗτοι λέγειν Ὠκεανόν. οὗτος γὰρ καὶ πᾶσαν τὴν γῆν περιέχει καὶ κύκλος δέ ἐστι μιμούμενος τὸν τοῦ ἡλίου κύκλον. ὥσπερ γὰρ*

---

*) Nota constructionem insolentiorem, quae tolerari non potest, nisi *αἰνίττεσθαι* passiva significatione sumatur, uti factum apud Schol. Paris. Apollon. Rhod. II, 1249: *τὸ δαπανᾶσθαι τὸ ἦπαρ τοῦ Προμηθέως ὑπὸ τοῦ ἀετοῦ αἰνίττεσθαί φησιν*, ubi laudat Schaeferus p. 213, Schol. Luciani Tom. I. p. 13: *ὁ λαγὼς ἐπὶ δειλίας αἰνίττεται.*

ἐκεῖνος ἄνω καὶ κάτω φέρεται, οὕτω καὶ οὗτος ὁ ἀπὸ τῆς ἀτμίδος κύκλος συγκινούμενος τῷ ἡλίῳ. ἄνω γὰρ τοῦ ἡλίου φερομένου τουτέστι κατὰ κορυφὴν ἡμῖν φερομένου, καὶ αὐτὸς ἄνω φέρεται. ἐξατμίζεται γὰρ πλεῖον καὶ ἀνέλκεται ἐπὶ τὰ ἄνω. κάτω δὲ τοῦ ἡλίου φερομένου, καὶ αὐτὸς κάτω φέρεται καὶ εἰς ὕδωρ μεταβάλλεται. οὕτω μᾶλλον καὶ εὖγε, ὅτι τοῦ μὲν θερμοῦ ἐπικρατοῦντος γίνεται ἀὴρ κρεῖττον ὂν στοιχεῖον. τοῦ δὲ ψυχροῦ τὸ ὕδωρ χεῖρον ὄν. εἶγε τὸ μὲν θερμὸν τῶν κρειττόνων ποιητικόν, τῶν δὲ χειρόνων τὸ ψυχρόν. καὶ εὖγε, ὅτι τοῦ ἡλίου γενομένου ἄνω καὶ κρεῖττον στοιχεῖον γίνεται, φημὶ δὴ ἀήρ. κάτω δὲ τὸ χεῖρον, φημὶ δὴ τὸ ὕδωρ. καὶ τοῦτο γὰρ αἴτιόν ἐστι τοῦ ἐξοικεῖσθαι τὰ τῇδι ὑπὸ τῆς τοιᾶσδε τοῦ ἡλίου κινήσεως. τοῦτον οὖν τὸν κύκλον δεῖ μᾶλλον ὁλότητα λέγειν τοῦ ὕδατος, ἥπερ ὥς τινες τὴν θάλατταν, διότε ὥς φησιν Ἀριστοτέλης ἐφεξῆς ἐν τῷ β λόγῳ, ὅτι εἰσὶ δύο θάλασσαι πάντη διακεκριμέναι καὶ μηδαμῇ συμβάλλουσαι, ἥ τε Ὑρκανία καὶ ἡ Κασπία. πλήν τινες ἱστορικῶν ἱστοροῦσιν, ὅτι καὶ συμβάλλουσιν. *) Olymp. fol. 19, a.

X, 1. Ἐντεῦθεν περὶ δρόσου βούλεται εἰπεῖν καὶ τῆς πάχνης· ὅτι ἡ Θερμασία ἐλάττων οὖσα ἕλκει καὶ ἀτμίδα καὶ ἀπολύει αὐτὴν ὡς ἀσθενὴς εὐθέως, καὶ κάτω μένουσα συμπήγνυται καὶ ποιεῖ τὴν πάχνην. ἢ ἀλλοιοῦται καὶ πήγνυται καὶ ποιεῖ τὴν δρόσον. καὶ ταῦτά ἐστι τὰ δύο μόνον. οὐ γάρ ἐστιν ὡς εἴρηται τὸ ἀνάλογον ἐνταῦθα τῇ χαλάζῃ· πλὴν ἐπειδὴ διεσπαρμένως βούλεται δεῖξαι ψυχροτέραν οὖσαν τὴν πάχνην τῆς δρόσου, εἰ δοκεῖ συνάγωμεν ταῦτα, ἡ πάχνη ψυχροτέρα ἐστίν, εἶγε θερμαινομένη δρόσος γίνεται. δεύτερον ἐπιχείρημα· ἡ πάχνη ἐκ τῆς ἀτμίδος πηγνυμένης εἰ γίνεται, πρόδηλον ὅτι ψυχροτέρα. ἵνα γὰρ ψύξιν ὑπομείνῃ τὸ θερμόν, πολλή ἐστιν ἡ γινομένη ψύξις, ἥπερ ἵνα τὸ ψυχρὸν παγῇ. οὕτως γὰρ καὶ ὕδωρ ῥᾷστα πήγνυται ἥπερ οἶνος **) τρίτον ἐπιχείρημα. εἰ ἡ μὲν πάχνη ἐν τοῖς ψυχροτάτοις γίνεται χωρίοις, ὥσπερ οὖν ἡ καὶ ἐν τῇ ψυχροτάτῃ ὥρᾳ, οἷον χειμῶνι. ἡ δὲ δρόσος ἐν τοῖς εὐ-

*) Quae sequuntur sunt verba Aristotelis, quae excipit interpretatio Olympiodori.

**) Cfr. *Meteor. vet. Graec. et Rom.* XI, 56. p. 230. not 21.

κράτοις μᾶλλον τόποις καὶ ἐν ἔαρι μᾶλλον καὶ φθινοπώρῳ, πρόδηλον ὅτι πάχνη ψυχροτέρα τῆς δρόσου. οὕτως καὶ ἡ χιών. εἴγε ἡ μὲν χιὼν ψυχροτέρα τοῦ ὑετοῦ. ἆρα δὲ τι ψυχρότερον; χιὼν ἢ χάλαζα; καὶ ῥητέον, ὅτι χιών. εἴγε ἡ μὲν χιὼν τοῦ θερμοῦ, φημὶ δὴ τῆς ἀτμίδος, δηλοῖ πῆξιν. ἡ δὲ χάλαζα τοῦ ὕδατος. ὥστε δὴ χιὼν χαλάζης ψυχροτέρα, οὕτως καὶ πάχνη κρυστάλλου. πλὴν διὰ τὸ ἀντιβαίνειν δοκεῖ χάλαζα χιόνος εἶναι ψυχροτέρα καὶ κρύσταλλος πάχνης. καθάπερ ὁ πεπυρακτωμένος σίδηρος τῆς φλογὸς δοκεῖ εἶναι θερμότερος. διὰ γὰρ φλογὸς παράγομεν τὴν χεῖρα, οὐ τολμῶμεν δέ ποτε ἅψασθαι τοῦ πεπυρακτωμένου σιδήρου. Olymp. fol. 19, b.

X, 4. Ἡ μετὰ χεῖρας λέξις τὰ κοινὰ καὶ ἴδια προδίδωσιν ἡμῖν δρόσου καὶ πάχνης. καὶ πρῶτον κοινὸν τοῦτο, ὅτι ὥσπερ δρόσος ἐν τῷ κάτω τόπῳ, οὕτω καὶ ἡ πάχνη. Δεύτερον κοινόν, ὅτι ἑκάτερον αὐτῶν ἐφημερινὴν ἔχει τὴν γένεσιν. τρίτον, ὅτι γίνονται ταῦτα μᾶλλον αἰθρίας οὔσης καὶ νηνεμίας. οὔτε γὰρ λάβρου ἀνέμου ὄντος ἔν τι τούτων γίνεται, διασκορπίζεται γὰρ ἀτμὶς ὑπὸ τῆς τοῦ ἀνέμου βιαίας κινήσεως, οὔτε μὴν ὑετοῦ καταγομένου. καταβαπτίζεται γὰρ καὶ οἷον ἐπὶ γῆν ἀποδιώκεται ἡ ἀτμίς. ταῦτα τὰ κοινά. ποῖα δὲ τὰ ἴδια; ὅτι ἡ μὲν δρόσος γίνεται ἐν τοῖς ἀλεεινοτέροις μάλιστα καιροῖς καὶ τόποις, ἡ δὲ πάχνη ἐν τοῖς ψυχροτέροις· καὶ ὅτι ἡ μὲν δρόσος γίνεται νοτίων πνευμάτων ἐπικρατούντων, ἡ δὲ πάχνη τῶν βορείων. πλὴν τοῦτο ἐπὶ πάσης χώρας ἀληθές, πλὴν τοῦ Πόντου. ἐκεῖ γὰρ ἀντιπεπονθότως ἔχει. καὶ τοῦ μὲν βορέου πνέοντος δρόσος κατάγεται. τοῦ δὲ νότου πάχνη γίνεται. αἴτιον δὲ τούτων ἡ ἀντιπερίστασις. ἐπειδὴ γὰρ ὁ Πόντος ψυχρός ἐστιν, ἐὰν πνεύσῃ βορρᾶς, ψυχρὸς ὢν ἐπιτείνει τὴν ψύξιν καὶ λοιπὸν χωρεῖ παρὰ τὸ βάθος τῆς ἀτμίδος ἡ θερμασία καὶ μὴ εὑρίσκουσα διέξοδον πολυπλασιάζεται. καὶ πολλῆς οὔσης χύσις γίνεται καὶ πίπτει δρόσος. εἰ δὲ νότος πνεύσει, τοὐναντίον κατάγεται πάχνη διὰ τὸ πολυπλασιάζεσθαι. τὸ ψυχρὸν ἀποκλειόμενον. ταῦτα μὲν οὖν περὶ δρόσου καὶ πάχνης. ἔχει δὲ ἐντεῦθεν καὶ τὰ περὶ ὑετοῦ καὶ χιόνος. ἃ γὰρ εἴρηται περὶ τούτων, ταῦτα δεῖ καὶ περὶ τούτων ἐννοεῖν. ἀναλογεῖ γὰρ ἡ μὲν πάχνη τῇ χιόνι, ἡ δὲ δρόσος τῷ ὑετῷ. ἐκεῖνο δὲ δεῖ μόνον ἀπορῆσαι.

τί δήποτε μὴ ἔστιν ἀναλογοῦν τῇ χαλάζῃ ἐν τῷ περὶ γῆν τόπῳ. ἀλλ' ἐν μὲν τῷ ἄνω τρία γίνονται, ἐν δὲ τῷ κάτω δύο. αὕτη μὲν ἡ ἀπορία. θέλων δὲ τὴν λύσιν αὐτῆς παραδοῦναι, ὅπερ πεποίηκεν ἐν τῷ $\overline{\beta}$ λόγῳ τῆς φυσικῆς ἀκροάσεως *) ζητῶν περὶ τοῦ τόπου εἴτε διάστημά ἐστι, εἴτε ἐπιφάνεια, οὐ πρότερον τοῦτο ἔλυσε πρὶν τὰ ἴδια τούτῳ παραδοῦναι, τοῦτο καὶ νῦν ποιεῖ. καὶ πρὶν λῦσαι τὴν ἀπορίαν τὰ ἴδια καὶ ἐξαίρετα τῆς χαλάζης παραδίδωσιν. εἰσὶ δὲ πρῶτον μέν, ὅτι ἡ χάλαζα πῆξίς ἐστιν ὕδατος ἐπειδὴ καὶ ὁ κρύσταλλος πῆξίς ἐστιν ὕδατος πολλὴν πρὸς τὴν χάλαζαν ἔχων τὴν οἰκειότητα. καὶ οὕτως λευκὴ χάλαζα καὶ διαφανὴς καὶ βαρεῖα ὡς ὁ κρύσταλλος. τοῦτο πρῶτον. δεύτερον ἴδιον ἡ χάλαζα μᾶλλον λαβρότερον φέρεται ἔαρος καὶ φθινοπώρου ἢπερ χειμῶνος. καὶ ἄπορον πῶς ἡ χάλαζα πῆξις δηλοῦσα οὐκ ἐν τῇ ψυχροτέρᾳ μᾶλλον ὥρᾳ γίνεται. τούτου δὲ τὴν λύσιν ἐν τοῖς οἰκείοις τόποις ἐξῆς ἀποδίδωσι· τούτου δὲ μόνον χρὴ εἰδέναι, ὅτι ἄλλο ὀπώρα καὶ ἄλλο θέρος. τὸ γὰρ θέρος εἰς $\overline{\beta}$ διαιρεῖται. εἰς θέρος ὅταν ἡλιός ἐστιν ἐν καρκίνῳ καὶ παρθένῳ καὶ εἰς ὀπώραν ἡνίκα ὁ ἥλιος ἐν λέοντι, ὅταν ὁ σείριος φαίνεται. λοιπὸν ὂν καὶ ὁ ποιητὴς διὰ τὴν ὀπώραν ὀπωρινὸν ἐκάλεσεν **). ὅτι δέ ἐστιν ὀπώρα δηλοῖ τὸ τὴν ἐξῆς ὥραν φθινόπωρον καλεῖσθαι ὡς ἂν μετὰ τὴν φθίσιν ἐπιγινομένην. τοῦτο $\overline{\beta}$ ἴδιον. τρίτον ἴδιον, ὅτι ἡ χάλαζα πῆξίς ἐστιν ὕδατος οὐχ ἱσταμένου ἀλλὰ κινουμένου. ἀπορίαν γὰρ ἔχει κἀνταῦθα ὁ λόγος πότερον ἄνω μένοντος τοῦ ὕδατος γίνεται ἡ πῆξις πρόδηλον. οὐκ ἐνδέχεται δὲ τὸ ὕδωρ τοῦτο μένειν ἄνω καὶ οὕτως πήγνυσθαι. ἅμα γὰρ ἂν ἡ ἀτμὶς εἰς ὕδωρ μεταβληθῇ, οὐ μένει ἄνω, ἀλλὰ φέρεται κάτω διὰ τὸ σύμφυτον τοῦ ὕδατος βάρος. οὐκ ἐνδέχεται οὖν ἱσταμένου τοῦ ὕδατος γίνεσθαι τὴν πῆξιν. εἰ δέ τις εἴπῃ, ὅτι οὐκ ἄτοπον γίνεσθαι τὴν χάλαζαν πολλῆς χιόνος

*) Disputat Aristoteles de loco, deque iis, quae in loco accidunt, *Physic. Auscultat.* IV, c. 4—5. Aut igitur corrigendum ἐν τῷ $\overline{\delta}$ λόγῳ, aut statuendum Olympiodorum alium librorum ordinem ante oculos habuisse, quod vix cuidam credibile videbitur.

**) *Iliad.* ε', 5.

συναγομένης καὶ ἑνουμένης, ὥσπερ γίνεται καὶ ἐπὶ τῶν ψεκάδων. πολλαὶ γὰρ συμβαίνουσαι ψεκάδες μικραὶ ἀποτελοῦσι μίαν μεγάλην. ἐροῦμεν ὅτι οὐκ ἐνδέχεται. ψεκὰς γὰρ ψεκάδι σύνεισιν*) εἰς μείζονος ψεκάδος γένεσιν. χιὼν δὲ χιόνι οὐ συνέρχεται. διότι τὰ μὲν ὑγρὰ συνέρχεται, τὰ δὲ πεπηγότα συνελθεῖν καὶ ἑνωθῆναι οὐ δύναται. ἀδύνατον οὖν ἄνω γενέσθαι τὴν πῆξιν. τί οὖν λείπεται; ὅτι ἐν τῷ κατιέναι ἡ πῆξις γίνεται**), διότι πολύ ἐστι διάστημα. ἐντεῦθεν ἔχει διὰ τί μὴ γίνεται καὶ ἐν τῷ κάτω τόπῳ τὸ ἀναλογοῦν χαλάζῃ, ἐπειδὴ πολὺ μή ἐστι τὸ διάστημα, πλὴν ταῦτα ἀκριβέστερον ἐν τῇ μελλούσῃ θεωρίᾳ. Olymp. fol. 19, b — 20, a.

X, 6. Τὴν αἰτίαν ἀποδιδούς, δι' ἣν ἐν τῷ Πόντῳ ὑπεναντίως ἔχει, φησὶ ταῦτα. ὅτι διὰ τὴν αὐτὴν αἰτίαν ταῦτα γίνονται, δι' ἣν καὶ ἐπὶ ἡμῶν. ἀλλ' ἵνα νοήσῃς τὸ λεγόμενον, ἐντεῦθεν ἄρχομαι. ὁ βορρᾶς παρ' ἡμῖν ὡς ψυχρὸς ὢν καὶ συνάγων, χειμῶνα ποιεῖ, ὁ δὲ νότος, θερμὸς ὢν καὶ διαλύων, εὐδίαν. γίνεται οὖν ἡ μὲν δρόσος ὡς εὐδίας οὔσης, ἡ δὲ πάχνη χειμῶνος. ἐν δὲ τῷ Πόντῳ ἀντιπεπονθότως ὁ μὲν νότος χειμῶνα ποιεῖ, ὁ δὲ βορρᾶς εὐδίαν διὰ τὴν ἀντιπερίστασιν. εἰ δὲ τοῦτο, καὶ ἐν Πόντῳ εὐδίας οὔσης δρόσος γίνεται, χειμῶνος δὲ πάχνη· ἀλλ' ἐν τούτῳ διαφέρει, ὅτι ἄλλος μὲν ἄνεμος ποιεῖ παρ' ἡμῖν χειμῶνα, ἄλλος δ' ἐν τῷ Πόντῳ. ὁμοίως δὲ καὶ εὐδίαν. ὥστε ἐκ χειμῶνος τῆς ἀναθυμιάσεως σβέννυσι τὴν θερμότητα. ἐπειδὴ ψυχρός ἐστιν ὁ βορρᾶς καὶ διὰ τοῦτο χειμῶνα ποιεῖ, ἀναγκαίως***) γίνεται πάχνη. σβέννυται γὰρ ἐκ τῆς ψυχρᾶς ἀναθυμιάσεως ἡ θερμασία ἡ ἐν τῇ ἀτμίδι. πλὴν ταῦτα λέγει ὡς ἐπὶ τῆς ἡμετέρας οἰκήσεως †). Olympiodor. fol. 20, a.

---

*) Ald. *σύνεσιν*.

**) Id ipsum nostra aetate Leopoldus a Buch verum esse docuit, et ipse ego verum esse adhuc contendo, quamvis plura contra monuerit Kämtz.

***) Ald. *ἀνάγκα*.

†) Tota ista Olympiodori adnotatio pluribus dubitationibus ansam praebere potest. Etenim Olympiodorum Alexandriae degisse verosimile est, cum mensium nominibus Aegyptiacis ute-

X, 7. Ὁ δὲ βορρᾶς διὰ τῆς ψυχρότητος ἀντιπεριϊστὰς τὸ θερμὸν ἀθροίζει] Ἰδοῦ καλῶς εἴρηται, ὅτι ἐν τῷ Πόντῳ τοὐναντίον. ὁ μὲν νότος ἐστὶν ὁ ποιῶν χειμῶνα, ὁ δὲ βορρᾶς εὐδίαν διὰ τὴν ἀντιπερίστασιν· ὅτι γὰρ γίνεται ἀντιπερίστασις τοῦ θερμοῦ, δηλοῦσι καὶ κῶλα ἀποτεμνόμενα διὰ τὴν ἀποκλειομένην θερμασίαν. τμητικὴ γάρ, οὕτω καὶ ὁ Πλάτων ἐτυμολογεῖ τὸ θερμόν, οἷον τομόν τι ὄν. ἀντιστοιχεῖ γάρ φησι τὸ τ' τῷ θ'. τὸ δὲ ρ' πρόσκειται διότι εὐκίνητον τὸ ρ'. δηλοῖ δὲ τὸ τῶν τριῶν στοιχείων καταληκτικὸν εἶναι αὐτό. πλὴν γῆς διὰ τὸ δυσκίνητον *). Olymp. fol. 20, a.

XII, 5. Τοῦτο εἰπὼν ὁ Ἀριστοτέλης δύο τινὰ παράδοξα ἔπεσθαι τῷ λόγῳ τῆς χαλάζης, ἓν μὲν τὸ ἐν ταῖς ἀλεεινα῀ς ὥραις καὶ χώραις αὐτὴν μᾶλλον γίνεσθαι, ἢπερ ἐν ψυχροτέραις, δεύτερον δὲ τὸ ἄτοπον εἶναι ἀθρόον τοσοῦτον ὕδωρ μένειν ἀκίνητον, ἄχρις ἂν παγῇ μὴ ἐνεργοῦν κατὰ τὴν οἰκείαν ῥοπήν (ἄτοπον δὲ καὶ τὸ ἐν συναγωγῇ χιόνος γίνεσθαι τὴν χάλαζαν, οὐ γὰρ ἐνδέχεται, τὰ παγέντα ἐνωθῆναι) βούλεται νῦν τούτων τὰς ἐπιλύσεις παραδοῦναι. πρὶν δὲ τὴν οἰκείαν ἐπίλυσιν εἰπεῖν, τὴν Ἀναξαγόρειον λέγει. καὶ ταύτης γὰρ λύσεις ἐπιδιδούς, οὕτως ἐπάξει τὴν οἰκείαν ἐπίλυσιν. ὁ τοίνυν Ἀναξαγόρας ἔλεγεν ἐν ταῖς ἀλεεινα῀ς ὥραις καὶ χώραις τὴν χάλαζαν γίνεσθαι, ἐπειδὴ χρεία ἐστὶ πολλῆς τῆς θερμασίας τῆς ἀναρπαζούσης καὶ εἰς ὑψηλότερον τόπον φερούσης τὴν ἀτμίδα, ἵνα ἐν τῷ ἀπογείῳ γενομένη αὐτὴ ψυχρῷ ὄντι, οὕτω χάλαζα γένηται. αὕτη ἡ ἐπίλυσις. ἕπονται δὲ αὐτῇ φησι τρία ἄτοπα. πρῶτον μὲν γὰρ ἡ χάλαζα οὐ γίνεται ἐν τοῖς ἀπογείοις τόποις, ἀλλὰ μᾶλλον ἐν τοῖς περιγείοις ὡς δηλοῦσιν αἱ ἀκρώριαι τῶν

---

retur fol. 12, b. De austri tamen et aquilonis natura ita locutus est, quasi Graecus fuisset homo inque Graecia vixisset. Sed de Alexandria idem valet quod de Graecia, non ita de Aegypto superiore, ubi Auster quamvis serenus, minime tamen calidus exstitit, immo potius frigidissimus. Cfr. Aristotel. *Problem.* XXVI, 49. p. 945, b. Theophrast. *de ventis* §. 3. p. 758.

*) Cfr. Platon. *Tim.* p. 61 E.

ὁρῶν, χιονιζόμεναι μέν, μὴ χαλαζόμεναι δέ *). δεύτερον ὅτι ἐφάνησαν νεφέλαι κάτω μετὰ κτύπου πάνυ σφοδροτάτου, ὥστε πάντας θαυμάζειν μή τι ξενὸν γένηται, καὶ μεθ' οὗ **) πολὺ κατηνέχθη χάλαζα, ᾧ δῆλον ὅτι κάτω γίνεται. τρίτον καταφέρονται χάλαζαι οὐ σφαιρικαί, ἀλλ' ἐπιμήκεις, οὐ μικραί, ἀλλὰ καὶ μεγάλαι, οὐ πυκναί, ἀλλὰ καὶ ἀραιαί. τούτων δὲ τὰ μὲν πρῶτα δηλοῖ ἐν τῷ ἄνω μὴ γίνεσθαι τὴν χάλαζαν. τὰ δὲ δεύτερα ἐν τῷ κάτω· ἀπὸ γὰρ πολλοῦ διαστήματος φερομένη περιφερὴς ἐστι. περιθραύονται γὰρ αὐτῶν αἱ ἔξοχαί. ἀλλὰ μὴν καὶ μικραί, θρύπτονται γὰρ καὶ πυκναί, ἐπειδὴ καὶ πλείονες γίνονται. εἰ οὖν μεγάλαι ἐν θέρει καὶ ἐπιμήκεις καὶ ἀραιαὶ καταάγονται, πρόδηλόν ἐστιν, ὅτι κακῶς ἔλεγεν Ἀναξαγόρας. οὕτως ἀνατρέψας τὴν Ἀναξαγόρειον ἐπίλυσιν ἐπάγει τὴν ἑαυτοῦ λέγων, ὅτι ἐπειδὴ γίνεταί τις ἀντιπερίστασις ἐν τῷ θέρει θερμασίας οὔσης πολλῆς ἀντιπερίΐσταται τὸ ψυχρὸν ἐν τῷ βάθει. καὶ ἀποκλειόμενον πλουσιώτερον γίνεται. ἐντεῦθεν σύντομιον τὴν ἀλλοίωσιν ἐπάγει τῆς ἀτμίδος καὶ τὴν πῆξιν τοῦ ὕδατος. διὸ καὶ λαβρότερος ὁ τότε ὑετὸς κατάγεται, καὶ ἡ χάλαζα λαβροτέρα, ἐπειδὴ καὶ ταχεῖα ἡ ἀλλοίωσις. τὰ γὰρ κατ' ἀντιπερίστασιν δρῶντα, συντομώτερον καὶ δραστικώτερον ποιοῦνται τὴν ἐνέργειαν. οὕτω λύσας τὴν πρώτην ἀπορίαν τρέπεται καὶ ἐπὶ τὴν λύσιν τῆς δευτέρας λέγων, ὅτι ὕδωρ ἐστὶ κινούμενον καὶ πηγνύμενον. ᾗ μὲν οὖν ὕδωρ ἐστίν, ἐκφεύγομεν τὸ δεύτερον ἄτοπον τὸ λέγον πῶς τὰ παγέντα ἐνοῦνται, ᾗ δὲ κινούμενον, ἐκφεύγομεν καὶ τὸ πρῶτον τὸ λέγον, διὰ τί μένει μὴ κάτω φερόμενον τὸ ὕδωρ. ἐπειδὴ γὰρ ἐν χρόνῳ γίνεται ἥ τε πῆξις καὶ ἡ καταγωγὴ τοῦ ὕδατος, ἢ ἴσός ἐστιν ὁ χρόνος τῆς πήξεως τῷ χρόνῳ τῆς καταγωγῆς, ἢ ἄνισος. εἰ μὲν οὖν ἴσος εἴη συμβαίνει κάτω περὶ αὐτὴν τὴν γῆν γίνεσθαι τὴν πῆξιν, εἰ δὲ πλείων εἴη ὁ τῆς καταγωγῆς χρόνος τοῦ τῆς πήξεως συμβαίνει ἔτι ἐν τῷ μετεώρῳ ὄντος τοῦ ὕδατος γίνεσθαι τὴν

*) Prius verbum impersonaliter legitur apud Herodotum II, 22, pro altero fortasse legendum χαλαζούμεναι.

**) Ald. μετ' οὐ.

πῆξιν. οὕτω γὰρ εἴρηται καὶ ἐπὶ βαυκαλίου *) ὅτι ἐὰν ἐπειγμένως τις κινήσῃ αὐτὸ οὐκ ἐχεῖται τὸ ὕδωρ, εἰ δὲ ἡμελημένως, ἐχχεῖται διὰ τὸ πλείονα εἶναι τὸν χρόνον τῆς κινήσεως τῆς χειρός, τῆς οἰκείας αὐτοῦ τοῦ ὕδατος κινήσεως· οὕτω τινὲς καὶ τὴν γῆν λέγουσιν ἀκίνητον διὰ τὴν τοῦ παντὸς κίνησιν **).

*) Cfr. Alexandr. Aphrodis. *Problem.* I, 94. fol. 16, b: διὰ τί τὰ λεγόμενα βαυκάλια (καυκάλια Ald.) ἐν τῷ πληροῦσθαι ὕδατος ψόφον τινὰ ἀποτελεῖ, ὅθεν καὶ ἡ φύσις καὶ τὸ ποιὸν τοῦ ψόφου εἰς ὄνομα αὐτοῖς μετήνεγκεν, ὡς καὶ τὸ φλοῖσβος καὶ τὸ βορβορυγμὸς καὶ τὰ λοιπά (sc. ὀνοματοποιητικά). ὅτι γὰρ ἀγγεῖον ἐν τῷ μὴ ἔχειν ὕδωρ ἀέρος πεπλήρωται σώματος λεπτοτέρου τυγχάνοντος· ἐν οὖν τῷ καθεῖσθαι ἀθρόως εἰς αὐτὸ τὸ ὕδωρ τῇ βαρύτητι διώκει τὸν ἀέρα ἔξω ὡς λεπτομερῆ· ἅμα γὰρ μένειν ἐν τῷ βαυκαλίῳ (καυκαλίῳ A.) μέχρι πληρώσεως οὐ δύναται, διὰ τὸ τοῖς φιλοσόφοις ἀποδεδεῖχθαι, μὴ δύνασθαι δύο σώματα τὸν αὐτὸν τόπον κατέχειν κατὰ τὸν αὐτὸν χρόνον. (cfr. *de anim.* II, 7: οὐδὲ γὰρ δύο σώματα ἅμα δυνατὸν ἐν τῷ αὐτῷ εἶναι) τοῦ οὖν ἀέρος ἐπὶ τὸ ἄνω διωκομένου ἀθρόως διασθενεῖ τόπῳ ψόφον ἀναγκαίως συμβαίνειν, οὐχ ἕνα δέ, ἀλλὰ πλείους, διὰ τὸ μάχην ὥσπερ τυγχάνειν ἀμφοτέρων. τὸ μὲν γὰρ ὕδωρ ἐπὶ τὸ κάτω βιάζεται τὸν ἀέρα, ὁ δὲ ἀὴρ ἐπὶ τὸ ἄνω τὸ ὕδωρ. καὶ τούτου κατὰ διαδοχὴν γινομένου συμβαίνει καὶ τὸν ψόφον πυκνῶς γίνεσθαι.

**) Docuerunt enim cum alii tum praesertim Stoici, terram idcirco in media mundi parte teneri, quippe quia totus mundus circa eam rotetur et insit illi ἐπὶ τὸ μέσον φορά, quae nulla est alia, nisi *vis centripeta*; unde ipsa illa vis fuit mundi conservatrix Chrysippo, qui πρώτην κίνησιν eam appellavit. Cfr. Plutarch. de *Stoicor. Repugnant.* p. 1054 E sq., ubi ipsius Chrysippi verba reperiuntur. Ex eodem nisu versus medium, quem facete deridet Plutarchus de *facie in orbe Lun.* p. 923 C sqq. mundi terraeque sphaericam figuram demonstratum ivit Strabo I, p. 22 B, in his, uti solet, Stoicos secutus. Adi omnino Bake ad Cleomed. *Meteor.* I, 1. p. 276. Fuisse et antiquitus, qui terram moveri contenderent, notum est, inter quos num vere censeatur Plato dubitare licet, qua de re vide Ruhnken. ad Tim. p. 69 sqq. Wyttenbach ad Bakii *Posidon.* p. 272 sq. et ad *Phaedon.* p. 297 sq. praesertim Boeckhii programmata, *de corporis mundani fabrica, de Platonico caelestium globorum systemate*, aliaque notissima. Plura praebebit pater in dissertatione vernacule conscripta: *Ueber das Verhältnifs des Copernicus zum Alterthum* in Wolf und Buttmann *Mus. der Alterthumswissensch.* Vol. I.

ὁ μέντοι Ἀριστοτέλης φυσικώτερον λέγων φησὶ διὰ τὴν οἰκείαν φύσιν*). τὴν γὰρ γῆν βούλεται ἀκίνητον εἶναι, ἵνα ἐν τῷ αὐτῷ μένῃ, ὥσπερ καὶ τὴν ἀπλανῆ κινεῖσθαι, ἵνα ὅλη ἐν τῷ παντὶ γένηται τόπῳ. αὕτη καὶ ἡ λύσις. ἐστι δὲ ἔξωθεν ἀπορῆσαι, τί δήποτε εἰ ἡ ψύξις ἐστὶν αἰτία τῆς ἐπὶ τὰ κάτω φορᾶς καὶ τῆς πήξεως, τί δήποτε τῆς αὐτῆς ψύξεως ὑποκειμένης τῶν δύο αἰτίας, ποτὲ μὲν τὸν χρόνον τῆς καταγωγῆς λέγομεν πλείονα, ποτὲ δὲ τὸν χρόνον τῆς πήξεως καὶ λέγομεν, ὅτι οὐχ ἡ αὐτή ἐστι ψύξις κατ' ἀριθμόν. ἡ μὲν γὰρ κατάγουσά ἐστιν ἐν αὐτῇ τῇ οὐσίᾳ τοῦ ὕδατος, ἡ δὲ τὴν πῆξιν ἐργαζομένη, εἰ μὲν κατὰ πρῶτον γένοιτο λόγον ἡ ἐκτὸς ψύξις, εἰ δὲ τῇ ἀντιπεριστάσει, ἡ ἔνδον ἀντιπεριϊσταμένη. ἀλλὰ πάλιν ἑτέρα ἀπορία. καὶ τί δήποτε ἡ ἔσωθεν ψύξις ἀντιπεριϊσταμένη, ἡ ἔξωθεν κεχυμένη, πολλάκις περιγίνονται τῆς ψύξεως τοῦ ὕδατος, εἰ μὴ τὸ ὕδωρ ἐστὶ τὸ καὶ τῷ ἀέρι τὴν ψύξιν χαρισάμενον; ῥητέον οὖν, ὅτι ποτὲ τὰ αἴτια τὰ δραστικώτερα γίνονται τῶν αἰτίων διὰ οἰκείων ἐπιτηδειότητα, ὡς ἔχει ἐπὶ τοῦ πεπυρακτωμένου σιδήρου. οὗτος γὰρ τῆς φλογὸς**) μᾶλλον καίει. οὕτω καὶ ὁ ἀὴρ πολλάκις τοῦ ὕδατος ψυχρότερος εὑρίσκεται, ὡς καὶ πηγνύειν αὐτό. καὶ ταῦτα τοῦτον ἔχει τὸν τρόπον. τί δήποτε [εἰ] ἡ ἀντιπερίστασις ἡ ἀπὸ τοῦ Θερμοῦ αἰτία τῆς χαλάζης, μὴ γίνεται ἐν τῷ Θέρει μᾶλλον χάλαζα ἢπερ ἐν φθινοπώρῳ καὶ ἔαρι, ἐπειδὴ καὶ πλείων ἡ Θερμασία. καὶ λύει λέγων, ὅτι διὰ τὸ μὴ εἶναι τὴν ὑλικὴν αἰτίαν. οὐ γὰρ πάρεστιν ὑγρότης. δευτέρα ἀπορία. καὶ τί δήποτε φθινοπώρου μᾶλλον ἢ ἔαρος γίνεται, εἴγε καὶ τὸ φθινόπωρον ὑγρὸν καὶ τὸ ἔαρ; ὅτι τὸ μὲν ἔαρ ἔτι ὑγρόν, τὸ δὲ φθινόπωρον ἤδη ὑγρὸν γίνεται καὶ αὔξει ὑγρότης, ἐν δὲ τῷ ἔαρι παύεται ἡ ὑγρότης. καὶ λύει λέγων διὰ τὸ προτεθερμανθῆναι τὸν ἐν τῷ φθινοπώρῳ ἀέρα διὰ τὸ προηγησάμενον Θέρος. τὰ γὰρ προτεθερμανθέντα ταχύτερον ψύχονται. οὕτω γὰρ ἐὰν θελήσωμεν ψυχρότερόν τι ποιῆσαι, προθερμαίνομεν αὐτό. καὶ εἰθ' οὕτως περιπλάττομεν

*) Cfr. *de caelo* II, 14. Sed ibi quoque gravissimum argumentum ex vi centripeta repetiit.

**) Ald. φλωγός.

ἔξωθεν χιόνα, ἵνα ὡς διὰ νοτεροῦ μᾶλλον διεισδύνῃ ἡ ψύξις. οὕτω καὶ οἱ περὶ τὸν Ἴστρον θηρεύοντες, διὰ τὸ πεπῆχθαι τὰ ἐπὶ πολλῆς τοῦ Ἴστρου τὸ ἄκρον τοῦ καλάμου θερμαίνουσιν, ἅμα μὲν ἵνα διεισδύνῃ διαλύον τὴν πῆξιν, ἅμα δὲ μετὰ τὸ λῦσαι ἵνα συντόμως γένηται ἡ πῆξις καὶ δίκην μολίβδου τὸ ἄκρον τοῦ καλάμου κρατήσῃ καὶ μὴ μετὰ πολὺν χρόνον ἡ πῆξις καὶ ἀναγκασθῶσιν ἐπὶ πλέονα ἔχειν ὥραν ἕξω τὴν χεῖρα. τρίτη ἀπορία, εἰ διὰ τὴν ἔνδειαν τῆς ὑγρότητος θέρους ὑετὸς οὐ γίνεται, τί δήποτε ἐν Ἀρραβίᾳ καὶ Αἰθιοπίᾳ θέρους γίνεται ὑετός; καὶ λύομεν, ὅτι ἐστὶν ὑγρότης, ἀλλ' οὐκ ἐκεῖ γινομένη, ἀλλ' ἐκεῖ σωρευομένη· ἐπειδὴ γὰρ ἐν τῷ θέρει πνέουσιν ἐτησίαι, βόρειοι ὄντες ἐξωθοῦσιν ἐκεῖ τὰ νέφη καὶ πρῶτον προσπταίοντα σεληναίοις ἢ ἀργυρέοις ὄρεσι τῇ πιλήσει εἰς ὕδωρ μεταβάλλονται καὶ κατάγεται ὑετός. Διὸ καὶ ὁ Νεῖλος θέρει γενέτης ἐστί. καὶ ταύτην τὴν αἰτίαν φασὶ τῆς ἀναβάσεως αὐτοῦ. λέγουσι δὲ καὶ ἄλλας τρεῖς. μίαν μέν, ἐπειδὴ ἐν τοῖς σεληναίοις ὄρεσι χιὼν ἀπόκειται, ἥ τις ἀναλυομένη ἐν τῷ θέρει πλημμύραν *) ποιεῖ τῶν ὑδάτων. δευτέρα ἐπίλυσις. φασὶ τὸν Νεῖλον τὴν ἀρχὴν ἔχειν ἐν τῇ ἀντοικουμένῃ **). ἐπειδὴ οὖν ὅτε ἐκεῖ ἐστι χειμών, ἐν ἡμῖν θέρος ἐστί, συμβαίνει πλεονεξίας ἐκεῖ ὑδάτων οὔσης καταρρεῖν ἐνταῦθα καὶ διὰ τοῦτο πλεονάζειν τὸν Νεῖλον. τρίτη αἰτία, ἥτις αἱ ..... τὴν ἀντιπερίστασιν. Θερμασίας γὰρ οὔσης τὸ ψυχρὸν ἀντιπεριστάμενον πυκνοῖ καὶ ὕδωρ γεννᾷ. Olymp. fol. 20, b — 21, a ***).

XII, 7. Καὶ ταῦτα πρὸς ἔνδειξιν τοῦ μὴ πόρρω τῆς γῆς, ὡς Ἀναξαγόρᾳ δοκεῖ, τὴν χάλαζαν γίνεσθαι· ὤφθη γάρ φησι πολλάκις περιγειότατα νέφη μετὰ πολλοῦ κτύπου φερόμενα, δηλονότι βροντῶν ἐξαισίων γινομένων ὡς ἐκδειματῶσαι τοὺς ἀκούοντας καὶ ἐλπίδας ὑποθεῖναι διὰ τὸ δέος ὡς χαλεπῶν τινων ἐσομένων καὶ χωρὶς δὲ κτύπου τῶν τοιούτων νεφῶν

*) Ald. πλημύραν.

**) Ald. ἀντικουμένῃ. cfr. ad Excerpt. I, 13, 21.

***) Erat haec πρᾶξις ιδ. Sed, quae hanc antegressa est, apud Aldum est πρ. ι, ita ut tres excidisse videantur, quamvis revera nihil desit.

ὀφθέντων περὶ τὴν γῆν, ἐπηκολούθησεν εὐθέως χάλαζα, τηλικαύτη δὲ μέγεθος, ὡς ἄπιστον εἶναι τοῖς ἀκούουσι, καὶ τὸ σχῆμα ταύτης οὐ στρογγύλον. ταῦτα δὲ πάντα σημεῖα τοῦ πλησίον τῆς γῆς αὐτὴν συστῆναι. ὁ γὰρ πολὺς κτύπος τὴν ἐγγύτητα σημαίνει τοῦ νέφους. πόρρωθεν γὰρ τῆς πρώτης γινομένης πληγῆς καὶ τῆς διαδόσεως κατὰ μέρος φερομένης πρὸς ἡμᾶς, ἐκλύεται τῷ διαστήματι τὸ μέγεθος τοῦ ψόφου, ὡς καὶ τῶν ὁρατῶν ἡ ἀντίληψις διὰ πολλοῦ γινομένη τοῦ μεταξὺ διαφανοῦς ἀμβλύνεται προϊοῦσα. οὔτε γὰρ τὸ διαφανὲς ἐπὶ πολὺ διαβιβάζειν τὰ χρώματα δύναται, οὔτε τὸ διηχὲς τοὺς ψόφους. καὶ τὸ μέγεθος δὲ καὶ τὸ μὴ στρογγύλον ἔχειν τὸ σχῆμα, τὴν περὶ τὴν γῆν αὐτῆς σημαίνει γένεσιν. ῥᾳδία γὰρ αὐτῆς διάλυσις, ἅτε δὴ καὶ θερμότερον τοῦ καιροῦ ἢ τῆς ὥρας οὔσης. εἰ μὲν οὖν πόρρωθεν φέροιτο, εἰκὸς αὐτῆς τινα μέρη τὰ ἐξέχοντα παραναλίσκεσθαι καὶ τῆς ἐξ ἀρχῆς συστάσεως ἐλάττονα γίνεσθαι. ἐξ ὀλίγου δὲ τοῦ διαστήματος ἄθραυστος μένουσα μείζων φαίνεται. τὸ αὐτὸ καὶ τοῦ μὴ στρογγύλου ὑπάρχειν αἴτιόν ἐστι. πόρρωθεν γὰρ πολλὴν ὁδὸν διανύουσα τῶν ἀκρῶν αὐτῆς τῇ πρὸς τὸν ἀέρα τρίψει θραυομένων, σφαιροῦται ὡς ὁ ἐξ ὄρους κορυφῆς ὠθούμενος ὑφ' ὁτουοῦν λίθος, καὶ τῇ φορᾷ τὰ ἄκρα πάντοθεν περιθραυσθείς, καὶ γενόμενος καθ' Ὅμηρον *) ὁλοότροχος, καὶ οἱ ἐν θαλάσσῃ τῆς παλιρροίας φερόμενοι λίθοι. ἐξ ὀλίγου δὲ κινηθεῖσα μένει ἀπαθὴς ὡς συνέστη τὴν ἀρχήν, μὴ γενομένη περιφερής. καὶ αὕτη δὲ τῆς ὄψεως ἡμῖν ἡ ἀντίληψις κρίνειν τὰ προσγειότερα τῶν νεφῶν οὐκ ἀδύνατος. ὅτε καὶ τούτων ἄλλα ἄλλοις τὰ μὲν ἐπικείμενα, τὰ δὲ ὑποτρέχοντα φαίνεται. ἀλλ' οὐχ ὥσπερ ἐκεῖνοί φασιν. Philopon. fol. 106, a.

XII, 9. Ἐδείχθη διὰ τῶν εἰρημένων, ὅτι πλησίον τῆς γῆς ἡ τῆς χαλάζης γίνεται σύστασις καὶ οὐχ ὡς οἱ περὶ Ἀναξαγόραν εἰς τὸν ἄνω τόπον. εἰ γὰρ ὁ ἄνω τόπος ὡς ψυχρότερος ἐποίει χάλαζαν, ἐχρῆν ἐκ τοῦ μᾶλλον ἄνω πολλήν τε καὶ μείζονα γίνεσθαι. ὅσῳ γὰρ τῷ αἰτίῳ καὶ ποιητικῷ τὸ γινόμενον πλησιάζει, τοσούτῳ γίνεται μᾶλλον· νῦν δὲ τοὐναντίον

*) Scribe ὁλοσίτροχος. Cfr. *Il.* XIII, 137.

φαίνεται συμβαῖνον. ἐκ γὰρ τῶν περιγειοτέρων πλείους τε καὶ μείζους γίνονται χάλαζαι καὶ οὐ στρογγύλαι διὰ τὸ μὴ περιθραύεσθαι κατιούσας. τοῦτο δὲ διὰ τὸ μὴ πολλὴν διάστασιν φέρεσθαι. οὕτως ἐλέγξας τὴν Ἀναξαγόρου δόξαν, αὐτὸς λοιπὸν τὰ αὐτῷ περὶ τούτου δοκοῦντα διδάσκει. Phil. fol. 106, a.

XII, 11. Ἄξιωμά τι προείληφε τῆς αἰτίας τῶν συμβαινόντων ἐπὶ χαλάζης γνώριμόν τε καὶ αὐτὸ πολλάκις εἰρημένον. ἐν γὰρ τοῖς ὑπὸ σελήνην τόποις ἐμπολιτευομένων τοῦ ψυχροῦ καὶ θερμοῦ, συμβαίνει τοῦτο διὰ τὴν μάχην ἀλλήλοις ἀντιπεριΐστασθαι. ἅμα γὰρ εἶναι τὰ ἐναντία οὐκ ἐνδέχεται *). διόπερ ἀντιπαραχωρεῖν τοὺς τόπους ἀλλήλοις εἰώθασιν. ἐν μὲν γὰρ τῷ θέρει τοῦ περιέχοντος θερμαινομένου, τὸ ψυχρὸν εἰς τὸ βάθος τῆς γῆς ὑποχωρεῖ, ὅθεν τὰ σπήλαια καὶ τὸ ἐν βάθει ὕδωρ λίαν ἐστὶ τότε ψυχρά. ἐν χειμῶνι δὲ τοὐναντίον κατεψυγμένου τοῦ περιέχοντος ὁ ὑπὸ γῆν ἀὴρ καὶ τὸ ὕδωρ θερμότερα γίνεται. καὶ ὁ σοφώτατος ποιητὴς τοῖς φαινομένοις ὁμολογῶν περὶ τοῦ ἐν βάθει φησὶν ὕδατος **)·

— — — — τὸ μέν ποθι δυομένῃσι
Θέρμετο Πληϊάδεσσιν ἀμοιβηδὶς δ' ἀνιούσαις
Κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης·

Καὶ οὐκ ἂν τις ὑποτοπήσειε πρὸς τὴν ἡμετέραν αἴσθησιν ταῦθ' οὕτως ἔχειν νομίζεται. ὁμοίως γὰρ ἐχόντων ἐκείνων, φαίη τις ἂν θέρους τε καὶ χειμῶνος. τῷ μὲν θέρει διὰ τὸ λίαν ἡμᾶς ἐκ τοῦ περιέχοντος τεθερμάνθαι ψυχρὰ εἶναι δοκεῖ τὰ ὑπὸ γῆν, ἐν δὲ τῷ χειμῶνι διὰ τὸ λίαν κατεψύχθαι ἧττον ψυχρὰ εἶναι φαίνεται ὡς ὁμοίως ἐχόντων ἐκείνων ἐν θέρει τε καὶ ἐν χειμῶνι. ἡμῶν δὲ διὰ τὰ ἐκ τοῦ περιέχοντος ἡμῖν ἐγγινόμενα πάθη περὶ τὴν ἐκείνων πλανωμένων ἡμῖν διάκρισιν τί οὖν φαμέν; ὡς ψευδὴς μὲν ἡ τοιαύτη ὑπόνοια. ἀληθὴς δὲ λίαν ἡ ἀντιμετάστασις τοῦ θερμοῦ τε καὶ τοῦ ψυχροῦ. ὁρῶμεν γὰρ

*) Cfr. *de somno et vigilia* cap. 1: τῶν δ' ἐναντίων τὸ μὲν ἀνάγκη παρεῖναι „ τὸ δ' οὔ.

**) Versus sunt *Apollon. Rhod.* Argonaut. III, 225 sqq. Dedimus lectionem editionis *Wellaueri*. Ald. in v. 1. μὲν ποτὶ v. 2. θέρματο — ἀνιούσης v. 3. ἴκελον — καλῆς.

ἐν χειμῶνι τὰ σπήλαια καὶ τὰ βαθέα τῶν φρεάτων ἀτμίζοντα φανερῶς, τοῦ ἐν βάθει θερμοῦ τὸ ἐκεῖσε ὑγρὸν ἐξατμίζοντος. πόθεν γὰρ ἡ τῶν ἀτμῶν ἀνάδοσις, εἰ μὴ τὸ ἐναποκεκλεισμένον ἐκεῖ θερμὸν αἴτιον ἦν τοῦ γινομένου. ἀλλὰ καὶ ἐπὶ τῶν ζῴων θέρους μὲν τὰ ἔνδον ἐστὶ ψυχρά, χειμῶνος δὲ μᾶλλον θερμότερα. διόπερ ἐν θέρει μὲν ἧττονα τροφὴν προσφερόμεθα καὶ βραδύτερον αὐτὴν κατὰ λόγον. ἐντεῦθεν καὶ τὰ βόρεια σώματα μείζονά τέ ἐστι καὶ ἀκμαιότερα ἐναποκλειομένου τοῦ ἐμφύτου θερμοῦ διὰ τὴν ἐκ τοῦ ψυχροῦ γινομένην τῆς ἐπιφανείας τοῦ σώματος αὐτῶν πύκνωσιν, καὶ πλείονα τὴν πέψιν τῆς τροφῆς καὶ τὴν πρόσθεσιν ποιοῦντος καὶ τὴν εἰς μέγεθος ἐπίδοσιν. ἐν ἀκμῇ μὲν οὖν τῆς ἡλικίας ἐρρωμένα λίαν ἐστίν· ἐπειδὰν δὲ καὶ παρακμάσῃ καὶ ῥέπῃ πρὸς γῆρας, καὶ τὸ ἔμφυτον αὐτῶν διὰ τοῦτο μειωθείη θερμόν, καὶ πολλῆς γινομένης παρ' αὐτοῖς ἐν τῷ χειμῶνι τῆς ψύξεως σβέννυται ῥᾷον. καὶ διὰ τοῦτο ταχέως αὐτῶν καταπίπτει τὰ σώματα καὶ ἀπόλλυται, καὶ καταγηρῶντας λίαν ἐν αὐτοῖς ἔστι σπάνιον εὑρεῖν. ὅθεν καὶ παροιμία τις ἐπιχωριάζει παρ' ἡμῖν — ἐπὶ τῶν οὐκ ἀγαθὸν κτησαμένων τὸ πέρας, τὰ πρὸς ἐσχάτην γότθον πεποίηκεν. γότθους γὰρ τοὺς βορείους πάντας βαρβάρους προσαγορεύειν εἰώθασιν. οὕτω δὲ ἐν χειμῶνι τὸ βάθος ἡμῶν ἐστι θερμότερον, ὥστε καὶ πολλοὺς ἔνδοθεν διὰ τοῦ στόματος ἡμῶν ἐξιόντας τοὺς ἀτμοὺς ὁρῶμεν. καὶ ἐκ τῶν διαχωρημάτων καπνὸς ἀναδίδοται πολύς, ὅπερ ἐν θέρει μὴ γίνεται. οὐκοῦν παναληθές ἐστι τὸ ἀντιπεριίστασθαι τὸ ψυχρὸν ἀλλήλοις καὶ τὸ θερμόν. ἄξιον δὲ τεχνικώτερον ταύτην θεωρῆσαι τὴν ἀντιπερίστασιν, καὶ κατὰ τὸ γινόμενον συνιδεῖν καὶ ὅπως γίνεται, οὐ δεῖ νομίζειν, ὡς τὸ μὲν ἐν βάθει θερμὸν αὐτὸ λέγω τὸ τῷ ὑπὸ γῆν ἱδρυμένον σώματι, ἐν θέρει τὸ ἴδιον ὑποκείμενον ἐάσαν ὡς ἔξω γίνεται καὶ θερμαίνει τὸ περιέχον. τὸ δὲ ἔξω πάλιν ψυχρὸν εἴσω χωρεῖ καὶ ψύχει τὰ ἐν τῷ βάθει σώματα. καὶ ἐν χειμῶνι τοὔμπαλιν τὸ μὲν ἔξω θερμὸν, ἐν τῷ βάθει μένει. τὸ δὲ ἐν βάθει ψυχρὸν ἔξεισι καὶ ψύχει τὸν ἐκτὸς ἀέρα. τοῦτο γὰρ τῶν ἀδυνάτων ἐστὶ τὰς ἀχωρίστους τῶν σωμάτων ποιότητας ἐξ ἑτέρων εἰς ἕτερα μεταβαίνειν ὑποκείμενα. χωριστὴν γὰρ αὐτῶν τὴν οὐσίαν ἔχουσιν. ἐν τοῖς ἰδίοις γὰρ ὑπο-

κειμένοις ὑφιστάμενα ἀνεπιτηδείου τούτου γινομένου φθείρεται. τὸ γινόμενον τοίνυν ἐστὶ τοιοῦτον. ἐν χειμῶνι πεπυκνωμένου τοῦ τ' ἔξωθεν ἀέρος καὶ τῆς ἐπιφανείας τῆς γῆς, τὸ γενόμενον ἐν τῷ βάθει θερμὸν διὰ τὴν συνεχῆ πρὸς ἄλληλα τῶν στοιχείων ἀντιμεταβολὴν μὴ διαφορούμενον διὰ τὴν τῶν περιεχόντων πύκνωσιν, ἀθροίζεται μᾶλλον ἔνδον, καὶ πλεῖον γινόμενον θερμαίνει τὸν ὑπὸ γῆν ἀέρα καὶ τὸ ὕδωρ. ἐν δὲ τῷ θέρει τοὐναντίον ἠραιωμένων τῶν πόρων τῆς γῆς διὰ τὴν ἐξ ἡλίου θερμότητα, τὸ ἐν τῷ βάθει γινόμενον διαφορεῖται θερμὸν φύσει τὴν ἄνω διῶκον φοράν. τούτου δὲ γενομένου τὸ ὑπολειφθὲν ἐξ ἀνάγκης ψύχεται. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐν τοῖς ἡμετέροις γίνεται σώμασιν. ἐν χειμῶνι γὰρ τὸ ἔμφυτον θερμὸν ἔνδον ἀποκλειόμενον διὰ τὴν ἔξωθεν γινομένην ἐκ τοῦ ψύχους τοῖς σώμασι πύκνωσιν. καὶ πλεῖον ἀεὶ διὰ τοῦτο γινόμενον θερμαίνει τὸ βάθος. καὶ τὰς ἐνεργείας οὕτω τὸ θερμὸν ἀμέμπτως ἀποδίδωσι τὰς ἑαυτοῦ. ἐν δὲ τῷ θέρει διὰ τὴν μάνωσιν τῶν σωμάτων διαφόρητον γίνεται, καὶ διὰ τὸ βάθος τῇ ἐνδείᾳ τῇ τούτου ψύχεται. ἢ ἀκριβέστερον εἰπεῖν ἧττον γίνεται θερμόν. ταῦτα μὲν οὖν περὶ τοῦ βάθους. Phil. fol. 106, b — 107, a.

XII, 16. Ἐπειδὴ εἶπεν ἐν τοῖς ἀλεεινοτέροις καιροῖς γίνεσθαι τὴν χάλαζαν καὶ ἐν τοῖς μᾶλλον, μᾶλλον ἀντιπεριϊσταμένου τοῦ ψυχροῦ τῷ θερμῷ καὶ εἰς βάθος ἀθροιζομένου καὶ ἀθρόως τὰ ἐνταῦθα ψύχοντος καὶ μεταβάλλοντός τε καὶ πηγνύντος, ὃ ἠπόρησεν ἄν τις, τοῦτο λύει. ἐστὶ δὲ τοῦτο, διά τί, εἰ οὕτως ἡ χάλαζα γίνεται, οὐ μᾶλλον ἐν τῷ θέρει γίνεται. τότε γὰρ μᾶλλον θερμὸν τὸ περιέχον, λέγει δὴ ἧττον ἐν τῷ θέρει γίνεσθαι, ἢ ἑαρός τε καὶ μετοπώρου, ὅτι πρὸς τὸ θερμὸς ὁ ἀὴρ εἶναι τότε, καὶ ξηρός ἐστι. δεῖ δὲ πρὸς τὰς ἀναθυμιάσεις ὑγρότητος. ἐν δὲ τῷ ἔαρι ἔτι ἐστὶν ὑγρότης ἀπὸ τοῦ χειμῶνος μένουσα. καὶ τὸ μετόπωρον δὲ ἤδη ὑγραίνεται, καὶ τῆς ὀπώρας δὲ ἤδη ἀνυγμαζούσης χάλαζαι γίνονται, ὑπότε πρὸς ὁ ἀήρ, διὰ τὸ ἤδη εἶναι πλείω ὑγρότητα καὶ ἁλέαν ἔτι. πρὸς δὲ τὴν πῆξιν τοῦ ὕδατος τὴν ταχυτέραν, συμβάλλεσθαί τί φησι καὶ τὸ προτεθερμάνθαι τὸ ὕδωρ. λέγοι δ' ἂν τὸ νέφος, ἐξ οὗ τὸ ὕδωρ. ὅτι δὲ θᾶττον ψύχεται τὸ προτεθερμασμένον,

σημεῖον παρατίθεται τὸ τοὺς ψύξαι ταχὺ ὕδωρ βουλομένους. πρῶτον αὐτὸ προθερμαίνειν ἐν τῷ ἡλίῳ. καὶ οἱ ψύχοντες δὲ τὸ ὕδωρ τῇ τῆς χιόνος ἔξωθεν περιθέσει τῷ ἀγγείῳ, ἐν ᾧ τὸ ψυχόμενόν ἐστι, προθερμήναντες ὡς ὅτι μάλιστα τὸ ἐγχέομενον ὕδωρ εἰς αὐτὸ οὕτως ἐγχέουσιν, ὡς θᾶττον τοῦ προτεθερμασμένου ψυχομένου. ἀλλὰ καὶ δύο ἀγγείων εἰς φρέαρ ἐγκρεμασθέντων ὁμοίων τε καὶ ὕδωρ ἐχόντων, ἀλλὰ τοῦ μὲν θερμόν, τοῦ δὲ ψυχρόν, ψυχρότερον γίνεται τὸ ἔχον τὸ προτεθερμασμένον. λέγει δὲ καὶ τοὺς περὶ τὸν Πόντον, ὡς ὅταν ἐπὶ τοῦ κρυστάλλου *) σκηνοποιῶνται χειμῶνος πρὸς τὰς τῶν ἰχθύων θήρας. θηρεύουσι γὰρ καὶ τοῦ χειμῶνος καίτοι πεπηγότος τοῦ ποταμοῦ διακόπτοντες τὸν κρύσταλλον. (λέγοι δ' ἂν ταῦτα περὶ τῶν ἐν τῷ Ἴστρῳ θηριώντων. οὗτος γὰρ ἐκεῖ τέ ἐστι καὶ πήγνυται ἢ καὶ εἴ τις ἄλλος ἐν ἐκείνοις τοῖς τόποις τοιοῦτός ἐστι ποταμός) τούτους δή φησι τοῖς καλάμοις ὕδωρ περιχεῖν θερμόν, διὰ τὸ θᾶττον τοῦτο πήγνυσθαι ἐν τῷ ψύχει. χρῶνται γὰρ τῷ κρυστάλλῳ ἐπὶ τῶν καλαμῶν δι' ὧν θηρῶσι τοὺς ἰχθῦς, ἀντὶ μολύβδου πρὸς τὸ ἠρεμεῖν αὐτοὺς διὰ την τοῦ βάρους ἐξάρτησιν. καὶ μὴ κινουμένους πολλὰ ἀνασοβεῖν **) τοὺς ἰχθῦς. Alexand. fol. 86, a. b.

XII, 18. Οὐχ ὥσπερ αὐτοὶ κέχρηνται τῷ μολύβδῳ †) ἀποδεσμοῦντες ἐν τῇ ὁρμιᾷ, οὕτω κέχρηνται καὶ νῦν τῷ καλάμῳ, ἀλλ' ὥσπερ οἱ τὰ ἀγάλματα ἱστῶντες κέχρηνται αὐτῷ χάριν τοῦ στηρίξαι καὶ ποιῆσαι ἠρεμῆσαι ἐπὶ τὸν βωμὸν τὸ ἄγαλμα, ὡς λοιπὸν κρατουμένου τοῦ καλάμου μηδὲ αἴσθηται τῆς χειρὸς πρὸς κράτησιν. τὴν γοῦν χρείαν τῆς χειρὸς τοῦ ἁλιέως ††) ποιεῖ ὁ κρύσταλλος. Olymp. fol. 21, b.

---

*) κρυστάλου Ald. et sic deinceps.

**) Typothetae errore in *Meteorolog. vet. Gr. et Rom.* VI, 30. not. 8. p. 150, ubi haec verba adscripsi, ἀναλαβεῖν exhibitum est. Totum ego locum tunc non intellexeram.

†) Ald. μολίβδῳ, quod fortasse non corrigendum: eodem enim modo serioris aevi scriptores pro κονίζη exhibuerunt κονίζη. cfr. *Schol. Par.* Apollon. Rhod. II, 134. p. 131. Pollux I, 246.

††) ἁλιέος Aldus.

XII, 19. *Γίνεται δὲ καὶ περὶ τὴν Ἀραβίαν*] Ἡ γὰρ ἀπορία, διὰ τί ἐν Αἰθιοπίᾳ ὑετὸς κατάγεται, εἴγε μή ἐστιν ἐκεῖσε ὑγρότης. καὶ λύει λέγων, ὅτι ἔστιν, ἀλλ' οὐκ ἐκεῖ γεγενημένη, ἀλλ' ἐκεῖ σεσωρευμένη διὰ τὸ ἀποδιώκεσθαι τὰ νέφη ὑπὸ τῶν ἐτησίων, βορείων ὄντων. Olympiodor. fol. 21, b.

XII, 20. Ἀρχαίῳ ὀνόματι τὴν χιόνα νιφετον ἐκάλεσεν. οὕτω γοῦν καὶ ὁ ποιητὴς *) τὴν χιόνα καλεῖ. Olympiod. fol. 21, b.

XIII, 1. Ἄνεισιν ὁ φιλόσοφος, μετὰ τὰ γινόμενα ἐκ τῆς ἀτμίδος ἔν τε τῷ ἄνω τόπῳ καὶ ἐν τῷ κάτω, καὶ ἐπὶ τὴν καπνώδη ἀναθυμίασιν. καὶ παραδίδωσι πάλιν τὰ ἐξ αὐτῆς γινόμενα οὐκ ἐκπυρουμένης (ἤδη γὰρ ταῦτα παραδέδωκεν, ἡνίκα διατττόντων, δαλῶν καὶ τῶν ὁμοίων ἐμέμνητο), ἀλλὰ μενούσης οὕτως. Περὶ γὰρ ἀνέμων διαλέγεται. οὐδὲν δὲ ἕτερόν ἐστιν ἄνεμος, ἢ καπνώδης ἀναθυμίασις κινουμένη ἐν τῷ περὶ γῆν τόπῳ. τὸ δὲ περὶ τὴν γῆν σημαίνει, ὡς λοξὴν τὴν κίνησιν ποιοῦνται οἱ ἄνεμοι. τῆς δὲ λοξῆς κινήσεως **) τῶν ἀνέμων ἄλλην μὲν αἰτίαν ὁ Θεόφραστος ἐν τοῖς οἰκείοις μετεώροις ἀποδίδωσιν, ἄλλην δὲ νῦν ὁ Ἀριστοτέλης. ὁ γὰρ Θεόφραστός φησιν ἐν τῇ καπνώδει ταύτῃ ἀναθυμιάσει μεμίχθαι τινὰ πυρώδη οὐσίαν καὶ γῆϊνην, αἵτινες τὴν ἐναντίαν κίνησιν κινούμεναι καὶ μαχόμεναι λοξὴν ποιοῦνται τὴν κίνησιν. μὴ γάρ

*) Π. κ', 7. *Odyss.* δ', 560. ubi *νίφετος* exhibetur, quamvis contra stantibus Arcadio et Etym. M. laudatis Passowio in *lex.* Eadem dubitatio est de *πάγετος* et *παγετός*. cfr. Bernhardy ad Dionys. Perieg. p. 932. Quod contendit Olympiodorus vocem esse antiquis tantum usitatam, falsum est. Eadem usi sunt Herodotus IV, 50. VIII, 48., Callimachus *Epigr.* XXXIII, 3. p. 302 et in fragmento apud Schol. Sophocl. *Aiac.* p. 3 et Suidam v. *Κατημαρισμένος* (CXLII. v. 2. p. 498), Apollon. Rhod. III, 69, (ubi Schol. Paris. p. 225: *τὸ δὲ νιφετῷ παλύνετο, ἀντὶ τοῦ τῇ χιόνι ἐσκέπαστο*) et bis auctor libri *de mundo* IV, 7. 8.

**) Cfr. Excerpt. ad I, 3, 8.

τις λεγέτω, ὅτι διατὶ γὰρ μὴ ὑφίεται ἐπὶ τὰ ἄνω κίνησις *) τοῦ γεώδους ἐπικρατοῦντος, ἢ ἡ ἐπὶ τὰ κάτω τοῦ πυρώδους πλεονάζοντος ἐπ' εὐθείας τῆς κινήσεως γινομένης. ῥητέον γάρ, ὅτι τοῦτο καλῶς λέγεται ἐπὶ σωμάτων κρεμαμένων, ἐπὶ γὰρ ἐκείνων ὕφεσιν γενέσθαι ἑκατέρας ἀμετρίας κολαζομένης. ἐπὶ δὲ σωμάτων κατὰ παράθεσιν ἐνωθέντων **) οὐχ ἕπεται τοῦτο. ἑκάτερον γὰρ τὴν αὐτὴν ἔχον ἰσχὺν μένει ἀπομαχόμενον. διὸ μηδένος ὑπείκοντος ἐκ περιστάσεως τὸ ὅλον ἐς τὰ πλάγια φέρεται. οὕτω μὲν ὁ Θεόφραστος. Ὁ δέ γε Ἀριστοτέλης φησίν, ὅτι ἄνεισιν ἡ καπνώδης ἀναθυμίασις καὶ φέρεται πλησίον τοῦ ἀπογείου ἀέρος. καὶ κύκλου γενομένου καὶ προσπταίουσα κύκλῳ κινουμένῳ σώματι χεῖται καὶ πεπλανημένην εἰς τὰ πλάγια κίνησιν ποιεῖται. ὥσπερ γάρ, εἴ τις λύχνον ἀποσβέσας τῆς θρυαλλίδος ἔτι σωζομένης ἔτι ὑπερβάλλῃ τοῦτον κάτω κρίκῳ τῆς σφαίρας, θεάσεται τὸν προσπταίοντα καπνὸν οὐ κύκλῳ συμπεριφερόμενον τῇ σφαίρᾳ, ἀλλ' εἰς τὰ πλάγια πεπλανημένως ***) κινούμενον. οὕτως ἐστὶ καὶ ἐπὶ τῆς καπνώδους ἀναθυμιάσεως καὶ τοῦ κύκλῳ † κινουμένου ἀέρος. οὕτω καὶ ὁ Ἀριστοτέλης. ἕπεται δὲ τῷ μὲν Θεοφράστῳ κάτωθεν λέγειν τὴν ἀρχὴν τοὺς ἀνέμους ἔχειν (δῆλον γάρ, ὅτι εὐθὺς μάχονται), τῷ δὲ Ἀριστοτέλει τὸ ἄνωθεν ἐκ τοῦ ἀέρος ἔχειν τὴν ἀρχὴν τῆς κινήσεως τοὺς ἀνέμους. καὶ ἄμεινον Ἀριστοτέλης λέγει ἢ Θεόφραστος. τῷ γὰρ Ἀριστοτέλει μαρτυρεῖ τὰ πράγματα ††). κινουμένων γὰρ τῶν νεφῶν προλέγομεν τὸν μέλλοντα πνεύσασθαι ἄνεμον, ὡς ἐκεῖθεν ἀρχόμενον πνεῖν. ἀλλὰ μὴν ἔδει κατὰ τὸν Θεόφραστον ἐν τοῖς κοίλοις μᾶλλον τόποις σφοδροτέρους εἶναι τοὺς ἀνέμους, εἰ γὰρ ἀπὸ γῆς ἄρχονται. ἕκαστον †††) δὲ πρὸς τὴν οἰκείαν ἀρχὴν σφοδρότερόν ἐστιν. ἀλλὰ μὴν ὁρῶμεν, ὅτι ἐν τοῖς ὄρεσιν διὰ τὸ πλησιάζειν αὐτὰ τῷ ἄνω ἀέρι σφοδρότεροι

*) Ita Aldus. Scribo: *μὴ . . . . λεγέτω, ὅτι* (sc. *γίνεται*) *διὰ τί μὴ ὑφίεται μᾶλλον ἢ ἐπὶ . . . . κίνησις.*

**) Ita Aldus. Fort. *ἑνωθέντων.*

***) Ald. *πεπλανημένος.*

†) Ald. *κύκλου.*

††) De vocabulo *τὰ πράγματα* cfr. Lobeck *Aglaopham.* I. p. 142.

†††) Sc. *πνεῦμα.*

εἰσιν οἱ ἄνεμοι. Ἀριστοτέλης δὲ λέγει ταῦτα μὲν περὶ τῆς λοξῆς αὐτῶν κινήσεως. ἀρχόμενος δὲ ὁ Ἀριστοτέλης τῆς περὶ ἀνέμου κατὰ τὸν εἰθισμένον τρόπον διδασκαλίας, πρότερον τὰ τοῖς ἄλλοις δοκοῦντα ἀνατρέπει καὶ οὕτω τὴν ἰδίαν ἐπάγει περὶ αὐτῶν δόξαν. Τρεῖς οὖν ὑπολήψεις παλαιῶν ἀνατρέπει περὶ ἀνέμων γενέσεως*). μίαν μὲν ὅτι οὐκ ἔστιν ὁ ἄνεμος ἀὴρ κινούμενος, καθάπερ Ἱπποκράτης ὁ ἰατρὸς ὑπελάμβανεν. λέγει γὰρ ἐν τῷ περὶ φυσῶν**) τὸν ἄνεμον ἠέρος εἶναι ῥεῦμα καὶ χεῦμα. τούτου γὰρ κινουμένου τοὺς ἀνέμους ἔλεγε γίνεσθαι, ἱσταμένου δὲ τὸ ὕδωρ. δευτέρα δὲ ἐλέγχει ὑπόληψιν τὴν λέγουσαν, ἕνα εἶναι ἄνεμον καὶ οὐ πλείονας. ἐπειδὴ καὶ οἱ ὀνομαζόμενοι ***) πλείους ἄνεμοι εἷς ἀνεμός ἐστι διὰ τὸ ἐκ μιᾶς ὕλης γίνεσθαι. τρίτην δὲ ἐλέγχει τὴν ὑποτιθεμένην ἐνεργείᾳ εἶναι τὴν ὕλην τῶν ἀνέμων σωρευομένην ἐν τῇ γῇ, ὥσπερ οὖν καὶ τῶν ὑδάτων· ὅθεν ἐπειδὴ ὑδάτων ἐμνημόνευσεν, ἐκκρούεται τοῦ προκειμένου καὶ περὶ ποταμῶν διαλέγεται, καὶ καταπαύει τὸν πρῶτον λόγον εἰς τὸν περὶ ποταμῶν λόγον. εἶτα διὰ τὴν συγγένειαν τῶν ποταμῶν καὶ τῆς θαλάττης, ἀρχόμενος τοῦ δευτέρου λόγου, τοὺς περὶ θαλάττης ποιεῖται λόγους. καὶ εἰθ' οὕτως τελευταῖον ἀρξώμεθα †) οὖν ἀπὸ τοῦ πρώτου καὶ σκοπήσωμεν, εἰ ὁ ἄνεμος ἀήρ ἐστι κινούμενος, καὶ πρότερον εἰ δοκεῖ τῷ ἀντικειμένῳ συνηγορήσωμεν. τοσοῦτόν φησιν· ὁ ἄνεμος ἀὴρ κινούμενός ἐστιν, ὅτι καὶ ἡμεῖς αὐτοὶ κινοῦντες τὸν ἀέρα ἄνεμον ποιοῦμεν. ῥιπίδα γὰρ δι' αὐτοῦ παράγοντες, τὸ ἀνέμων ἐργαζόμεθα ψύχοντες τὸ σῶμα. ἀλλὰ ῥητέον, ὅτι οὐ γνήσιον ποιοῦμεν ἄνεμον (οὐ γὰρ ἐκ τῆς καπνώδους γίνεται ἀναθυμιάσεως), ἀλλὰ μᾶλλον νόθον. ἀλλὰ ζητητέον, τί δήποτε εἰ ἐκ τῆς καπνώδους ἀναθυμιάσεως οἱ ἄνεμοι τῆς θερμῆς ψύχουσι ††); καὶ ῥητέον, ὅτι τῷ ἐξωθεῖν ἀφ' ἡμῶν τὸν προεκ-

*) Ald. γενομέναις.

**) *Opp. Sect.* III, p. 79, 22. ed. Foës.

***) Ald. ὀνομαζώμενοι.

†) Ald. ἀρξόμεθα.

††) Conferendus ipse (si Dis placet) Aristoteles *Problem.* XXVI, 51.

θερμανθέντα ἐξ ἡμῶν ἀέρα καὶ εἰσφέρειν ψυχρότερον ἀέρα, τούτῳ ψύχουσιν. τούτῳ τῷ λόγῳ καὶ ἡ ῥιπὶς τὰ ἀνέμων ποιεῖ, ἐκδιώκουσα τὸν θερμανθέντα ἀέρα, ὅθεν ἐν θόλῳ θερμοῦ ἀέρος οὐδὲν συμβάλλεται ἡ ῥιπὶς διὰ τὸ θερμὸν εἶναι τὸν ἀντεισαγόμενον ἀέρα· ἀλλ' ἡ ἀπορία διὰ τί θέρη *) μὴ σφοδρότεροι οἱ ἄνεμοι **) ἢ καὶ πλείων ἡ ἀναθυμίασις ἡ καπνώδης; καὶ ῥητέον, ὅτι ὥσπερ ἀπὸ ὑγροῦ ξύλου πολὺς καπνὸς ἐκδίδοται ἢπερ ἀπὸ ξηροτέρου, οὕτω καὶ ἀπὸ ὑγρᾶς γῆς ἢπερ ἀπὸ ξηρᾶς. διὸ μᾶλλόν ἐστι χειμῶνος σφοδροτέρα ***). ὅτι δὲ οὐκ ἐστι ἄνεμος ἀὴρ κινούμενος, δείξεις ἐντεῦθεν. ποῖον λέγεις ἄνεμον τὸν συμπεριφερόμενον τῷ παντί, ἢ τὸν περίγειον; ἀλλ' εἰ μὲν τὸν συμπεριφερόμενον, ἔδει πάντας τοὺς ἀνέμους ἀπηλιώτας εἶναι (οὕτω γὰρ κινεῖται ὁ ἀπόγειος ἀὴρ τῷ παντὶ συμπεριφερόμενος), εἰ δὲ τὸν περίγειον λέγεις ἀέρα κινεῖσθαι, ἔδει τοὺς ἀνέμους ἐπὶ τὰ ἄνω κινεῖσθαι (ταύτην γὰρ κινεῖται τὴν κίνησιν ὁ περίγειος ἀήρ). ἀλλὰ μὴν καὶ λοξῶς κινοῦνται καὶ οὐ πάντες ἀπηλιῶται. πρόδηλον ἄρα, ὅτι οὐκ ἐστιν ὁ ἄνεμος ἀὴρ κινούμενος. ἀλλ' οὐδὲ μὴν εἷς ἐστιν ὁ ἄνεμος. διότι πᾶς ἄνεμος ἐκ τῆς αὐτῆς ὕλης ἐστί· τὰ γὰρ πράγματα οὐ τῇ ὕλῃ, ἀλλὰ τῷ εἴδει κρίνονται. εἰ γὰρ τῇ ὕλῃ οὐδὲν διενήνοχεν ἵππος καὶ κύων καὶ ἄνθρωπος καὶ τὰ λοιπὰ ζῶα (μία γὰρ τούτοις ὑποβεβλημένη ὕλη), ἀλλ' ἔστιν ἐπὶ αὐτῶν ἡ κρίσις ἐκ τοῦ διαφόρου εἴδους, εἰ οὖν καὶ μία ἐστὶν ἡ ὕλη τῶν ἀνέμων, ἀλλ' οὖν ὅμως τὰ εἴδη διάφορα. εἴδη δὲ τῶν ἀνέμων οἱ τόποι οἱ διάφοροι, ἐξ ὧν πνέουσι καὶ εἰς οὓς φέρονται. οὕτω καὶ οἱ ποταμοί. εἰ γὰρ τῇ ὕλῃ τὰ πράγματα ἐκρίνοντο, οὐδὲν ἂν ἀλλήλων διέφερον (πάντων γὰρ ὕλη τὸ ὕδωρ) †), ἀλλ' ἐπειδή τινι εἴδει κρίνονται. ἔστι δ' αὐτῶν διάφορα εἴδη ποταμῶν αἱ πηγαί, ἐξ ὧν φέρονται, καὶ τὰ μέρη τὰ διάφορα τῆς θαλάττης,

*) Scribendumne θέρους?

**) Scribo ὅταν ᾖ καί et q. s.

***) Sc. ἡ ἀναθυμίασις. Sed vide ne scribendum sit σφοδρότερα πνεύματα eadem anacoluthia, qua supra ἄνεμοι et πνεύματα confudit.

†) Intellige ἀλλὰ διαφέρουσιν.

εἰς ἃ ἐκρέουσι· πάντες γὰρ οἱ ποταμοὶ εἰς τὴν θάλατταν εἰσβάλλουσι, διὸ καὶ αὐτὴ θηλυκῶς λέγεται (θήλεος γὰρ τὸ δέχεσθαι), αὐτοὶ δὲ ἀρρενικῶς (ἄρρενος γὰρ τὸ διδόναι). τοῦτο καὶ τὸ δεύτερον. τρίτον, ὅτι οὐκ ἐστιν ἐνεργείᾳ ἡ ὕλη σωρευθεῖσα τῶν ἀνέμων κατὰ τὸν ποιητὴν εἰρηκότα *)·

ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.

Ὥσπερ οὖν οὐδ' ἡ τῶν ὑδάτων — καὶ ὅτι οὐκ ἐστιν ἐνεργείᾳ ἡ τῶν ὑδάτων ὥσπερ ἐν ἀγγείῳ πηγή **), δείξεις ἂν διὰ τριῶν ἐπιχειρημάτων· εἴ τις φαντασθείη πόσον ἐστὶ τὸ ἐκρέον ὕδωρ ἐν τῇ θαλάσσῃ καθ' ἑκάστην ἡμέραν δι' ὅλου τοῦ ἔτους ἐκ τῶν ποταμῶν, οὕτως εὑρήσει πολλῷ πλέον τὸ ὕδωρ ὑπάρχειν τοῦ ὄγκου τῆς γῆς· δεύτερον, εἰ ἐν τῷ ἄνω τόπῳ ἀτμὶς φερομένη καὶ ψύξει προσπταίουσα πήγνυται καὶ εἰς ὕδωρ μεταβάλλεται, τί ἄτοπον καὶ ἐν τῇ γῇ ἀτμίδος οὔσης ταύτην ὑποθέσθαι εἰς ὕδωρ μεταβαλλομένην. ἔστι γὰρ καὶ ἐν τῇ γῇ ψύξις, ὥστε οὐκ ἐνεργείᾳ ἐστὶ τὸ ὕδωρ, ἀλλὰ γίνεται καθ' ἑκάστην τῆς ἀτμίδος μεταβαλλούσης. τρίτον ἐπιχείρημα, ὑδροφάνται οὐ τοὺς τυχόντας τόπους ὀρύσσουσιν, ἀλλ' ἐν ὅσοις εἰσὶν ἱδρῶτες τῆς γῆς, ὡς ἂν ἐκεῖ πλείονος ὑποκειμένης ἀτμίδος καὶ ταύτης εἰς ὕδωρ μεταβαλλομένης, πρόδηλον ὅτι οὐκ ἐστιν ἐνεργείᾳ· δοκιμάζουσι δὲ τὴν ἔνυδρον γῆν οἱ ὑδροφάνται οὕτως. ἀγγείου κενοῦ τὸ στόμα χωνεύουσιν εἰς τὴν γῆν καὶ ἐῶσιν εἰς τὴν γῆν ***), καὶ μετὰ ταῦτα ἐπαίρουσιν αὐτὸ ἀπὸ τῆς γῆς. καὶ ἐὰν περὶ τὸν πυθμένα ἔσωθεν εὕρωσιν ἀτμίδα τινά, λέγουσι τὸ ὕδωρ ἐκεῖ ὑπάρχειν. ὅσῳ δὲ πλείστην ἀτμίδα εὕρωσι, τοσοῦτον ἐπιπολῆς τὸ ὕδωρ δηλοῦται ὅτι ἐστίν. καὶ διὰ ταῦτα ἕλκει τὸ ἀγγεῖον τὴν ἰκμάδα τῆς γῆς, ἐπειδὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου δίκην σικύας ἕλκει, ἐὰν ἐστὶν ἐκεῖσε ὑγρότης. ὅτι δὲ οὐκ ἐστιν ἐνεργείᾳ τὸ ὕδωρ καὶ ἐξ ἡμῶν αὐτῶν δῆλόν ἐστι· τῆς γὰρ θαλάττης πλησίον ἐν τῷ αἰγιαλῷ βόθρον ἐμποιοῦντες συναγόμενον εὑρίσκομεν γλυκὺ ὕδωρ, ὥστε οὐκ ἐνεργείᾳ ἐστὶν ἡ ὕλη τῶν ποταμῶν. οὐ τοῦτο

*) Hom. *Odyss.* κ', 47.

**) πηγῇ Ald.

***) Verba εἰς τὴν γῆν h. l. delenda videntur.

λέγω, ὅτι οὐδὲ ὅλως ἐστὶν ἐνεργείᾳ, ἀλλ' ὅτι οὐδὲ μόνως ἐνεργείᾳ, οὔτε μόνως δυνάμει. ὅτι δέ ἐστιν ἐνεργείᾳ δῆλον ἔκ τε τῆς ἐμφάσεως τῶν ποταμῶν καὶ ἐκ τῆς ἀναπόσεως καὶ ἐκ τῶν ἀναφυομένων ἐν θαλάττῃ γλυκέων ὑδάτων· γίνονται δὲ αἱ μὲν ἀναπόσεις τῶν ποταμῶν διὰ τὸ μὴ εἶναι πολλάκις ἔξοδον ἐν θαλάττῃ· διὸ μὴ ἠρεμούντων τῶν ὑδάτων, ἀλλ' ἐν αὐτοῖς ὑδοποιούντων, πολλάκις ἐπὶ τὸ βάθος χωροῦσι καὶ ἐξαίφνης ἀφανίζονται· ἐκφανεῖς δὲ γίνονται, ὅταν ἐν βάθει πλεονάζον τὸ ὕδωρ μετὰ πολλοῦ πνεύματος βιαίως ἐπὶ τὰ ἄνω ἀνενεχθῇ· ἐν δὲ τῷ μέσῳ τῆς θαλάσσης γλυκὺ ὕδωρ εὑρίσκεται, ὥστε καὶ ἐξ αὐτοῦ ἀρρύεσθαι διὰ τὸ πολὺ πνεῦμα μεμίχθαι τῷ ὕδατι τῷ κάτω καὶ τὴν ἔκφανσιν ὑπομένοντι. τοῦτο οὖν ὑπὸ τοῦ πνεύματος μετεωριζόμενον ἄνεισιν ἄνω καὶ ἐπιπολῆς εὑρίσκεται. ταῦτα διὰ τούτων παραδίδωσιν Ἀριστοτέλης. Olymp. fol. 21, b — 22, b.

Ἐπ' ἄλλο πρόβλημα μεταβαίνων, πάλιν ἡμᾶς ὑπομνήσας περὶ ὧν πεποίηται τὸν λόγον, μέτεισιν ἐπὶ τὸν περί τε ἀνέμων λόγον καὶ πάντων τῶν πνευμάτων. λέγοι δ' ἂν πνεύματα τοὺς μὴ ὠνομασμένους ἀνέμους ἢ καὶ ὅλως ὅσα γίνεται πνεύματα, εἰ καὶ μὴ ἄνεμοι ταῦτα, ἀλλ' ἐκ γῆς ἀναφυσήματα. Alex. fol. 86, b.

Ῥητέον ὅτι ἄνεισιν *) ἐπὶ τοῦ λόγου τῆς καπνώδους ἀναθυμιάσεως, καὶ παραδίδωσι τὰ ἐκ ταύτης γινόμενα οὐκ ἐκπυρουμένης, ἀλλὰ μενούσης. οὕτω δὲ ἐστὶ περὶ ἀνέμων καὶ πάντων πνευμάτων. τί οὖν καὶ τὰ πνεύματα οὐκ εἰσιν ἄνεμοι; ῥητέον οὖν, ὅτι περὶ ἀνέμων λέγει τῶν κατωνομασθέντων, τῶν δὲ λοιπῶν πνευμάτων ἀκατονομάστων. ἔστι γὰρ πολλά, οἷα τὰ μεταξὺ καικίου τυχόντα**) καὶ βορρᾶ καὶ τῶν λοιπῶν. Olymp. fol. 22, b.

Ἔτι δὲ ποταμῶν καὶ θαλάττης] Προτίθεται εἰπεῖν περὶ ἀνέμων πρῶτον, εἶτα περὶ θαλάττης, καὶ εἶθ' οὕτως περὶ ποταμῶν· πλὴν οὐ περὶ ἀνέμων πρῶτον ποιεῖται τὸν λόγον,

---

*) Ald. ἂν εἰσὶν.

**) Ald. τυχὸν.

ἀλλ' ἀποχρήσας, εἰ ἐνεργείᾳ ἡ ὕλη αὐτῶν καὶ εἰρηκώς, ὅτι οὔκ ἐστιν. ὥσπερ οὖν οὐδὲ τῶν ποταμῶν, ἀποπλανᾶται καὶ περὶ τῶν ποταμῶν τὸν λόγον ποιεῖται κατακολουθῶν κἂν τούτῳ τῷ Πλάτωνι. οὕτω γὰρ κἀκεῖνος προτίθεται μὲν ἐν ταῖς πολιτείαις περὶ δικαιοσύνης εἰπεῖν, ἀποπλανᾶται δέ, ὅμως καὶ τοὺς περὶ πολιτείας λόγους καταβάλλεται, ἄμεινον ἡγούμενος καταλιμπάνειν ἡμᾶς τὰ μικρὰ γράμματα (φημὶ δὲ τὴν δικαιοσύνην) καὶ κεχρῆσθαι τοῖς μείζοσι γράμμασι (φημὶ δὴ ταῖς πολιτείαις). τούτῳ*) γὰρ καὶ μόνῳ διαφέρετον ἀλλήλων. Olympiodor. fol. 22, b.

XIII, 5. *Τί τ' ἐστὶν ὁ ἄνεμος ..... ἀφιέντας*] *Τί μέν ἐστιν ἄνεμος, ὅτι κίνησις τῆς καπνώδους ἀναθυμιάσεως αὐτοῦ ἀέρος. καὶ πῶς γίνεται, ὅτι τῆς ἀναθυμιάσεως ταύτης ἐκδιδομένης καὶ μὴ ἐκπυρουμένης. καὶ τί τὸ κινοῦν αὐτοὺς λοξὴν κίνησιν, ὅτι οὐ τὸ γεῶδες καὶ τὸ πυρῶδες τὴν ἐναντίαν κινούμενα κίνησιν, ὡς Ἐμπεδοκλῆς ᾤετο, ἀλλ' ὁ κύκλῳ κινούμενος ἀήρ.* Olymp. fol. 22, b.

XIII, 7. *Δι' ἣν αἰτίαν, ἐπειδὴ ἕκαστον πρὸς τῇ οἰκείᾳ ἀρχῇ δραστικώτερόν ἐστιν. ἐπειδὴ οὖν τὸ συναχθὲν ἄρχεται ἐκδίδοσθαι ἐν χειμῶνι, διὰ τοῦτο πολλοῦ ὄντος τοῦ ἐκδιδομένου καὶ οἱ ποταμοὶ μείζονες. εἰσὶ δ' οἱ μὲν ἀέννααι, οἱ δὲ χείμαροι πρὸς τὴν πηγήν, ἐξ ἧς ἐκφύονται. εἰ γὰρ πλέον εἴη τὸ ἐξαγόμενον τοῦ ἐπιφερομένου χείμαροι, εἰ δὲ ἴσον, ἢ πλέον, ἀέννααι. διηγεῖται δὲ καὶ περὶ Νείλου, διὰ τί αὔξεται θέρους**).* Olymp. fol. 23, a.

---

*) Ald. *τοῦτο*.

*) Cfr. *Meteorol. vet. Gr. et Roman.* VI, 17. p. 104. not. 3, ubi potissimos qui de Nili incrementis eorumque causis egerunt scriptores laudavi: quibus etiam alios nonnullos, h.l. adiungam: Herodot. II, 28 sqq. Strabon. XVII, p. 1138 B. Diodor. Sicul. I, 38—41. Tom. I. p. 46—51. Plutarch. *Plac. phil.* IV, 1. Tom. IV. p. 619 sq. ed. Wyttenbach. Fragmentum (Athenaei fortasse ex libro II), quo usi sumus in Commentariis ad I, 12, 21. Aristidis *Declamationem Aegyptiacam*, quae integra fere in hoc argumento versatur. Tom. II. p. 331—364. ed. Iebb. Lucret. VI, 713—738. *Schol. Paris.* Apollon. Rhod. IV, 269. Tom. II. p. 287. Pompon. Melam I, 9. Lindenbrog ad

XIII, 8. *Καίτοι φανερόν ..... ὀμμάτων*] *Ἐντεῦθεν λοιπὸν ἐνίσταται πρὸς τὴν δόξαν τὴν λέγουσαν, ἐνεργείᾳ τὸ ὕδωρ εἶναι σωρευθὲν ἐν τῇ γῇ καὶ ἐκ τούτου ῥεῖν τοὺς ποταμούς. καί φησι τὸ πρῶτον ἐπιχείρημα τὸ ἐκ τῆς ἀναλογίας τοῦ ἐκρέοντος πρὸς τὴν γῆν οὕτως. εἴ τις νοήσει τὴν φαντασίαν πόσον ἐστὶν τὸ ἐκρέον ὕδωρ, εὑρήσει αὐτὸ ὑπὲρ τὴν ἀναλογίαν ὂν τῆς γῆς. πρὸ ὀμμάτων γὰρ ἐκάλεσε τὴν φαντασίαν, διότι πολλὴν συγγένειαν ἔχει ἡ ὄψις πρὸς τὴν φαντασίαν, ὅθεν καὶ ἐκ τῶν ὑποκειμένων τῇ ὄψει ἐκλήθη. πολλὴν δὲ συγγένειαν ἔχει διὰ τὸ τὴν φαντασίαν περὶ ἀπόντα ἐνεργεῖν, ἡ μέντοι ὄψις περὶ τὰ πόρρω ὄντα. πλησίον δ' ἐστὶ τὸ πόρρω τοῦ ἀπόντος, καὶ ὁ ἐπὶ πολὺν χρόνον ἀποδημῶν τοῦ θανόντος.* Olymp. fol. 23, a.

XIII, 10. *Οἷον εἰς ἓν πηδώσης τῆς γῆς*] *Τινὰ τῶν βιβλίων οὕτως ἔχει, ἕτερα ἰδιώσης. ἀλλ' εἰ μὲν ἰδιώσης ἀντὶ τοῦ ἱδρούσης, ὡς φησι καὶ Ὅμηρος*)·*

Ἴδιον ὡς ἐνόησα, δεδάκρυντο δέ μοι ὄσσε.

*Ὥσπερ γὰρ ἐπὶ τοῦ ἡμετέρου σώματος διεξιὼν ὁ ἀτμὸς ἱδρὼς γίνεται, οὕτως ἔχει καὶπὶ τῆς γῆς. εἰ δὲ ἔχει πηδώσης, ἀντὶ τοῦ ὀργώσης πίδακας ἐμβάλλειν. τί δέ ἐστι πίδακας; καὶ ὁ ποιητὴς λέγει πολυπίδακας**)* ..... Olympiod. fol. 23, a.

XIII, 11. *Διὸ καὶ τὰ ῥεύματα τῶν ποταμῶν ἐκ τῶν ὀρῶν φαίνονται ῥέοντα*] *Δείξας διὰ τριῶν ἐπιχειρημάτων***) τῇ προτεραίᾳ ὁ Ἀριστοτέλης μὴ οὖσαν τὴν*

Ammian. Marcellin. XXII, 15. p. 362. Spanheim ad Callimachi *Hymn. in Del.* 207. Tom. II. p. 514 sq. ed. Ernesti.

*) *Od.* XX, 204.

**) *Iliad.* Θ', 47. Hanc adnotationem in fine sectionis ιε' apud Olympiodorum positam in fine esse mutilam, et quidquid superest esse depravatum, et in commentariis monui et ex ipsis verbis apertissime elucet.

***) Quae Olympiodorus in animadversionibus praecedentibus, quas non adscripsimus, recensuit tria *ἐπιχειρήματα* haec sunt: primum: *εἴ τις νοήσει τὴν φαντασίαν πόσον ἐστὶν τὸ ἐκρέον ὕδωρ,*

ὕλην τῶν ποταμῶν ἐνεργείᾳ ὑπὸ γῆν σωρευθεῖσαν, καὶ οὕτως ὥσπερ ἀπὸ πηγῆς ῥεῖν, ἔτι πρὸς τούτοις τὸ αὐτὸ τοῦτο δείκνυσι διὰ τετάρτου ἐπιχειρήματος. ὅτι γὰρ οὐκ ἐνεργείᾳ φησί, δῆλον ἐκ τοῦ τοὺς ποταμοὺς ἐκ τῶν ὀρῶν*) ἔχειν τὴν ἀρχήν. ἐξ αὐτῶν γὰρ ἀπολειβομένη καὶ ἀποστάζουσα ἡ ὑγρότης ποιεῖ τοὺς ποταμούς. ὅτι δὲ ἀπὸ τῶν ὀρῶν εἰκότως ῥέουσιν οἱ ποταμοί, δῆλον. τὰ γὰρ ὄρη ἐπιτήδεια καὶ πρὸς τὸ δέξασθαι πολλὴν ὑγρότητα διὰ τὸ σηραγγώδες αὐτῶν, ἀλλὰ μὴν καὶ πρὸς τὸ φυλάξαι. ὡς πετρώδη γὰρ ὄντα οὐκ ἀποχέουσι**) τὸ ὕδωρ, ἀλλὰ φυλάττουσιν. ἔτι γε μὴν ἐπιτήδειά εἰσι καὶ πρὸς τὸ γεννῆσαι. ψυχρὰ γὰρ ὄντα τὴν ἀναγομένην ἀτμίδα εἰς ὕδωρ μεταβάλλουσιν, ὥστε οὖν δῆλον ἐκ τούτου, ὅτι οὐκ ἐστὶν ἐνεργείᾳ ἡ ὕλη τῶν ποταμῶν ἀποκειμένη. ἀλλ' ἴσως τις ἀπορεῖ λέγων, ὅτι τὰ ὄρη ἀνεπιτήδειά εἰσι πρὸς τὸ δέξασθαι. περιφερῆ γὰρ καὶ στρογγύλα, τὰ δὲ τοιαῦτα ὑετῶν ἀνεπιτήδειά εἰσι. λέγομεν οὖν, ὅτι διὰ τὸ σηραγγώδες οὐκ ἐμποδίζεται δέξασθαι. ὥσπερ ὁ σπόγγος ἐν οἱῳδήποτε σχήματι εἰ τεθείη οὐκ ἐμποδίζεται πρὸς τὸ δέξασθαι κατὰ τὰς σήραγγας δεχόμενος. οὕτως ἔχει καὶ ἐπὶ τοῦ ὄρους, ἐφ' οἷς ὁ Ἀριστοτέλης ἐπειδὴ εἶπεν, ὅτι οἱ μέγιστοι ποταμοὶ ἐκ τοῦ ὄρους ῥέουσι, πιστοῦται αὐτὸ ἐκ τῆς ἱστορίας. τῷ γὰρ λόγῳ ἐμπεριέχεται τὴν οἰκουμένην καὶ πάντας τοὺς ἐν αὐτῇ ποταμοὺς ἀπαριθμεῖται, διαιρῶν αὐτήν, οὐχ ὥσπερ οἱ παλαιοὶ εἰς δύο, εἰς Εὐρώπην καὶ Ἀσίαν***),

---

εὑρήσει αὐτὸ ὑπὲρ τὴν ἀναλογίαν ὂν τῆς γῆς — alterum: ἄτοπον, εἴ τις μὴ νομίζει διὰ τὴν αὐτὴν αἰτίαν ὕδωρ ἐξ ἀέρος γίνεσθαι δι' ἥνπερ ὑπὲρ γῆς καὶ ἐν τῇ γῇ — tertium denique: οὐ δεῖ νομίζειν, ὅτι ὑποκάτω τῆς γῆς λίμναι εἰσὶν ὕδατος, ἐξ ὧν ἀπορρεῖ τὸ ὕδωρ, ἀλλ' ὥσπερ ἐν τῷ ἄνω τόπῳ γίνονται ψεκάδες καὶ αὖται συνερχόμεναι ποιοῦσι ῥανίδα, οὕτω δὲ καὶ ἐπὶ τῆς γῆς καὶ οἱονεὶ ἱδρωσίν τινα γενέσθαι.

*) Ald. ὀρῶν.

**) Ald. ἀπογειοῦσι.

***) Cfr. Agathamer. II, 2. p. 219. Gronov. Οἱ μέντοι παλαιοὶ τήν τε Λιβύην καὶ τὴν Εὐρώπην, ὥσπερ μίαν οὖσαν συναμφοτέρας ἐκάλουν ἑνὶ καὶ μόνῳ τῷ τῆς Εὐρώπης ὀνόματι.

ἀλλ' εἰς τρία, εἰς Εὐρώπην, Ἀσίαν καὶ Λιβύην*). Τῆς γὰρ Ἀσίας διαιρεῖ τὴν Λιβύην κατὰ τὸν Νεῖλον, ὡς διακρίνεσθαι τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης μὲν κατὰ τὸν Τάναϊν, ἀπὸ δὲ Λιβύης κατὰ τὸν Νεῖλον. Καὶ ἄρχεται ἀπὸ τῆς Ἀσίας λέγων, ὅτι ἀπὸ τοῦ Παρνασσοῦ ὄρους πολλοὶ μὲν καὶ ἄλλοι ποταμοὶ ῥέουσι, μέγιστος δὲ ὁ Χοάσπης καὶ ὁ Βάκτρος καὶ ὁ Ἀράξης. ὅτι δὲ ποταμοί εἰσι Περσικοί, καλῶς εἶπεν αὐτοὺς τῆς Ἀσίας. πάλαι γὰρ πρὸ τοῦ Ἀλεξάνδρου ἡ Ἀσία ὑπὸ τὴν Περσίδα ἐτέλει. Ἀποροῦσι δέ τινες, τί δήποτε τὸν Παρνασὸν τῆς Ἀσίας λέγει. οὗτος γὰρ πλησίον ἐστὶ Δελφῶν, οἱ δὲ Δελφοὶ τῆς Ἑλλάδος, ἡ δὲ Ἑλλὰς τῆς Εὐρώπης. παρ' ἱστορίαν δοκεῖ εἶναι τὸ λεγόμενον. λέγομεν οὖν, ὅτι οὐκ εἶπε τὸν Παρνασὸν Ἀριστοτέλης εἶναι τῆς Ἀσίας, ἀλλ' ἐκ τοῦ τοὺς ἐν τῇ Ἀσίᾳ διαιρεῖν ποταμούς. πλὴν τοῦτο ἀτοπώτερον. πῶς γὰρ τοῦτο ἐνδέχεται γενέσθαι μεταξὺ τῶν δύο ἠπείρων οὔσης θαλάσσης; ἔστιν οὖν, ὡς ἐμοὶ δοκεῖ, ἴσως ἕτερον ὄρος Παρνασὸς καλούμενον. οὐ γὰρ τοῦτο λέγει τὸ πλησίον Δελφῶν. φησὶ γὰρ οὗτος, ἐστὶν ἐν τῷ πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ. ὑπερβάντες γὰρ τοῦτο ὁρῶμέν φησι τὴν ἐρυθρὰν θάλασσαν. ἔστι δὲ καὶ ἄλλο ἄπορον περὶ τούτου τοῦ ὄρους. φησὶ γὰρ Ἀριστοτέλης, ὅτι ὁ Παρνασὸς πάντων τῶν πρὸς τὴν ἕω τὴν χειμερινὴν μέγιστόν ἐστιν. πῶς οὖν φησι τότε πρὸς τὴν ἕω εἶναι τὴν χειμερινήν, εἴγε αὐτὴ ἡ ἀντοικουμένη ἐστίν; ἡμεῖς γὰρ τὰ περὶ τὴν ἕω τὴν θερινὴν οἰκοῦμεν, οἱ δὲ ἐν τῇ ἀντοικουμένῃ τὰ περὶ τὴν χειμερινήν. Ῥητέον οὖν, ὅτι χειμερινὴν ἕω λέγει οὐ πρὸς τὸ πᾶν, ἀλλ' ὡς πρὸς τὴν οἴκησιν. ἐπὶ γὰρ ἑκάστης οἰκήσεως ἐστὶ καὶ θερινὸς καὶ χειμερινός. τῆς οὖν καθ' ἡμᾶς οἰκήσεως πάντων τῶν ὀρῶν τῶν πρὸς τὴν χειμερινὴν ἀνατολὴν μεῖζόν ἐστιν, ἐπεὶ οὗτος μὲν ἐν τῇ Ἀσίᾳ· ἐν δὲ τῇ Εὐρώπῃ ἐστὶν ὁ Καύκασος μέγιστος καὶ μεγέθει καὶ πλάτει. τεκμήριον δὲ τοῦ μὲν ὕψους αὐτοῦ, τοῦ πρὸ τεσσάρων ὡρῶν τοῦ ἀνατεῖλαι τὸν ἥλιον

*) Cfr. Schaefer *Meletem. crit.* p. 37 sq. ad Lambert. Bos. *Ellips. gr.* p. 531. ad *Schol. Parisin.* Apollon. Rhod. II, 778. Tom. II. p. 188. Bernhardy *Eratosthenic.* p. 69 sq. ad Dionys. Perieget. v. 14. p. 528.

φωτίζεσθαι καὶ μετὰ τέτταρας ὥρας πάλιν τοῦ δῦναι, ὥστε ἀκρώρειαν αὐτοῦ εἶναι τὴν νύκτα, ἤτοι τὸ σκότος ἐν αὐτῇ, τεσσαρῶν ὡρῶν καιρικῶν. οὐ τοῦτο δὲ ἁπλῶς λέγω, ὅτι ἡ νὺξ τέσσαρας ἔχει ὥρας (ἐπεὶ εὑρεθήσεται ἡ ἡμέρα εἴκοσιν ὡρῶν, καὶ ἔστιν ὑπὲρ γῆν δέκα ζώδια, ὅπερ ἄτοπον), ἀλλ' ὅτι εἴκοσι μένει ὥρας φωτιζόμενον. εἰ δὲ καὶ φωτίζεται, ἀλλ' οὐδαμῶς ἡμέρα λέγεται. ἔοικε γὰρ ὁ ἀὴρ εἶναι πρὶν ἀνατεῖλαι τὸν ἥλιον. οἷον ἐστὶ περὶ τὸ λυκόφως. τοῦ μὲν ὕψους τεκμήριον τοῦτο, τοῦ δὲ πλάτους τεκμήριόν ἐστι τὸ εἶναι αὐτὸ ἀπείρων ἐθνῶν οἰκήσεις· πάντων οὖν τοῦτο τῶν πρὸς τὴν ἕω τὴν θερινὴν μεῖζόν ἐστιν, ὡς ἐκ τούτου ἀναφαίνεσθαί σοι, ὅτι Εὐρώπη Ἀσίας διαφέρει κατὰ τὸν χειμερινὸν καὶ θερινόν. μᾶλλον γὰρ Εὐρώπη περὶ τὰς θερινάς ἐστιν ἀνατολάς, ἡ δὲ Ἀσία μᾶλλον πρὸς τὰς χειμερινάς· εἴ τε τῆς μὲν Εὐρώπης ἐστὶν ὁ Καύκασος, τῆς δὲ Ἀσίας ὁ Παρνασός· ἐκ τούτου φησὶ τοῦ Καυκάσου πολλοὶ μὲν καὶ ἄλλοι ῥέουσι ποταμοί. ῥεῖ δὲ καὶ ὁ Φᾶσις, οὗ μέμνηται Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ γράψας *). ποταμὸς δέ ἐστιν οὗτος περὶ τὴν Σκυθίαν. ἀπὸ δὲ τῆς Πυρήνης **) — ὄρος δὲ καὶ τοῦτο τῆς Εὐρώπης. ἔφη γὰρ αὐτὸ μέγιστον εἶναι τῶν ὀρῶν τῶν ὄντων πρὸς τὰς ἰσημερινὰς δυσμάς, ἐκεῖ δὲ Εὐρώπη ἐστίν. οὐ γὰρ μόνον Εὐρώπη ἀρκτικωτέρα***) ἐστὶ τῆς Ἀσίας, ἀλλὰ καὶ δυκτικωτέρα. ῥέουσιν οὖν ἐκ τῆς Πυρήνης ἄλλοι τε πολλοί, ῥεῖ δὲ ἐξ αὐτῆς ὁ Ταρτησὸς καὶ ὁ Ἴστρος. ἀλλ' ὁ Ἴστρος δι' ὅλης τῆς Εὐρώπης περὶ τὸ Βυζάντιον φέρεται. τούτου δὲ ἡ ἐπιφάνεια πήγνυται ὥστε διοδεύεσθαι †)

---

*) *Argonaut.* II, 401.

**) Ald. *πυρίνης*. Saepenumero confusa sunt in editionibus Aldinis η et ι, quod ex pronuntiationis ratione explicandum. Ita supra scriptum reperimus *δημιτριακόν* et plura eius generis alia. Ita mox *Ταρτισός*.

***) Ald. *ἀρκτωτέρα*.

†) Cfr. Herodian. I. p. 12. (ed. Oxonii 1699. 8.) et quos composui scriptores *Meteorol. vet. Gr. et Roman.* XI, 56. p. 230. not. 22: Flor. IV, 12. Plin. *Panegyric.* c. 12. Stat. *Silv.* V, 1, 127. Ammian. Marcellin. XIX, 11. p. 245. ibiq. Vales. Iornand. *de reb. Getic.* c. 54. p. 693. (ed. Amstelaed. 1655). Xiphilin.

καὶ κινδυνὸν οὐ τὸν τυχόντα ἐπάγοι τοῖς ὁδοιποροῦσι διαλυόμενος. εἰσβάλλει δὲ οὗτος εἰς τὸν Εὔξεινον Πόντον, οὗ μέμνηται Ἀπολλώνιος *). Εὔξεινος δὲ ἐκλήθη κατὰ εὐφημισμὸν διὰ τὸ κακῶς αὐτὸν τοῖς ξένοις κεχρῆσθαι **). πάντων οὖν τῶν περὶ τὴν ἄρκτον ποταμῶν σχεδὸν αἱ πηγαί εἰσιν ἐν τοῖς Ἀρκυνίοις ***) ὄρεσιν. ὄρη δέ εἰσι ταῦτα τῆς Κελτικῆς. οὗτοι μὲν οὖν ἐν τῇ Εὐρώπῃ ῥέουσιν καὶ ἐν τῇ Ἀσίᾳ. καὶ ἐν τῇ Λιβύῃ δὲ μέγιστοι ποταμοὶ ἀπὸ ὀρῶν ἔχουσι τὴν ἀρχήν. ἀπὸ γὰρ Αἰθιοπικῶν ὀρῶν Αἴγων καὶ ὁ Νύσης. ἔτι γε μὴν καὶ ὁ Χρεμέτης· ὁ δὲ Νεῖλος ῥεῖ ἀπὸ τῶν ἀργυρέων ὀρῶν. ἀργύρεα δὲ ὄρη καλοῦνται διὰ τὸ ἔχειν μέταλλον ἀργυροῦν. ὥσπερ οὖν Χρυσορρόας λέγεται ποταμὸς †) διὰ τὸ ψήγματα χρυσοῦ καταφέρει, οὕτως ἴσως καὶ ὁ Νεῖλος διὰ τὸ καταφέρειν ἀργυροῦ ψήγματα λέγεται ἀπὸ τῶν ἀργυρέων ῥεῖν. Πτολεμαῖος δέ φησιν αὐτὸν ῥεῖν ἀπὸ τῶν σεληναίων ὀρῶν, καὶ οὐ διαφωνεῖ Ἀριστοτέλει. ἴσως γὰρ τὰ ἀργύρεα ὄρη σεληναῖα καλοῦνται διὰ τὸ τῇ

Epitom. Dion. Cass. XVIII. p. 776. LXXI. p. 804. Poteram addere Claudian. *de III Cons. Honor.* v. 150: *Stantemque rota sulcavimus Istrum.*

*) Πόντον ἐς Ἄξεινον est *Argonaut.* II, 984.

**) Cfr. Eustath. ad Dionys. Perieget. 166. p. 113.

***) Ald. Ἀρκυνίοις et mox *Νύσης.*

†) Eustath. ad Dionys. 830. p. 262: ὁ ἠνεμόεις Τμῶλος τὸ ὄρος, ὅθεν ὁ Πακτωλὸς ῥέων χρυσὸν ὑμοῦ δίνῃσιν ἐφελκόμενος κελαρύζει (vers. Dionysii 832). Χρυσορρόας γὰρ ἱστορεῖται ὁ Πακτωλὸς ποταμός, ἢ ὡς αὐτὸ τοῦτο χρυσοῦ κατασύρων ψήγματα ἢ ὡς λιπαίνων τὴν ἐγχώριον γῆν καὶ πλουτοποιὸς τοῖς ἐκεῖ γινόμενος. καὶ ὅρα καὶ ἐνταῦθα τὸ κελαρύζειν οὐ πάνυ προσφυὲς ὂν μεγαλειότητι ποταμίου ῥεύματος, ὡς οὐδὲ ἐν τοῖς πρὸ τούτου ἐπὶ τοῦ Κηφισοῦ. ὁ δὲ Πακτωλὸς καταφέρεσθαι λέγεται εἰς τὸν Ἕρμον, καθὰ καὶ Ἡρόδοτος ἱστορεῖ λέγων (V, 101): Πακτωλὸς ψῆγμα χρυσοῦ καταφέρων ἐκ τοῦ Τμώλου εἰς τὸν Ἕρμον ποταμὸν ἐκδιδοῖ. Coll. Strabon. XIII. p. 884 D. Chrysorrhoas Iudaeae fluvius commemoratur apud Strabon. XVI. p. 1095 B. Quod narrat Olympiodorus, Nilum argenti ramenta secum ferre, id sola niti videtur coniectura. Nihil enim quaerenti mihi aliunde quidpiam ea de re innotuit.

σελήνῃ ἀνακεῖσθαι τὸν ἄργυρον *) ἢ διὰ τὸ χρῶμα τῆς σελήνης λευκὸν οὐ τὸ ἴδιον**), τοῦτο γὰρ ἀνθρακῶδες, ἀλλ' ὅπερ δέχεται ἐκ τοῦ ἡλίου. οὕτω †) μὲν οὖν ῥέουσιν ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ καὶ ἐν τῇ Λιβύῃ. τὰ μετὰ ταῦτα δὲ ἐπανατρέχει ἐπὶ τὴν Εὐρώπην. ἐνδιηγεῖται γὰρ πόθεν ῥέουσιν οἱ περὶ τὴν Ἑλλάδα ποταμοί. ἡ δὲ Ἑλλὰς τῆς Εὐρώπης. τοῦτο δὲ ποιεῖ δεικνύων, ὅτι ἡμεῖς τῆς σαφηνείας στάσιν διαιροῦμεν τὴν γῆν εἰς Ἀσίαν καὶ Εὐρώπην καὶ Λιβύην, ἐπεὶ αὕτη σφαιρικὴ οὖσα, οὐδαμῶς διαιρεῖται. οὗτοι εἰσὶν οἱ ποταμοί. καὶ μεμαθήκατε, ὅτι οἱ μέγιστοι ἀπὸ τῶν μεγίστων ἐξέρχονται. καὶ εὖγε λόγοι ὅτι ἐπὶ θρόνου καθήμενοι ἐν βραχυτάτῳ πᾶσαν τὴν οἰκουμένην ἐκπεριήλθομεν. ἐφ' οἷς ὁ Ἀριστοτέλης ἐπειδὴ διὰ τεσσάρων ἐπιχειρημάτων ἔδειξε μὴ εἶναι ἐνεργείᾳ τὴν ὕλην τῶν ποταμῶν (ὁρῶμεν δέ, ὅτι καὶ ἔστιν ἐνεργείᾳ), ἐπάγει λέγων, ὅτι οἶδα, ὡς ἐστιν ἐνεργείᾳ σωρευθὲν ὕδωρ. ἀλλ' οὐ τοῦτο μόνον ὕλη τῶν ποταμῶν, ἀλλὰ καὶ ἡ καθ' ἑκάστην γινόμενη ††) οὐδὲ τοῦ ὑετοῦ ὕλη μόνον ἐν τῷ θέρει γεννηθεῖσα, ἀλλὰ καὶ ἡ καθ' ἑκάστην ἐν αὐτῷ τῷ χειμῶνι γινομένη. ὅτι δέ ἐστιν ἐνεργείᾳ τὸ ὕδωρ, δείκνυσι ἐκ τῶν ἀναπύσεων τῶν ποταμῶν καὶ ἐκ τῶν ἐκφάνσεων, καὶ ἐκ τούτων ἐν μέσῳ τῆς θαλάττης ὕδωρ γλυκὺ εὑρίσκεσθαι. τούτου δὲ ἤδη τὰς αἰτίας εἰρήκαμεν. πλὴν ἐστιν εἰπεῖν καὶ ἑτέραν αἰτίαν τοῦ εἶναι γλυκὺ ὕδωρ ἐν τῇ θαλάττῃ, τὸ ῥεῖν ποταμοὺς περὶ αὐτήν. οὕτως ὁ ἐπὶ Γάζαν πλοῦς ἔχει ὕδωρ γλυκὺ διὰ τὸ στόμα τοῦ Νείλου. πλὴν εἰ καὶ ἔστιν ὕδωρ ἀλλ' οὖν οὐκ ἐν μέσῳ τῆς θαλάττης. ἀλλ' οὐ πανταχοῦ ὑπὸ θαλάσσης κυκλοῦνται. τῇ γὰρ ῥύμῃ καὶ τῇ ὁρμῇ ἐκβάλλων ὁ ποταμὸς εἰς τὴν θάλατταν οἱονεὶ

*) Cfr. not. ad Excerpta ex Olympiodoro ad I, 8, 1. Adde Gesner *Commentat. Gott.* Tom. III. p. 78. Beckmann *Beiträge zur Geschichte der Erfindungen* Tom. III. p. 356 — 368. Bernhardy ad Dionys. Perieget. p. 886. Lobeck *Aglaopham.* II. p. 936.

**) Genuinus enim color secundum Olympiodorum *ἀνθρακώδης*. cfr. fol. 7, b. 8, b.

†) Nescio an *οὗτοι* sit scribendum. Mox pro *στάσιν* scr. *χάριν*.

††) Add. *γινόμενον*.

ῥύακά τινα ποιεῖ, ὃς ἄχρι τοῦ ποταμοῦ περιέχει γλυκὺ ὕδωρ. ἐκ πλαγίων οὖν καὶ κατὰ τὸ πέρας, ἐκ θαλάττης ..... ται *), οὐ δήπου δὲ καὶ κατὰ τὴν ἀρχήν. ὅτι δὲ γίνονται ἐκφάνσεις καὶ ἀναπόσεις, καὶ ὅτι ἐστὶν ἐν μέσῳ τῆς θαλάττης ὕδωρ, δείκνυσιν ἐκ τῆς ἱστορίας. Olymp. fol. 23, a — 24, a.

XII, 11. Ὁμοίως δὲ καὶ αἱ κρῆναι ..... γειτνιῶσιν] Κρηνῶν καὶ ποταμῶν τὸ ἀπὸ γῆς ἔχειν τὴν ἀρχὴν διάφορον διὰ τὸ πόσον. ὁ μὲν γὰρ ποταμὸς ἀπὸ μεγάλης πηγῆς, ἡ δὲ κρήνη ἀπὸ μικρᾶς. καὶ τὰ φρέατα δὲ ἀπὸ πηγῆς ἔχουσι τὴν ἀρχὴν, ἀλλὰ διαφέρουσιν. ὅτι ποῦ μὲν ἐπὶ τοῦ φρέατος ἀπὸ τοῦ βάθους τῆς γῆς ἐκδίδοται τὰ ὕδατα, ποῦ δὲ ἐπὶ πηγῶν καὶ κρηνῶν ἀπὸ τοῦ ἐπὶ πολλῆς. διὸ ποταμοὶ μὲν καὶ κρῆναι, ῥευστὰ ἔχουσι τὰ ὕδατα. τὰ δὲ φρέατα στάσιμα. οὐ γὰρ ἐκρέουσι πλὴν εἰ καὶ στάσιμά ἐστι τὰ φρεατιαῖα ὕδατα. ἀλλ' οὖν ὅμως οὐχ ὅμοια τοῖς λιμναίοις· ἐκεῖνα γὰρ ὑπόστασιν ἔχουσι. ταῦτα δὲ οὐκ ἔχουσιν ὑπόστασιν. διὸ ἀεὶ ἐκδίδοται ὕδωρ ἐκ τῶν κάτω τῆς γῆς. Olymp. fol. 24, a.

XIII, 14. Δῆλον δέ ἐστι τοῦτο θεωμένοις ἡμῖν **) τὰς τῆς γῆς περιόδους] Περιόδους δὲ λέγει τῆς γῆς διάφορα αὐτῆς μέρη. περίοδοι δὲ λέγονται διὰ τοὺς περινοστήσαντας καὶ συγγραψαμένους. συνεργάψαντο γὰρ τὴν τῆς γῆς θέσιν ὡς καὶ τῶν ποταμῶν καὶ τῶν λοιπῶν πάντων τὰς διαφοράς, τῶν μὲν αὐτόπται γενόμενοι, τῶν δὲ αὐτήκοοι. Olymp. fol. 24, a.

XIII, 15. Ἡ ἔξωθεν ***) θάλαττα, ἧς τὸ πέρας οὐ δῆλον τοῖς ἐνταῦθα] Ἔξω θάλατταν τὴν ἐρυθρὰν διὰ τὸ μὴ ἔχειν πέρας. πλὴν νῦν μέν φησιν, ὅτι ἔν τινι τόπῳ ἐστὶν ἰσθμὸς συνάπτων τὰς δύο ἠπείρους. πλὴν εἰ καὶ ἔστιν, ἀλλ' οὖν καὶ αὐτὸς ὁ ἰσθμὸς ἔχει ἐπιβεβλημένην θάλασσαν. εἰ καὶ διοδεύεται οὖν, ἀλλ' οὖν διὰ θαλάττης διὰ τὸ ἀβαθὲς καὶ ἐπιπόλαιον. Olymp.

---

*) Lacuna non apparet in edit. Aldina.

**) Ita enim edit. Aldina.

***) Ita legitur apud Ald. quamvis ipse Olympiodorus, quemadmodum patet ex sequentibus, ἔξω legerit.

16. *Τούτου δ' ὁ Ταναΐς ἀποσχίζεται*] *Τάναΐν φησι τὸν διορίζοντα Εὐρώπην ἀπὸ Ἀσίας, περὶ οὗ Διονύσιος* *)·

Εὐρώπην δ' Ἀσίης Τάναΐς διὰ μέσσον ὁρίζει.

18. *Σημεῖον δὲ ὅτι ὁρᾶται ..... κορυφῆς*] *Ἐκ τοῦ Καυκάσου ὄρους, ὄντος καὶ αὐτοῦ ἐν τῇ Ἀσίᾳ, ἄλλους τε λέγει ῥεῖν ποταμούς καὶ πλῆθος πολλοὺς καὶ τὸ μέγεθος ὑπερβάλλοντας καὶ δὴ καὶ τὸν Φᾶσιν* **) *ἔνδοξον ἐπὶ μεγέθει ποταμόν. λέγει δὲ τὸν Καύκασον μέγιστον ὄρος εἶναι καὶ ὕψει καὶ πλήθει τῶν πρὸς τῇ θερινῇ ἀνατολῇ· καὶ τοῦ μὲν ὕψους αὐτοῦ σημεῖα, ὅτι πόρρωθέν τε ὁρᾶται καὶ ἀπὸ κοιλῶν τινων. ἀπό τε γὰρ τῶν καλουμένων βαθέων ὑπερορᾶται καὶ εἰσπλεόντων εἰς τὴν λίμνην δῆλον ὡς πόρρω οὖσαν. ἀλλὰ καὶ ὅτι ἡλιοῦται αὐτοῦ τὰ ἄκρα τῆς νυκτὸς μέχρι τοῦ τρίτου μέρους τῆς νυκτὸς καὶ πάλιν πρὸς τὴν ἕω μέχρι τοῦ τρίτου, ὡς τῶν δώδεκα ὡρῶν τῶν νυκτερινῶν, τεσσάρων ὡρῶν μόνων τῶν μέσων τὰ ἄκρα αὐτοῦ μὴ ἡλιοῦσθαι. δύναταί τις ἀκούειν τοῦ μέχρι τοῦ τρίτου μέρους ἡλιοῦσθαι καὶ ἀπὸ τῆς ἕω τῆς νυκτὸς οὔσης. ὅπως δὲ ἔχει τὸ λεγόμενον ἐκ τῆς ἱστορίας χρὴ ἐπικρῖναι. τοῦ δὲ πλάτους καὶ πλήθους αὐτοῦ σημεῖα, ὅτι πολλας ἔχει ἕδρας, τουτέστι πολλαχοῦ χθαμαλόν, οἷς οἷόν τε ἱδρύεσθαι. ἐν οἷς τόποις ἔθνη τε κατοικεῖ πολλὰ καὶ λίμναι λέγονται εἶναι μεγάλαι. πάντα δὲ ἔχει φανερὰ καὶ ὁρώμενα ἕως τῆς ἐσχάτης κορυφῆς. ὃ τοῦ μεγέθους αὐτοῦ σημεῖον, εἴγε ἔθνη πολλὰ ἐν αὐτῷ ἔχει τηλικαῦτα, ὡς ὁρᾶσθαι πόρρωθέν τε καὶ κάτωθεν ἅπαντα, μέχρι τῆς κορυφῆς, οὕτως ὑψηλῆς οὔσης, ὡς προείρηκεν.* Alex. fol. 88, a.

Τόπος ἐστὶ περὶ τὸν Πόντον βαθύτατος, ἐν ᾧ μέλλει λέγειν, ἔτι καὶ γλυκὺ ὕδωρ εὑρίσκεται. βάθος δὲ καλεῖται, ὅτι οὐδεὶς ἠδυνήθη καταλαβεῖν τὸ βάθος αὐτοῦ. πλὴν ἐμοὶ δοκεῖ μὴ καταληφθῆναι τὸ βάθος, οὐ διὰ τὸ ἄπειρον αὐτὸ εἶναι,

*) *Periegcs.* v. 14. Ald. *διὰ μέσον.* Fugit hic locus nuperrimum Dionysii interpretem.

**) Ald. *Φάσιν.*

ἀλλ' ἐπειδὴ ἀναδίδοται ἐκεῖ γλυκὺ ὕδωρ, ὡς εἴρηται. τοῦτο δὲ μετὰ πολλοῦ πνεύματος ἀναφέρεται καὶ οὐ συγχωρεῖ τὰ βάρη κατενεχθῆναι. ἀνωχοῦνται γὰρ ὑπὸ τῆς τοῦ πνεύματος βιαίας φορᾶς. περισκορπίζονται *) οὖν ἐν τῷ πλάτει τὰ ἐξαπτόμενα σχοινία τοῦ βάρους. καὶ διὰ τοῦτο καὶ πολλῶν καὶ μεγίστων σχοινίων ἐμβαλλομένων οὐ καταλαμβάνεται τὸ βάθος. ἢ οὖν τοῦτο ἢ εἰπὲ καὶ ἄλλο. καταληφθῆναι νομίζουσιν οἱ περὶ ταῦτα ἀπησχολημένοι τὴν γῆν ἐκ τοῦ ἐν ταῖς βολίσι ταῖς παρ' αὐτοῖς βαλλομένοις ψάμμον ἀνάγεσθαι, ἐξ ἧς καὶ τοὺς διαφόρους τόπους ἐν πελάγεσιν ὄντες καταλαμβάνουσι. ταύτην οὖν οὐκ ἐνδέχεται τὴν ψάμμον ἀνενεχθῆναι διὰ τὸ μὴ εἶναι ὑπὸ στάθμην τοῦ ὕδατος, ἀλλ' ὥσπερ ἐπὶ ῥεύματος ἀναβρύειν τὸ ὕδωρ, ἢ εἰ καὶ ἀναφέρεται, περισκορπίζεται διὰ τὴν κίνησιν τοῦ ὕδατος πολυειδῆ ὑπάρχουσαν. περὶ οὖν τοῦ μεγέθους λίαν εἰσὶν οἱ λεγόμενοι **) μυθώδεις. ἄπιστον γὰρ μέγεθος περὶ αὐτό φασι καὶ ὅμοιον τοῖς ὑπὲρ Θούλην ἀπίστοις. ὑπὲρ Θούλην δ' εἰσὶν ἄπιστα τὰ πάνυ διεψευσμένα, λέγονται δὲ οὕτως. διότι καὶ τὰ περὶ τῆς νήσου ταύτης λεγόμενα μυθώδη εἰσί. Olymp. fol. 24, a.

21. *Καὶ τοῦ Νείλου τὸ ῥεῦμα πρῶτον ἐκ τοῦ ἀργυρέου καλουμένου ὄρους*] Ὁ μὲν οὖν Ἀριστοτέλης, ὥσπερ καὶ ὁ Πτολεμαῖος, φησὶ πηγὰς ἔχειν τὸν Νεῖλον. Ἡρόδοτῳ ***) δὲ μᾶλλον πιστευτέον ἐντεῦθεν λέγοντι ἐκ τῆς ἀντοικουμένης †) ἔχειν τὴν ἀρχὴν αὐτόν. διὸ καὶ θέρους πλημμυρεῖ, ὅτε ἐκεῖσε χειμών. ὅτι γὰρ οὐκ ἀπὸ πηγῆς ῥεῖ πρόδηλον. τὴν γὰρ Μερόην ††) φασὶ νῆσον εἶναι κυκλουμένην ὑπὸ τοῦ

*) Lexicis addatur. Simplici verbo, quod macedonicum esse dicunt, iam usus est Hecataeus. Cfr. omnino Lobeck ad Phrynich. p. 218.

**) Deest fortasse *λόγοι*.

***) II, 17. Eandem opinionem tuetur Macrobius.

†) Ald. hic et paulo post *ἀντικουμένης*, unde refingi etiam potest *ἀντικειμένης*.

††) Ald. h. l. et deinceps *Μερόπην*. cfr. omnino Eratosthen. apud Strabon. XVII. init. (fragm. CXXII. p. 106) — *κυκλουμένην νῆσον* non est tautologia, cum *νῆσος* etiam *peninsulam* signi-

Νείλου. τὰ δὲ μετὰ Μερόην ἀοίκητά ἐστι. τὸ γὰρ πρῶτον χλίμα. μετ' αὐτὸ λοιπὸν ἡ ἀντοικουμένη. Olymp. fol. 24, b.

22. *Πρῶτον* *) *ὁ μὲν Ἀχελῷος ἐκ Πίνδου] Πίνδος ὄρος ἐστὶ Πελοποννήσου* **).

27. *Περὶ τὴν Ἀρκαδίαν ἐστίν] Ἐπειδὴ ἡ Πελοπόννησος εἰς πέντε διήρηται, Ἀρκαδίαν, Μεσσήνην, Ἦλιδα, Ἄργος καὶ Λακεδαίμονα, διὰ τοῦτο εἶπε περὶ τὴν Ἀρκαδίαν τῆς Πελοποννήσου. συμβαίνει οὖν ἐν αὐτῇ ἀναποθῆναι ποταμὸν καὶ ἐν ἄλλῳ τόπῳ ἐκφανῆναι. ἀνεπόθη δέ, ἐπειδὴ ὄρους παρακειμένου μὴ ἔχων διέξοδον, ἀλλὰ καὶ βιαζόμενος ἐκ τοῦ ἐπιφερομένου ὕδατος δίοδον αὑτῷ* ***) *ἐπὶ τὰ κάτω ἐποιήσατο.* Olymp. fol. 24, b.

29. *Ἄλλην γὰρ περὶ τὸν Καύκασον λίμνην καλοῦσιν οἷαν καὶ θάλατταν* †)] *Περὶ τῆς Μαιώτιδος λίμνης λέγει, ὅτι αὐτὴ ἀνεπόθη. καὶ ἡ ἔκφανσις αὐτῆς γέγονε περὶ τὸν Πόντον. ὡς ἐκεῖθεν γλυκὺ ὕδωρ ἀναβρύεσθαι, εἰς οὓς τόπους ἡ ἔκφανσις γέγονεν ἐν τῇ θαλάττῃ. ζητῆσαι δὲ ἄξιον, τί δήποτε θάλασσαν αὐτὴν ἐκάλεσε. καί φαμεν, ἢ διὰ τὸ μέγεθος (οὕτω γὰρ καὶ τὴν θάλασσαν λίμνην ἐκάλεσεν ὁ ποιητὴς διὰ τὸ πλάτος εἰρηκώς* ††)·

Ἥλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην)

ἢ διότι στάσιμόν ἐστι τὸ λιμναῖον ὕδωρ. τοιαύτη δὲ καὶ η θάλασσα. εἰ γὰρ ὁλότης ἐστίν, (αἱ δὲ ὁλότητες ἀΐδιοι κατὰ Ἀριστοτέλην †††), *μόνιμός ἐστι καὶ στάσιμος ἡ θάλασσα. ἢ διὰ*

---

ficare possit. cfr. Musgrave ad Euripid. *Phoeniss.* 215. Bernhardy ad Dionys. Perieget. v. 592. p. 689.

*) Addidit hoc vocabulum Aldus, nescio an de suo.

**) Adnotationem hanc Olympiodori nulla alia de causa, nisi propter ineptiam adscripsimus.

***) Ald. *αὐτῷ*. Cfr. Matth. *Gr. gr.* Vol. I. p. 278.

†) Hoc modo Aldus. Caeterum nescio quid ineptius queat reperiri, quum h. l. cogitare cum Olympiodoro de palude Maeotide.

††) *Odyss.* γ', 1.

†††) Quod elucet ex iis, quae disputantur in *Metaphysic.* XIV, 2.

τοῦτο, ἢ εἶπεν, ὅτι πάλαι θάλαττα ἦν ἐκεῖ. ἀλλ' εἰσβάλλοντες οἱ ποταμοὶ καὶ πολλὴν ὕλην ἐπιφερόμενοι ἀπεγέωσαν μέρος τῆς θαλάσσης καὶ ἠϊόνα ἐποίησαν, ὅθεν καὶ ἠϊὼν λέγεται παρὰ τὸ πλεονάζειν ἐν αὐτῇ τὴν γῆν. γενομένης οὖν τῆς ἠϊόνος τὸ ἐγκαταλειφθὲν ἁλμυρὸν ὕδωρ ἐξεγλυκάνθη καὶ ἐποίησε τὴν λίμνην. ἴσως οὖν πάλαι ἦν θάλαττα καὶ διὰ τοῦτο θάλατταν αὐτὴν καλοῦσιν. ἔστι μὲν οὖν οὗτος ὁ τρόπος εἰς γενέσεως λίμνης. ἔστι δὲ καὶ ἕτερος, ἡνίκα εἰσβάλλων ποταμὸς εἰς γῆν, ἣν μὴ εὑρίσκῃ διέξοδον εἰς πλάτος ἐξαπλωθῇ καὶ ἐξορύττων τὴν γῆν ποιήσῃ βάθος. πλὴν ὁ μὲν πρῶτος, ἐφ' ὃν παράκειται θάλασσα ἁρμόζει· ὁ δὲ δεύτερος ἐπὶ τοῖς ὀρεινοῖς τόποις οὐ τοῖς ἐν λίμναις. Olymp. fol. 24, b.

30. *Τρισσαχῇ περὶ στάδια τριακόσια*] Ὁ μὲν φιλόσοφος *) εἶπεν ἀπὸ τῆς Μαιώτιδος λίμνης ἀριθμούντων εἰσὶ τὰ στάδια. ἐμοὶ δὲ δοκεῖ ἀπὸ τῆς παρακειμένης γῆς τῷ Πόντῳ ἀριθμῆσαι. ἀπὸ γὰρ τῆς Μαιώτιδος λίμνης εἰς τὸν Πόντον πάνυ πολύ ἐστι διάστημα. Olymp. fol. 24, b.

XIV, 1. *Τὸ προκείμενόν ἐστι δεῖξαι*, ὅτι μεταβάλλει τὰ μέρη τῆς γῆς κατὰ τὸ ξηρότερόν καὶ ὑγρότερον, ἀπὸ ὑγροῦ ξηρότερα γινόμενα, καὶ ἀπὸ ξηροῦ ὑγραινόμενα. τριτῆς *) δὲ οὔσης τῆς ὑγρότητος, ἢ ποτίμου, ἢ ἁλμυρᾶς, ἢ ἑλώδους, δείκνυσι πᾶσαν ὑγρότητα εἰς ξηρότητα μεταβάλλουσαν. ὅτι γὰρ ἀπὸ ποτίμου ὑγρότητος μεταβάλλει ἡ γῆ ξηρότητα, καὶ ἀπὸ ξηρότητος εἰς ὑγρότητα πότιμον δηλοῦσιν αἱ ἀναπόσεις καὶ ἐκπόσεις τοῦ ποταμοῦ. οἱ γὰρ τόποι, ἐν οἷς ἀνεπόθη πάλαι ὑγροὶ ὄντες, νῦν ξηροὶ ἐγένοντο, ἐν οἷς δ' ἀνεφάνη τόποις πάλαι ξηρότητος οὔσης, νῦν ὑγρότης ἐπλεόνασεν. οὕτω μὲν κατὰ τὴν πότιμον ὑγρότητα. ἀλλὰ μὴν καὶ κατὰ τὴν ἁλμυράν. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐκ τοῦ καὶ τὴν ἤπειρον θαλαττοῦσθαι καὶ τὴν θάλατταν ἠπειροῦσθαι. ἡ γὰρ μεταβολὴ νῦν

---

*) Ammonius puto. Cfr. fol. 3, a. ὁ δέ γε φιλόσοφος Ἀμμώνιος συνηγορεῖ. et fol. 16, a. cfr. fol. 12, a. Exc. ad I, 6, 3. et 26, a. ad I, 14, 17.

**) τριττῆς Ald.

κατὰ ξηρότητα καὶ ὑγρότητα γέγονεν, ἀλλὰ ὑγρότητα ἁλμυρόν. συμβαίνει δὲ τοῦτο τὴν θάλατταν ἠπειροῦσθαι, καὶ τὴν ἤπειρον θαλαττοῦσθαι διὰ τὸν μέγαν καλούμενον χειμῶνα καὶ τὸ μέγα θέρος. μέγας δέ ἐστιν ὁ χειμών, ἡνίκα πάντες ἐν χειμερινῷ ζωδίῳ γένωνται, ἢ ὑδροχόῳ ἢ ἰχθύσι. μέγα δέ ἐστι θέρος, ὅταν πάντες ἐν θερινῷ ζωδίῳ γένωνται, ἢ λέοντι ἢ καρκίνῳ. ὥσπερ γὰρ ὁ ἥλιος μόνος ἐν λέοντι μὲν γινόμενος ποιεῖ θέρος, ἐν αἰγοκέρωτι δὲ χειμῶνα, καὶ οὕτω γίνεται ὁ ἐνιαυτὸς οὕτω κληθεὶς διὰ τὸ εἷς ἐν καὶ τὸ αὐτὸ φέρειν τὸν ἥλιον. ἀπὸ γὰρ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθίσταται. τί οὖν ἐστι διὰ πολλοῦ χρόνου πάντων τῶν πλανήτων γινομένη τάξις, ἥτις ποιεῖ τὸν μέγαν ἐνιαυτόν. εἰ γὰρ πάντες οἱ πλάνητες κατὰ κορυφὴν γινόμενοι θερμαίνουσιν, ὥσπερ καὶ ὁ ἥλιος, ἀφιστάμενοι δὲ τούτου ψύχουσιν, οὐκ ἀπεικὸς πάντας κατὰ κορυφὴν γινομένους ποιεῖν μέγα θέρος, ἀφισταμένους δὲ χειμῶνα. ἐν οὖν τῷ μεγάλῳ χειμῶνι ἡ ἤπειρος θαλαττοῦται, ἐν δὲ τῷ μεγάλῳ θέρει τοὐναντίον διὰ τόπου μὲν ἔκκαυσιν καὶ πολλὴν ξηρότητα, ποῦ δὲ ὑγρότητα*). εἶπε δὲ καὶ ἄλλην αἰτίαν τοῦ τὴν θάλατταν ἠπειροῦσθαι καὶ τὴν γῆν θαλαττοῦσθαι. τούτου αἴτιοί εἰσιν οἱ ποταμοί. εἰσβάλλοντες γὰρ εἰς τὴν θάλατταν τῷ ἐπιφέρειν ἰλὺν ἰόντας ποιοῦσι, καὶ οὕτως ἀπογαιοῦται ὁ τόπος ἐκεῖνος· μὴ εἰσβάλλοντες δὲ ποιοῦσι γῆν θαλαττοῦσθαι . . . . . γὰρ τὸ ὕδωρ τῆς θαλάττης φέρεσθαι ἐπὶ τῆς γῆς ποιεῖ. πλὴν οἱ ποταμοὶ καὶ εἰσβάλλοντες ἑκάτερον ποιοῦσιν, ἀλλὰ οὐ κατὰ τὸν αὐτὸν τρόπον. ἐὰν γὰρ τυχὸν εἰσβάλλῃ ποταμὸς περὶ τὸ νότιον μέρος ἠπειροῖ τὴν θάλατταν. ἀλλ' ἐνταῦθα ἠπειρουμένη ἀνάγκη ὠθουμένη εἰς τὴν ἀντιπέραν ἤπειρον χωρεῖ, καὶ ἐκείνη θαλαττοῦται. οὕτω μὲν εἰ εἰσβάλλει. εἰ δὲ μὴ εἰσβάλλει παλινοστεῖ τὸ ὕδωρ πάλιν ἐπὶ τὸν οἰκεῖον τόπον, καὶ ἠπειροῦται μὲν τὸ πάλαι θαλαττωθέν, θαλαττοῦται δὲ τὸ πάλαι ἠπειρωθέν. ὅτι δὲ καὶ θάλασσα ἠπειροῦται καὶ ἤπειρος θαλαττοῦται, πιστοῦται ὁ Ἀριστοτέλης ἐκ τῆς Αἰγύπτου. πάλαι γὰρ αὕτη θάλασσα ἦν, καὶ τοῦ Νείλου ἀεὶ ἐπιφέροντος ἀεὶ

*) Nescio an scribendum *διὰ τόπου τοῦ μὲν ἔκκ. κ. π. ξ., τοῦ δὲ ὑγρότητα.* Mox Aldus *εἶπέ.*

νέαν ἰλύν. διὰ τοῦτο γὰρ καὶ Νεῖλος ἐκλήθη, τῆς ἰλύος *) ἐπισορευομένης εἰς τὰ πλάγια μέρη τοῦ ποταμοῦ καὶ τῆς θαλάσσης. τῆς κατὰ μέρος προσθήκης γινομένης, ἡ θάλασσα ἠπειροῦτο καὶ πάλιν τοῦ στομίου χωροῦντος ὡς ἐπὶ τὴν θάλασσαν, συνέβαινε τὰ παρεκάτερα, ἐν οἷς συνήγετο ἡ ἰλύς, ἠπειροῦσθαι ὡς πρὸς τὰ τυχόντα, ἀφεστῶτα τῆς θαλάσσης νῦν μέρη τῆς Αἰγύπτου ἠπειρωθῆναι. ὅθεν ὁ Ἡρόδοτος τὴν Αἴγυπτον δῶρον Νείλου ἐκάλεσεν. ὁ δὲ Ἀριστοτέλης ἔργον αὐτὴν τοῦ Νείλου καλεῖ. καὶ ἄμεινον ὁ Ἀριστοτέλης, ἤπερ Ἡρόδοτος ἐκάλεσεν, διότι γεωργικῷ ὀνόματι ἐκάλεσεν. οἱονεὶ γὰρ εἰργάσατο τὴν Αἴγυπτον ὁ Νεῖλος. πρέπει δὲ τῇ γεωργίᾳ τὸ ἔργον, ὡς δηλοῖ τὸ Ἡσιόδου σύγγραμμα τὸ ἐπιγραφέν, ἔργα καὶ ἡμέραι, διὰ τὸ γεωργικὰ εἶναι τὰ διδασκόμενα, ὡς δηλοῖ καὶ αὐτὸς ὁ ποιητὴς λέγων **). πλὴν οὐδὲ Ἡρόδοτος ἀπροσφόρῳ ὀνόματι ἐχρήσατο, διότι ὥσπερ δωρεὰν οἱ Αἰγύπτιοι τὸ ἀπογαιούμενον ἔχουσιν. ἀμέλει γοῦν καὶ μάχονται περὶ αὐτοῦ, ὡς καὶ φόνους ποιεῖν. διὸ δὴ καὶ ἐπινενόηται παρ' αὐτοῖς μέτρον, ὅπερ ἄκαινον καλοῦσι †) παρὰ τὸ στέρησιν ποιεῖν τοῦ φόνου. καίνω γάρ ἐστι τὸ φονεύω. ὅτι δὲ ἡ Αἴγυπτος θάλασσα ἦν καὶ ἠπειρώθη, δείκνυσιν Ἀριστοτέλης διὰ τριῶν ἐπιχειρημάτων, ὧν τὸ ἓν ἐν ἑτέρᾳ θεωρίᾳ φυλάξομεν. ἔστι δὲ τῶν δύο τὸ ἓν τοιοῦτον. εἰ τὰ στόμια τοῦ Νείλου πάντα, πλὴν τοῦ Κανωπικοῦ ††) χειροποίητά εἰσι διὰ το

*) Ald. ἰλύος. Caeterum cfr. Eustathium ad Dionys. Perieg. 222. p. 128. ed. Bernhardy, quem vide p. 879, nostri loci oblitum.

**) Excidisse versum aut Homeri aut Hesiodi vix dubium.

†) Schol. Apollon. Rhod. Parisin. XIII, 1323. p. 267: ἄκαινα δὲ λέγεται μὲν καὶ τὸ βούκεντρον, λέγεται δὲ καί τι μέτρον γῆς ὃ δεκάπουν, Θεσσαλῶν εὕρεμα. καὶ ποιμενικὴ δέ τις ῥάβδος οὕτω καλεῖται, ὑπὸ Θεσσαλῶν ἢ Πελασγῶν εὑρημένη, περὶ ἧς καὶ Καλλίμαχος οὕτω φησί·

Ἀμφοτέρων κέντρόν τε βοῶν καὶ κέντρον ἀρούρης·

(*Fragm.* CCXIV. p. 519).

††) Ita Aldus et sic etiam Κανωπίτῃ apud Callimach. *Epigr.* LIX, 1. p. 326 editur. Alibi ut apud Aristotelem cum β littera

ἐκρεῖν τὸν ποταμὸν ἐπινοηθέντα, δῆλον ὅτι ὁ ποταμὸς ἦν ἀπογαιώσας τὴν θάλασσαν. ὅτι δὲ τὸ Κανωπικὸν στόμιον οὐκ ἐστι χειροποίητον δῆλον. ἐπειδὴ πλέων ὁ Μενέλαος κατήντησεν ἐκεῖσε. ὅθεν καὶ τὸ Κανωπικὸν ἐκλήθη διὰ Κάνωπον τὸν κυβερνήτην αὐτοῦ. τοῦτο τὸ πρῶτον ἐπιχείρημα. δεύτερον ἐπιχείρημα. εἰ ὁ ποιητὴς τῶν Θηβαίων *) μέμνηται, οὐ δήπω δὲ τῆς Μέμφιδος, μᾶλλον γὰρ ἦ οὔπω ἦν ἡ Μέμφις ἀπογαιωθεῖσα, ἦ οὐ καὶ πολὺς ὁ ἀπογαιωθεὶς τόπος. ἔδει γάρ, εἴπερ ἦν ἡ Μέμφις, μνημονεῦσαι αὐτῆς τὸν ποιητήν. αὕτη γὰρ ἦν καὶ ἡ βασιλεύουσα. καὶ ὅτι αὕτη ἐβασίλευσε, δῆλον ἐκ τοῦ τοὺς Ἀλεξανδρεῖς τὴν τοῦ κυνὸς ἐπιτολὴν ἐπιτελλειν οὐχ ὅταν αὐτοῖς ὁ κύων, ἀλλ' ὅταν τοῖς Μεμφίταις ἐπιτέλλει. οὕτω μὲν οὖν δέδεικται, ὅτι καὶ ἀπὸ ποτίμου γῆς ξηρὰ γίνεται γῆ, καὶ ἀπὸ ξηρᾶς πότιμος· ἔτι μὴν ὅτι καὶ τὸ ἁλμυρὸν ὑγρὸν εἰς ξηρότητα μεταβάλλει καὶ ξηρότης εἰς ὑγρότητα, δῆλον. τὸ γὰρ Ἄργος πάλαι ἐπὶ τῶν Τρωϊκῶν ἑλῶδες ἦν. διὸ καὶ οὐδὲ ᾠκεῖτο **), ἀλλ' ἱππόβοτον ἦν. αἱ δὲ Μυκῆναι εὔκρατοι ἦσαν διὸ καὶ πολύχρυσος καὶ βασιλεύουσα ἦν. νῦν δὲ τοὐναντίον τὸ μὲν Ἄργος εὔκρατον, ἡ δὲ Μυκήνη ξηροτάτη, ὥστε μηδὲ οἰκεῖσθαι σχεδὸν αὐτήν, ἀλλ' εἶναι βοοστάσιον ***). ἀλλὰ ζητῆσαι ἄξιον, τί δή ποτε ὁ ποιητὴς πολυδίψιον ἐκάλεσε τὸ Ἄργος, ἑλῶδες ὂν †) τότε. ἢ ῥητέον, ὅτι πολυδίψιον οὐ κατὰ τὴν ἄχρηστον ὑγρότητα, ἀλλὰ κατὰ τὴν χρηστήν. αὖται μὲν οὖν αἱ μεταβολαὶ γίνονται, πλὴν λανθάνουσιν διὰ τρεῖς αἰτίας. ἢ γὰρ διὰ τὸ ἐν πολλῷ χρόνῳ γίνεσθαι κατὰ τὴν ἡμετέραν ζωὴν τὰς τοιαύτας μεταβολὰς οὐ δυνάμεθα αὐτὰς γνῶναι, ἢ διὰ τὰς ἀθρόας τῶν ἐθνῶν ἀπωλείας, αἵτινες γίνονται τριχῶς ἢ διὰ πολεμίων, ἢ διὰ λιμόν, ἢ διὰ ἀφορίαν καρπῶν. τρίτη αἰτία· καὶ διὰ τὰς κατὰ μέρος γινομένας οἰκήσεις τε καὶ μεταναστάσεις ἡ ἄγνοια τούτων ἕπεται. συμβαίνει γὰρ τὸν αὐτὸν ἄν-

scriptum reperitur. De fabula cfr. Interpret. ad Conon. *Narrat.* VIII.

*) Fort. *Θηβῶν*. Caeterum cfr. Iliad. ζ', 382.

) Ald. *οἰκεῖτο*. *) Lexic. addatur.

†) Ald. *ὤν*.

θρωπον τὸν πάντα χρόνον αὐτοῦ τῆς ζωῆς μὴ ἐνὶ τόπῳ τοιαῦτα ἀγνοεῖν τὰ ἐν πᾶσι τοῖς τόποις, ἐν οἷς ᾤκησεν. αὕτη ἐστὶν ἡ ἐξήγησις πάσης τῆς λέξεως. πλὴν Ἀριστοτέλης οὐ τῇ αὐτῇ τάξει κέχρηται, ᾗ καὶ ἡ Θεωρία ἐχρήσατο. καὶ μὴ γένηται ἡμῖν ἐνταῦθα ἀπάτη τις. Olymp. fol. 24, b — 25, b.

XIV, 17. Ὅθεν τοὺς ἐπὶ μικρὸν βλέποντάς φησι καὶ ἀπὸ τῶν μικρῶν περὶ τῶν ὅλων πειρομένους λέγειν, τῆς τοιαύτης κατὰ τὴν γῆν μεταβολῆς, καθ' ἣν τὰ μὲν ἑλώδη τε καὶ ὑγρά, οἰκήσιμά τε καὶ σύμμετρα γίνεται διὰ ξηρότατα, τὰ δὲ πρότερον συμμέτρως ἔχοντα, ἀοίκητα διὰ τὴν τῆς ξηρότητος ἐπίτασιν, αἰτίαν λέγειν εἶναι τὴν τοῦ ὅλου μεταβολήν τε καὶ φθοράν. ἡγοῦνται γὰρ σημείοις τούτοις χρώμενοι ἐκπύρωσιν γίνεσθαι τοῦ ὅλου. ὡς Ἡράκλειτος μὲν πρὸ αὐτοῦ, καὶ οἱ τῆς ἐκείνου δόξης, οἱ δὲ ἀπὸ τῆς Στοᾶς μετ' αὐτόν. καὶ ἐκ τούτου λέγουσιν, ὡς ὄντος γεννητοῦ *) τε καὶ φθαρτοῦ τοῦ παντός, ὡς τοῦ τῆς γῆς τὰ μὲν ξηραίνεσθαι, τὰ δὲ πάλιν ἐξυγραίνεσθαι, αἰτίαν χρὴ τὴν τοῦ κόσμου γένεσιν ἡγεῖσθαι. Alexand. fol. 90, a.

XIV, 17. Εἰπὼν ὁ Ἀριστοτέλης, ὅτι μεταβάλλουσιν τὰ μέρη τῆς γῆς κατὰ ξηρότητα καὶ ὑγρότητα, καὶ μᾶλλον κατὰ ξηρότητα ἢπερ κατὰ ὑγρότητα, διὰ τὸ γενέσθαι τὸν Ἀριστοτέλην μετὰ τὸν ἐπὶ Λευκαλίωνα κατακλυσμόν, νῦν ἐκκόπτει τὴν ὑπόνοιαν τῶν πολλῶν. ἴσως γὰρ ἄν τις ὑπέλαβε, κατὰ μέρος τῆς γῆς ἐπὶ τὸ ξηρότερον μεταβαλλούσης, τέλος καταληφθῆναι καὶ φθαρῆναι πᾶσαν τὴν γῆν καὶ ὅλον τὸν κόσμον διὰ τοῦτο φθαρτὸν εἶναι. οὐ χρὴ οὖν φησι διὰ τὴν κατὰ μέρος ταύτην γινομένην μεταβολὴν νομίζειν τὸν ὅλον κόσμον φθαρτὸν εἶναι. πρῶτον μὲν γὰρ εἰ καὶ τινὰ μέρη κατὰ τὰ ξέρη γίνονται, ἀλλ' οὖν ἕτερα ὑγραίνονται. καὶ μαρτυρεῖ τοῦτο Ἀμμώνιος ὁ μέγας φιλόσοφος. ἔλεγε γὰρ οὗτος ἐπὶ πέντε στάδια τὴν γῆν θαλαττωθῆναι περὶ τὸν Ἡράκλειον καὶ τὸν Κάνωπον, ὡς δηλοῦσιν ἔτι ἐν μέσῳ τῆς θαλάττης οἰκήματα ὄντα καὶ νήσους μιμού-

*) Ald γενητοῦ. Cfr. Schaefer ad *Schol. Par.* Apollon. Rhod. II, 4. p. 119.

μενα *). ἔπειτα δὲ οὐ χρὴ ἐκ τῶν μερικῶν καὶ περὶ τῶν καθόλου ἀποφαίνεσθαι. οὐδὲ ἐκ τῶν γινομένων περὶ τὴν γῆν καὶ περὶ τὸν οὐρανὸν συλλογίζεσθαι, πρὸς ὃν παραλαμβανομένη, ἀμεγέθης ἐστί; σημείου γὰρ λόγον πρὸς αὐτὸν ἐπέχει. καὶ τί λέγω πρὸς τὸν οὐρανόν, ὅπου γε αὐτὸς ὁ ἥλιος ποδιαῖος νομιζόμενος διὰ τὸ διάστημα τῆς γῆς, ἑκατὸν ἑβδομηκονταπλασίων ἐδείχθη εἶναι. οὐ χρὴ οὖν ἐκ τῆς γῆς ἀποφαίνεσθαι ὡς φθαρησομένου τὸν κόσμον. ὅπου γε ἐν τῇ μετὰ τὰ φυσικὰ ὁ Ἀριστοτέλης εἶπε πρὸς τοὺς ἐφεκτικοὺς ἀποτεινόμενος, ὅτι οὐ χρὴ ἀκαταληψείαν νοεῖν διὰ τὰ ἐν γενέσει καὶ φθορᾷ ῥευστά **). τοὐναντίον δὲ ἐπιστήμην διὰ τὰ οὐράνια ἀεὶ ὡσαύτως ἔχοντα, ὡς καὶ ἀπὸ πολλοῦ χρόνου προειπεῖν τὴν μέλλουσαν γίνεσθαι ἔκλειψιν. τοῦτο καὶ νῦν δεῖ λέγειν, ὅτι οὐ διὰ τὴν γῆν κατὰ μέρος ἐπὶ τὸ ξηρότερον μεταβάλλουσαν καὶ ὅλος ὁ κόσμος φθαρήσεται κατὰ τὸν Ἡράκλειτον εἰρηκότα, τέλος τὸν κόσμον καταφλεχθῆναι. οὐδὲ πάλιν δεῖ ὑπονοεῖν τὸ ἐν τοῖς Αἰσωπείοις μύθοις λεγόμενον ***). ὁ γὰρ Αἴσωπος εἰσάγει τινὰ στατιώτην πρός τινα πορθμιαῖον διαλεγόμενον καὶ λέγοντα, ὅτι πάλαι οὗτος †) ὁ τόπος θάλαττα ἦν. εἶτα ἡ χάριβδις ††) ἀναρροιβδήσασα ἐποίησε τὰς ἀκρωρείας τῶν ὀρῶν. εἶτα δὶς ἀναρροιβδήσασα ἐποίησε καὶ τὰς νήσους. ὡς εἴγε τρίτον ἀνερροίβδησε, ξηραίνει πάντα τὰ ὧδε. καὶ περιττὸν ὑμῖν ἐστι τὸ ἐπιτήδευμα, οὐ χρὴ ταῦτα ἐννοεῖν. στατιώτῃ γὰρ θυμουμένῳ οὐκ ἀπεικὸς ταῦτα ῥηθῆναι, φιλοσόφῳ δὲ μὴ θυμουμένῳ οὐκ †††) ἀπεικὸς ταῦτα ῥηθῆναι. φιλοσόφῳ γὰρ κατὰ τοῦ παντὸς οὐ θεμιτὸν φθορὰν αὐτοῦ μελετᾶν. οὐ χρὴ οὖν διὰ τὴν κατὰ μέρος ἐπὶ τὸ ξηρότερον μεταβολὴν τοῦ παντὸς φθορὰν κατηγορεῖν. ἀλλ' αἴτιον δεῖ τούτου λέγειν τὸν μέγαν χειμῶνα εἶναι. μετὰ γὰρ τοῦτο κατακλυζομένης τῆς γῆς λοι-

*) Cfr. Clarke *Travels in various countries of Europe, Asia and Africa* (4 edit. 8.). Vol. V. p. 407 — 414.

) II, 2. *) Cfr. Commentar. ad II, 3, 1 sqq.

†) Ald. οὕτως.

††) Ita Aldus.

†††) Dele negationem.

πὸν μεταβολή τις ἐπὶ τὸ ξηρότερον γίνεται, ἕως ὅτε γένηται τὸ μέγα θέρος· ὅπερ εἰ καὶ γένηται οὐ ποιήσει πάσης τῆς γῆς φθοράν. οὐ δὴ γὰρ οὐδὲ αὐτὸς ὁ κατακλυσμὸς ὁ ἐπὶ Δευκαλίωνος κοσμικὸς ἐγένετο. μᾶλλον γὰρ ἐν τῇ Ἑλλάδι συνέβη· τὸν οὖν μέγαν χειμῶνα αἰτιατέον τῆς μεταβολῆς αὐτῆς. ὥσπερ οὖν καὶ τουτέστι τοὺς μὲν ἀεννάους τῶν ποταμῶν, τοὺς δὲ οὔ. οὐ γὰρ ἀποδεκτέον τοὺς αἰτιωμένους τὰ ὑπὸ γῆν χάσματα εἶναι τῶν ἀεννάων ποταμῶν, ἀλλὰ τὸν μέγα χειμῶνα, ὁπηνίκα γὰρ οὗτος ἐγένετο. τὰ ὄρη ὡς σηραγγώδη καὶ λιθώδη καὶ ψυχρὰ δεξάμενα φυλάττουσι τὴν ὑγρότητα καὶ ἐπιχορηγοῦσι τοῖς ποταμοῖς, ἄχρις ἂν ἐπικαταλάβῃ τὸ ἐκ τοῦ ἑτοῦ ὕδωρ. πλὴν οὐ μόνον ὅπερ ἐδέξαντο χορηγήσουσιν, ἀλλ' ὡς καὶ ψυχρότερα καὶ γεννήσουσιν. αὕτη ἐστὶν ἡ αἰτία τοῦ εἶναί τινας τῶν ποταμῶν ἀεννάους· πλὴν τὸ ἀένναον ὡς πρὸς τὸν χρόνον λέγεται, ἐπεὶ καὶ αὐτοὶ οἱ νομιζόμενοι ἀένναοι φθαρήσονται, εἴγε ἐπ' εὐθείας κινοῦνται· πᾶν γὰρ τὸ ἐπ' εὐθείας κινούμενον, φθαρτόν*). ὅτι δὲ ἡ γῆ μεταβάλλει ἀπὸ ὑγρότητος εἰς ξηρότητα πιστοῦται Ἀριστοτέλης ἐκ τῆς Αἰγύπτου, ἐκ τῆς Ἀμμωνιακῆς Λιβύης, ἔκ τε Μαιώτιδος λίμνης καὶ ἐκ τοῦ Βοσπόρου. ἐκ μὲν τῆς Αἰγύπτου, ὅτι αὕτη πάλαι θάλαττα ἦν, ὁ Νεῖλος εἰσβάλλων εἰς αὐτήν, ἠϊόνας ἐποίησε καὶ ἐλιμνάσθησαν οἱ τόποι καὶ τέλος ἀπεγαιώθησαν. σημεῖον δὲ τούτου μέγιστον ἡ κοιλότης τῆς γῆς. κοίλη γάρ ἐστιν ἡ Αἴγυπτος. καὶ ὅτι κοίλη ἐστί, δῆλον ἐκ τοῦ Σέσωστριν τὸν Περσῶν βασιλέα πρῶτον, ὕστερον δὲ καὶ Δαρεῖον θελῆσαι ἐπισυνάψαι τὴν ἐρυθρὰν θάλασσαν τῷ Αἰγυπτιακῷ πελάγει. πάνυ γὰρ αὐτοῖς τοῦτο συνεβάλλετο, τῶν ἐπιτηδείων εἰσαγομένων τε καὶ ἐκπεμπομένων ῥαδίως ταῖς πόλεσι. πλὴν προέθετο μέν, οὐκ ἐποίησαν δὲ διὰ τὸ μὴ κατακλυσθῆναι τὴν Αἴγυπτον κοίλην οὖσαν τῆς ἐρυθρᾶς θαλάσσης, ὑψηλοτέρας οὔσης· πλὴν ὁ τρίτος Πτολεμαῖος, ἐφ' οὗ καὶ Ἀρχιμήδης ἐγένετο**), τῆς τοῦ ἡλίου ὑποθήκης διώ-

*) Cfr. *Physic. Auscultat.* VIII, 9. quocum loco cfr. *de caelo* II, 4. *de generat. et corrupt.* II, 10.

**) Archimedes idcirco h. l. commemoratur, quia invenit machinam quandam, cuius ope Aegyptii Nili aquis agros suos irrigabant cfr. Diodor. Sicul. I, 34.

ρυχα ἐποίησε, δι' ἧς δυνατόν ἐστι συνάπτεσθαι τῷ Αἰγυπτιακῷ πελάγει τὴν ἐρυθρὰν καὶ μὴ κατακλυσθῆναι τὴν Αἴγυπτον. ἀλλ' εἰ καὶ ἐποίησε, πάλιν ἐπέχωσε φοβηθεὶς τὴν ἀπὸ τῶν Περσῶν ἐπιβουλήν. οὕτω μὲν ἀπὸ τῆς Αἰγύπτου ἔδειξεν, ὅτι εἰς ξηρότητα ἡ ὑγρότης μεταβάλλει. ἀλλὰ μὴν καὶ τοῦτο δείκνυσιν ἀπὸ τῆς Ἀμμωνιακῆς Λιβύης. καὶ αὕτη γὰρ θάλαττα ἦν ποτε, πλὴν ἀπογαιώθη διὰ τοὺς εἰσβάλλοντας ἐκεῖ ποταμούς, ἔνθεν καὶ κοίλη ἐστίν· ἀλλὰ μὴν τοῦτο δῆλον καὶ ἀπὸ τῆς Μαιωτίδος λίμνης· καὶ αὕτη γὰρ πάλαι θάλαττα ἦν. εἶτα ἠϊόνος γενομένης διὰ τοὺς εἰσβάλλοντας ποταμοὺς γέγονε λίμνη τὸ πρῶτον μεγάλη. ὕστερον δὲ μικρὰ γέγονε διὰ τὸ ἐπάγεσθαι ἰλὺν ἐκ τῶν ποταμῶν. τέλος δὲ καὶ ἀπογαιωθῆναι μέλλει. ὅτι δὲ μικρὰ καὶ ἀβαθὴς γέγονε, δῆλον μὲν ἐκ τοῦ πάλαι μεγάλα πλοῖα φέρεσθαι ἐπὶ ταύτης, ὕστερον δὲ μικρά. ἀλλὰ μὴν καὶ ἐκ τοῦ Βοσπόρου τοῦτο δῆλον. πάλαι γὰρ πλάτος εἶχεν ἡ θάλασσα, καὶ τῶν ποταμῶν κατὰ μέρος ἀπογαιούντων γέγονε στενὸς ὁ τόπος. ὅθεν νῦν καὶ στενὰ καλοῦνται. τέλος δὲ καὶ τελείως μέλλει ἀπογαιωθῆναι. ἐκ τούτων πάντων δῆλον, ὅτι ἀπὸ ὑγρότητος εἰς ξηρότητα μεταβάλλει ἡ γῆ. καὶ ἐν τούτοις καταπαύσομεν τήν τε παροῦσαν θεωρίαν τό τε παρὸν ἔγγραμμα. Olymp. fol. 26, a. b.

XIV, 18. Ἀληθὲς μέν, ὅτι πλείονες τόποι ξηραίνονται, οὐκ ἀληθὲς δέ, ὅτι ὅλος μεταβάλλει κόσμος ἐπὶ φθορὰν ἐπιγενόμενος, ὡς γενομένου τοῦ οὐρανοῦ. οὐρανὸν ἐκάλεσε τὸν κόσμον. οὕτω καὶ ἐν τῇ περὶ οὐρανοῦ περὶ κόσμου διαλεγόμενος περὶ οὐρανοῦ ἐπέγραψεν. οὕτω καὶ ὁ Πλάτων φησίν· ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος τῷ συμμέτρῳ ὀνόματι χαίρει καλούμενος. οὐ μὴν ἀλλὰ καὶ τοὐναντίον. οὐ γὰρ μόνοι ξηροὶ τόποι γίνονται ἀπὸ ὑγροῦ, ἀλλὰ καὶ τοὐναντίον ξηροὶ τόποι ὑγροὶ γίνονται. οὐ χρὴ γοῦν ἐννοεῖν, ὅτι ποτὲ καταφλεχθήσεται τὸ πᾶν. Olymp. fol. 26, b — 27, a.

XIV, 20. Εἰπών, ὅτι οὐ δεῖ αἰτιάσασθαι τὴν γινομένην περὶ τὴν γῆν μεταβολὴν δηλωτικὴν εἶναι τῆς φθορᾶς τοῦ παντός, νῦν τὴν αἰτίαν φησί, διὰ τί ἐπὶ τὸ ξηρότερον γίνεται μᾶλλον ἡ μεταβολή. καί φησιν, ὅτι προσεχῶς γέγονεν ὁ μέγας χειμών, ὃς κατέκλυσε τὴν γῆν. καὶ κατὰ μέρος λοιπὸν ξηραίνεται

ἡ γῆ, ἕως οὗ γένηται τὸ θέρος μέγα, ἐφ' οὗ καταξηρανθῆναι μέλλει ἡ γῆ, πλὴν οὐ πᾶσα. ὥσπερ γὰρ ὁ μέγας χειμὼν οὐ πᾶσαν τὴν γῆν κατέκλυσεν, οὕτως οὐδὲ τὸ μέγα θέρος, πᾶσαν τὴν γῆν ἐκφλέξει. οὕτω γὰρ πολλὴ τὸ ῥεῦμα μεταβέβληκε καὶ γὰρ ἀναποθεῖσα τρεῖς τόπους ἂν ἔφη οὐκ ἐκ διαστήματος τὴν ἀνάποσιν καὶ τὴν ἔκφανσιν ποιησαμένους. διὸ καὶ ἐφύλαξε τὸ ὄνομα. ἕκαστον γὰρ μέρος*) Ἀχελῴϊον καλοῦσι. τότε μὲν Γραικοί, νῦν δὲ Ἕλληνες. Τοῦτο τὸ ὄνομα οἱ μὲν Ῥωμαῖοι παροξύνουσι Γραῖκοι λέγοντες. ἡ δὲ κοινὴ διάλεκτος ὀξύνει. καθόλου δὲ οἱ Ῥωμαῖοι πᾶν ὄνομα παροξύνουσι διὰ τὸν κόμπον **). ὅθεν ὑπερηνορέοντες ἐκλήθησαν ὑπὸ τῶν ποιητῶν. Olymp. fol. 27, a.

XIV, 26. Ἀρχαιότατοί εἰσιν Αἰγύπτιοι, ἐπειδὴ οὕπω ὑπὸ κατακλυσμοῦ ἀπόλλυνται. ξηροτέρα γὰρ ἡ χώρα. ἀλλ' οὐδὲ μὴν ὑπὸ πολλῆς ξηρότητος. ἔχουσι γὰρ τὸν Νεῖλον καθυγραίνοντα τὴν χώραν. ὅτι δὲ ἀρχαιότατοί εἰσι, δῆλον ἐκ τοῦ ἐν ταῖς πίναξιν αὐτῶν πολλὰς ἀναγεγράφθαι μυριάδας ἐτῶν***). Olympiodor. fol. 27, a.

---

*) Fortasse addendum ὕδατος. Achelous enim pro quavis aqua dicitur. Cfr. Eurip. *Bacch.* 519. 625. Ursin. ad Virgil. *Georg.* I, 9. Blomfield Glossar. ad Aesch. *Pers.* 875. Spanheim ad Callim. *Hymn. in Cerer.* 13. p. 759 ed. Ern. Inde Nymphae Ἀχελῴου filiae dicuntur Platoni *Phaedro* p. 263 E.

**) Cfr. Lips. *de recta pronuntiat. L. L.* c. 20. p. 57 sq. (Antverp. 1609. fol.).

***) Cfr. Interpp. ad Plin. *Histor. natur.* VII, 57.

EXCERPTA

EX

COMMENTARIIS

ALEXANDRI ET OLYMPIODORI

IN

ARISTOTELIS METEOROLOGICORUM

LIBRUM SECUNDUM.

Blank page retained for pagination

Ἐν τῷ πρώτῳ τῶν Μετεωρολογικῶν μετὰ τὸν περὶ ὑετοῦ καὶ χιόνος καὶ πάχνης καὶ δρόσου καὶ χαλάζης λόγον, προθέμενος εἰπεῖν, περί τε ἀνέμων καὶ ποταμῶν καὶ πηγῶν, ἔτι δὲ καὶ περὶ θαλάσσης, εἰπὼν ἐν ἐκείνῳ περὶ ποταμῶν τε καὶ πηγῶν, ἄρχεται τοῦ δευτέρου ἀπὸ τοῦ περὶ θαλάσσης λόγου. καὶ ζητεῖ τίς τε οὐσία καὶ φύσις αὐτῆς, καὶ τίς ἡ τῆς ἁλμυρότητος τοῦ ὕδατος αἰτία, καὶ πῶς ἐξ ἀρχῆς γίνεται. καὶ πρῶτον, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων πεποίηκε, καὶ ἐπὶ ταύτης τὰς τῶν πρὸ αὐτοῦ περὶ αὐτῆς δόξας ἐκτίθεταί τε καὶ ἐξετάζει. τοὺς μὲν οὖν ἀρχαιοτέρους τε καὶ περὶ τὰς θεολογίας καταγινομένους, θεολόγους δὲ λέγει τοὺς περὶ θεῶν ἐπαγγελλομένους λέγειν, ὡς ἦν καὶ Ἡσίοδος καὶ Ὅμηρος καὶ Ὀρφεύς, ὃς καὶ θεογονίαν συνέγραψε*), τούτους δή φησι ποιεῖν τινας τῆς θαλάττης πηγάς, ἵν' αὐτοῖς ὦσιν ἀρχαί τε καὶ ῥίζαι ὁμοίως γῆς τε καὶ θαλάσσης, καὶ μὴ ἐξ ἄλλων τινῶν μεταβαλλόντων ἡ τούτων γένεσις ᾖ, ἀλλ' οἰκείας ἀρχὰς ἔχωσιν. ἐσέμνυνον γὰρ δὴ οὗτοι μάλιστα, τήν τε γῆν καὶ τὰ περὶ τὴν γῆν, καὶ περ ταύτην καὶ ταύτης χάριν τὰ ἄλλα ἔλεγον εἶναί τε καὶ γεγονέναι καὶ δὴ καὶ τὸν σύμπαντα οὐρανόν. σεμνότερον δὲ ἡγοῦντο καὶ τραγικώτερον εἶναι, τὸ ποιεῖν αὐτὰ ἀπό τινος οἰκείας ἀρχῆς τε καὶ ῥίζης· οἱ μὲν οὖν θεολόγοι καὶ τὴν θείαν σοφίαν ἐπαγγελλόμενοι **) οὕτως ἔλεγον περὶ αὐτῆς. οἱ δὲ τὴν ἀνθρωπίνην σοφίαν σοφώτεροι, (ἀντιτίθησι δὲ τοῖς θεολόγοις τοὺς μὲν ἀνθρωπινὴν σοφίαν σοφωτέρους, ὑποσκώπτων ἐκείνους, ὡς ἀλαζονικωτέρους. λέγει δὲ περὶ τῶν φυσικῶν), οὗτοι δὴ γένεσιν

*) Cfr. Lobeck *Aglaopham.* I. p. 465 sq.

**) Ald. ἐπαγγελλόμενον.

ποιοῦσι τῆς θαλάσσης, ἀλλ' οὐκ ἀγένητον †) αὐτὴν λέγουσιν, ἰδίας πηγὰς ††) ἔχουσαν, ὡς οἱ θεόλογοι. οἱ μὲν γὰρ αὐτῶν ὑπόλειμμα λέγουσιν εἶναι τὴν θάλασσαν τῆς πρώτης ὑγρότητος. ὑγροῦ γὰρ ὄντος τοῦ περὶ τὴν γῆν τόπου, τὰ πρῶτα τῆς ὑγρότητος ὑπὸ τοῦ ἡλίου ἐξατμίζεσθαι καὶ γίνεσθαι τὰ πνεύματά τε ἐξ αὐτοῦ καὶ τροπὰς ἡλίου τε καὶ σελήνης, ὡς διὰ τὰς ἀτμίδας ταύτας καὶ τὰς ἀναθυμιάσεις κἀκείνων τὰς τροπὰς ποιουμένων, ἔνθα ἡ ταύτης αὐτοῖς χορηγία †††) γίνεται περὶ ταῦτα τρεπομένων. τὸ δέ τι αὐτῆς ὑπολειφθὲν ἐν τοῖς κοίλοις τόποις θάλατταν εἶναι. διὸ καὶ ἐλάττω γίνεσθαι ξηραινομένην ἑκάστοτε ὑπὸ τοῦ ἡλίου καὶ τέλος ἔσεσθαί ποτε ξηράν. ταύτης τῆς δόξης ἐγένοντο ὡς ἱστορεῖ ὁ Θεόφραστος *), Ἀναξίμανδρός τε καὶ Διογένης **). Διογένης δὲ καὶ τῆς ἁλμυρότητος ταύτην αἰτίαν λέγει, ὅτι ἀνάγοντος τοῦ ἡλίου τὸ γλυκύ, τὸ καταλειπόμενον καὶ ὑπομένον, ἁλμυρὸν εἶναι συμβαίνει. οἱ δέ τινές φασιν οἷον ἱδρῶτά τινα τῆς γῆς εἶναι τὴν θάλασσαν. θερμαινομένην γὰρ ὑπὸ τοῦ ἡλίου ταύτην ἀφιέναι τὴν ὑγρότητα. διὸ καὶ ἁλμυρὰν αὐτὴν εἶναι. τοιοῦτος γὰρ ὁ ἱδρώς. ταύτης τῆς δόξης Ἐμπεδοκλῆς γέγονε ***). τρίτη δὲ δόξα περὶ

†) Ne scribas *ἀγέννητον*, cum neque physici maris *γένεσιν* negaverint. Vide Sylburg *Indic. verb. ad Iustin. Martyr.* v. *ἀγέννητον*.

††) Ald. *πηγαί*.

†††) Cfr. *de mundo* VI, 14 sq. Alexandro vocabulum illud in deliciis est. Ita fol. 101, b: *ἡ τῶν ἀνέμων χορηγία*. fol. 107, b: *διὰ τὴν τοῦ πλείονος χορηγίαν πνεύματος* et alias plus semel.

*) Videtur respicere ad Theophrasti librum *περὶ θαλάττης*, quem laudat Diogenes Laërtius 5, 47. Eundem ante oculos habuere Antigonus Carystius c. 145 et Olympiodorus ad II, 3, 22. fol. 34, b. p. 286.

**) *Διογένους* Ald. De Apolloniata loquitur. Caeterum idem de utroque repetit Alexander fol. 93, b. De Anaximandro Plut. *Plac. philos.* III, 16. p. 92 ed. Corsini: *Ἀναξίμανδρος τὴν θάλασσάν φησιν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήρανε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἐκκαυσιν μετέβαλεν.*

***) Plut. l.l. *Ἐμπ. ἱδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπιπόλαιον πλύσιν*. cfr. Sturz p. 312 sqq.

τῆς θαλάττης ἐστίν, ὡς ἄρα τὸ ὕδωρ τὸ διὰ τῆς γῆς διηθούμενον καὶ διαπλῦνον αὐτὴν *) ἁλμυρὸν γίνεται τῷ ἔχειν τὴν γῆν τοιούτους χυμοὺς ἐν αὐτῇ, οὗ σημεῖον ἐποιοῦντο τὸ καὶ ἅλας ὀρύττεσθαι ἐν αὐτῇ καὶ νίτρα. εἶναι δὲ καὶ ὀξεῖς χυμοὺς πολλαχοῦ τῆς γῆς. ταύτης πάλιν τῆς δόξης ἐγένοντο Ἀναξαγόρας **) καὶ Μητρόδωρος ***). Alex. fol. 91, a. b.

Ὁ σκοπὸς τοῦ δευτέρου λόγου, ἤτοι βιβλίου περὶ τίνων διαλεχθῆναι βούλεται; περὶ θαλάττης, περὶ ἀνέμων, περὶ σεισμῶν, περὶ βροντῶν, περὶ ἀστραπῶν. περὶ μὲν θαλάττης, ἵνα συνεχῆ ποιήσῃ τὸν περὶ αὐτῆς λόγον τοῖς περὶ ποταμῶν λόγοις· περὶ δὲ ἀνέμων, ἐπειδὴ περὶ αὐτῶν ἀρξάμενος λέγειν, ἐνέκυψε τὸν περὶ αὐτῶν λόγον τῷ λόγῳ τῷ περὶ ποταμῶν. νῦν δὲ πάλιν ἐπ' αὐτὸν ἀνατρέχει †). περὶ δὲ σεισμῶν, ἐπεὶ καὶ σεισμὸς ἄνεμός ἐστιν ὑπόγειος. περὶ δὲ ἀστραπῆς, ἐπειδὴ συνέπεται τῇ βροντῇ. καὶ ἆρα οὐκ ἄτοπον μικροῦ βιβλίου πέντε ποιῆσαι σκοπούς; ῥητέον οὖν, ὅτι σκοπὴν ἔχει ἐνταῦθα ὁ φιλόσοφος διαλεχθῆναι περὶ τῶν γινομένων ἐκ τῆς καπνώδους ἀναθυμιάσεως ἀμεταβλήτου μενούσης. τί δή ποτε ἐνταῦθα διαλέγεται περὶ βροντῆς; (αὕτη γὰρ οὐκ ἐκ τῆς καπνώδους ἀναθυμιάσεως γίνεται, ἀλλὰ τῶν νεφῶν εἰς ἄλληλα συναρασσομένων ὡς εἴρηται ††)), περὶ ἧς ἐν τῷ τρίτῳ βιβλίῳ διαλέγεται. ἡ δὲ ἐκ τῆς καπνώδους ἀναθυμιάσεως ἐν τῷ νέφει ἀποκλειομένης καὶ τοῦ νέφους ἔξωθεν πυκνουμένου διὰ τὴν ψύξιν ἐκπυρηνι-

*) Cfr. Plutarch. *Quaest. Sympos.* I, 9.

**) Plut. l. l. *Ἀναξ. τοῦ κατ' ἀρχὴν λιμνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς, καὶ τοῦ λιπαροῦ ἐξατμισθέντος, εἰς ἀλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποστῆναι.* Cfr. Schaubach p. 178.

***) *Μητρ. διὰ τὸ διηθῆσαν διὰ τῆς γῆς μετειληφέναι τοῦ περὶ αὐτὴν πάχους, καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα.* Plut. l. l.

†) Deesse hic nonnulla videntur, in quibus causam proposuerat, cur Ar. *περὶ βροντῶν* in hoc libro disseruisset. Mancam enim esse orationem et ex sequenti argumento, quod nunc nihili est, patet.

††) Verba *ὡς εἴρηται* quo spectent, nisi ad ea, quae excidisse suspicati sumus, equidem nescio.

ζομένης βιαίως καὶ νέφη τινὰ πληττούσης καὶ πάταγον φοβερὸν ποιούσης, περὶ ἧς ἐνταῦθα διαλέγεται. εἴγε ἡ ἀστραπὴ μεταβαλλομένης καπνώδους ἀναθυμιάσεως γίνεται. ἢ ῥητέον, ὅτι κατὰ συμβεβηκὸς νῦν αὐτῆς ἐμνημόνευσεν, ἐπειδὴ παρέπεται ἀεὶ τῇ βροντῇ. αὗται μὲν αἱ ἀπορίαι καὶ αἱ τούτων ἐπιλύσεις. ἀλλ' ἰστέον, ὅτι πρῶτον ὁ φιλόσοφος περὶ θαλάττης διαλαμβάνει, διὰ τὸ ποιῆσαι συνεχῆ τὸν περὶ αὐτῆς λόγον τῷ περὶ ποταμῶν, καὶ ζητεῖ πότερον γενητή *) ἐστιν ἢ ἀγένητος ἡ θάλασσα. γενητὸν δὲ καὶ ἀγένητόν φημι οὐ κατὰ τὴν οὐσίαν αὐτῆς ἢ **) τὴν ὕπαρξιν. ὁμολόγηται γὰρ τοῦτο παρὰ Ἀριστοτέλους, ὅτι ἀγένητός ἐστι καὶ ἀΐδιος ἡ θάλασσα ὡς ὁλότης οὖσα τοῦ ὕδατος. εἴγε καὶ πᾶσα ὁλότης ἀΐδιός ἐστιν ***). ἀλλὰ ζητεῖ, πότερον γενητή ἐστιν ἢ ἀγένητος κατὰ τὴν ἁλυκότητα. τουτέστι πότερον ἅμα τῷ εἶναι θάλασσα ἁλμυρὰ ἦν, ἢ ὕστερον γέγονεν ἁλμυρὰ πρότερον πότιμος οὖσα. ἐνταῦθα γὰρ διάφοροι γεγόνασι δόξαι τῶν παλαιῶν περὶ τούτου. οἱ μὲν γὰρ θεόλογοι ἔφασκον ἀγένητον αὐτὴν εἶναι κατὰ τὴν ἁλυκότητα, ἐπειδὴ πηγὰς ἔχει τοιαύτας ἁλμυρὰς εἰς αὐτὴν εἰσβαλούσας, ἐξ ὧν συνέστηκεν. οἱ δὲ φυσικοὶ φιλόσοφοι γενητὴν λέγοντες αὐτῆς τὴν ἁλυκότητα, τουτέστιν ὕστερον ἐπιγεγεννημένην διαφόρους δόξας εἰρήκασιν. οἱ μὲν γὰρ αὐτῶν ἔλεγον, ὅτι πρώην γλυκεῖα οὖσα ἁλμυρὰ γέγονεν ὕστερον, τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἄλλων ἀστέρων ἐξατμιζόντων αὐτῆς τὸ λεπτομερέστατον καὶ πότιμον. ἐνθεν γὰρ καὶ ἅλιος λέγεται ὁ ἥλιος παρὰ τὸ ἐκ τῆς ἁλὸς τρέφεσθαι. τοῦ οὖν ἡλίου τὸ λεπτομερὲς καὶ πότιμον ἀναρπάζοντος μένει τὸ τρυγῶδες καὶ δριμύ. καὶ τούτου χάριν ἁλυκή ἐστιν ἡ θάλασσα. ὅθεν καὶ μεγάλα βάρη βαστάζει τὸ ταύτης ὕδωρ ὡς παχύ †). καὶ τούτου σημεῖον. ἐπειδὴ τὸ ἐψόμενον ὕδωρ ἁλμυρὸν γίνεται, εἰ ἐπὶ πολὺ ἑψηθείη, οὕτω καὶ τὸ τῆς θαλάσσης ὕδωρ ὑπὸ τῆς τοῦ ἡλίου καὶ τῶν ἄλλων ἀστέρων θερμασίας ἑψό-

*) A. hic et deinceps duplici $\overline{\nu}$ scribit.

**) Ald. ἤ, et mox Ἀριστοτέλης.

***) Cfr. Excerpt. ad I, 13, 29. p. 225.

†) Cfr. *Meteor.* II, 3, 37.

μενον ὁσημέραι γίνεται ἁλυκόν. ἀλλὰ ψευδὴς ἡ τοιαύτης ὑπόθεσις. ὅσον γὰρ κατὰ τοῦτο ἐρχῆν καὶ πάντας τοὺς ποταμοὺς καὶ τὰς λίμνας ἁλυκὸν ἔχειν ὕδωρ. ἐπειδὴ καὶ ἀπὸ τούτων ὁ ἥλιος ἀναρπάζει τὸ λεπτομερέστερον. ἄλλως τε· εἰ τοῦτο ἦν, ἐπειδὴ πάντες οἱ ποταμοὶ γλυκεῖς ὄντες εἰσβάλλουσιν ἐς τὴν θάλασσαν, ἐχρῆν αὐτὴν γλυκανθῆναι. καὶ ἄλλως· εἰ γὰρ τοῦτο ἦν, ἐπειδὴ πᾶν τὸ ἀναρπαζόμενον αὐτῆς λεπτὸν ἄνω παχυνόμενον καὶ γλυκαινόμενον πάλιν ἀντικαταρρεῖ, ἐχρῆν θέρους μὲν εἶναι αὐτὴν ἁλυκήν, ὅτε καὶ ἀφαιρεῖται αὐτῆς τὸ λεπτομερές, χειμῶνος δὲ γλυκεῖαν, ὅτε ἀντικαταρρεῖ τὸ ἀναρπασθὲν εἰς αὐτὴν διὰ τῶν ἑτῶν. οὐκ ἄρα καλῶς ἔχει ἡ τοιαύτη ὑπόθεσις. ἄλλοι δὲ φυσικοί φασιν, ὅτι ὁ τῆς γῆς ἱδρὼς εἰς αὐτὴν μιγνύμενος ἁλμυρὸς ὤν, ποιεῖ αὐτὴν ἁλμυράν. διηθεῖται γὰρ ὁ τῆς γῆς ἱδρώς. ἀλλ' οὐδὲ ταύτην δεχόμεθα τὴν ὑπόθεσιν· εἰ γὰρ ὁ τῆς γῆς ἱδρὼς περίττωμά ἐστι τοῦ ἐν αὐτῇ ποτίμου ὕδατος, τὸ δὲ περίττωμα ἐλαττόν ἐστιν ἀεὶ τοῦ χρηστοῦ, ἔδει καὶ τὴν θάλατταν ἐλάττονα εἶναι τοῦ ἐν αὐτῇ ποτίμου ὕδατος, νῦν δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τοὐναντιόν. ὅτι γὰρ τὸ περίττωμα ἐπ' ἐλαττόν ἐστι τοῦ χρηστοῦ, δῆλον ἐκ τοῦ ἐν ὑμῖν γινομένου περιττοῦ. τὸ γὰρ οὖρον καὶ ὁ ἱδρὼς ἐπ' ἐλαττόν ἐστι τῶν ἐν ἡμῖν χρηστῶν χυμῶν. ἄλλοι δέ φασιν, ὅτι αἰτία ἐστὶ τῆς ἁλμυρότητος αὐτῆς ἡ ὑποκειμένη γῆ, καὶ κατὰ τοῦτο μὲν συμφωνοῦσιν Ἀριστοτέλει. πλὴν καὶ ἄμφω τὴν ὑποκειμένην γῆν αἰτιῶνται. . . . . διηθεῖσθαι γάρ φασιν ἁλμυρὰν γῆν καὶ μίγνυσθαι τῇ θαλάσσῃ. ἀλλὰ καὶ ἄτοπος ἡ ὑπόθεσις. μᾶλλον γὰρ δυνατὸν Ἀριστοτέλει πείθεσθαι ἢ τούτοις. ὁ μὲν γὰρ τὴν καπνώδη ἀναθυμίασιν λέγει διηθεῖσθαι ἀπὸ τῆς γῆς εἰς τὴν θάλασσαν, οἱ δὲ ἁλμυρὰν διὰ τῆς μανώσεως τῆς γῆς, μᾶλλον δὲ ἡ καπνώδης ἀναθυμίασις διηθεῖται ἤπερ ἡ γῆ. καὶ ἄλλως. εἰ τῇ ἐπιμιξίᾳ τῆς γῆς ἁλμυρὰ ἦν ἡ θάλασσα, ἔδει μὴ εἶναι διαυγὲς αὐτῆς τὸ ὕδωρ, ἀλλὰ θολῶδες, ἅτε τῆς γῆς ἐπέχον ἐπιμιξίαν. νῦν δὲ οὐκ ἔστι θολόν. αὗται μὲν αἱ τῶν φυσικῶν ὑποθέσεις περὶ τῆς ἁλμυρότητος τῆς θαλάσσης καὶ αἱ τούτων ἀνατροπαί. ἐφ' οἷς ὁ Ἀριστοτέλης ἀνατρέπει τὴν τῶν θεολογικῶν φιλοσόφων ὑπόθεσιν τὴν λέγουσαν, ὅτι πηγαί εἰσιν ἁλμυραὶ εἰσβάλλουσαι εἰς τὴν θάλασσαν. ἐλέγχει δὲ τούτους ἐκ

τῆς καθόλου περὶ γῆν ὑδάτων διαιρέσεως. τῶν γὰρ περὶ γῆν ὑδάτων φησὶ τὰ μὲν ῥυτά εἰσι, τὰ δὲ στάσιμα. ῥυτὰ μέν εἰσιν, ὅσα τὰς πηγὰς ἔχουσιν ἐν ὑψηλοῖς ὄρεσι κειμένας, στάσιμα δὲ τὰ ἐν ἐπιπέδῳ ὄντα· τῶν δὲ ῥυτῶν τὰ μὲν ποταμοί εἰσι, τὰ δὲ κρῆναι. εἰ μὲν γὰρ πολὺ εἴη τὸ ῥυτὸν ὕδωρ γίνεται ποταμός, εἰ δὲ ὀλίγον κρήνη. τῶν στασίμων δὲ, τὰ μέν εἰσι πηγαῖα, τὰ δὲ συλλογιμαῖα. συλλογιμαῖα δὲ τὰ ἀπὸ ὑετῶν συναγόμενα. αὐτὰ δὲ ταῦτα τὰ συλλογιμαῖα ἢ πολλά ἐστι καὶ γίνονται λίμναι, ἢ ὀλίγα καὶ γίνονται τέλματα. τῶν δὲ πηγαίων τὰ μέν εἰσι χειρόκμητα, τὰ δὲ αὐτόματα. αὐτόματα μὲν τὰ ἀπὸ χασμάτων ὑπὸ σεισμοῦ γινομένων ἀναφανέντα φρέατα, χειρόκμητα δέ, οὐχ ὡς ἄν τις οἰηθείη τὰ διὰ μηχανῆς ἔχοντα τὸ ἀρρύεσθαι τὸ ὕδωρ φρέατα, ἀλλὰ τὰ κατὰ ὑδροφαντικὴν τέχνην ἐυρισκόμενα, ὡς ὅταν διά τινος μεθόδου οἱ ὑδροφάνται νοήσωσι τὸ ὑποκείμενον ὕδωρ, κἀκεῖ ποιήσωσι φρέαρ. ὀρύξαντες γὰρ λάκκον, ἐντιθέασιν ἀγγεῖον ἴσον ἔχον τὸ στόμιον τῇ γῇ, καὶ πάντοθεν περιχώσαντες ἐῶσι νυχθήμερον. εἶτα ἀποκαλύψαντες ἐνορῶσιν εἰς τὸ ἀγγεῖον. καὶ εἰ μὲν εὕρωσιν ὕδωρ ἐνὶ τῶν ἀγγείων συναθροισθέν, λέγουσιν οὐ πόρρω τῆς ἐπιφανείας τῆς γῆς ὑποκεῖσθαι τὸ ὕδωρ. εἰ δὲ μόνον ἔνικμον εὕρωσι τὴν ἔδραν τοῦ ἀγγείου, εἶναι μὲν λέγουσι ὕδωρ τηνικαῦτα, ἐν βάθει δὲ τῆς γῆς εἶναι. εἰ δὲ μηδόλως ἔνικμον γένηται τὸ ἀγγεῖον, λέγουσι τηνικαῦτα μὴ ὑποκεῖσθαι ὕδωρ ἐκεῖσε*). ταῦτα οὖν λέγει νῦν χειρόκμητα ὁ φιλόσοφος, οὐ τὰ διὰ μηχανῆς ἀρρυόμενα. ἐπειδὴ οὖν τριτταί εἰσιν αἱ πηγαί, ἢ ῥυτὸν ἔχουσαι ὕδωρ ὡς ἐν τοῖς ὄρεσιν, ἢ στάσιμον ὡς ἐν τοῖς πεδίοις. καὶ αἱ στάσιμοι ἢ χειρόκμητοί εἰσιν, ἢ αὐτόματοι. ἴδωμεν, εἰ κατὰ μίαν διαφορὰν τῶν πηγῶν τούτων, εἰκός ἐστι γίνεσθαι τὴν θάλασσαν. ἀπὸ μὲν γὰρ τῶν ῥυτὸν ὕδωρ ἐχουσῶν πηγῶν οὐκ εἰσρέεται ἡ θάλασσα. οὐδαμοῦ γὰρ τῆς γῆς ὁρῶμεν ἀπὸ ὑψη-

*) Hydrophantarum experimenta plura tradiderunt veteres. Omnino conferendi Plinius *Histor. natural.* XXXI, 3 sqq. Vitruv. *de architect.* VIII, 1. Palladius *de re rustic.* IX. (Aug.) tit. 8. p. 195, qui sua ex Vitruvio hausit. Cassiodor. *Var.* III, 53. *Geoponic.* II, 5. 11 — 13.

λῶν πηγὰς ῥεούσας ἁλμυρὸν ἐχούσας ὕδωρ. ἀλλ' ἆρα μὴ ἀπὸ τῶν χειροκμήτων εἰσρεῖται; οὐδὲ τοῦτο. οὐδὲ γὰρ ὑπὸ τέχνης ὑδροφαντικῆς θάλασσα γίνεται. ἀλλ' ἆρα μὴ ἐπὶ τῶν αὐτομάτων; μηδὲ τοῦτο. οὐδὲ γὰρ ἀπὸ τῶν μερῶν τὸ ὅλον γίνεται. οὐκ ἠδύνατο οὖν ἀπὸ τοιούτων πηγῶν μερικῶν γίνεσθαι ἡ θάλασσα ὑλότης οὖσα τοῦ παντὸς ὕδατος. λείπεται ἄρα μὴ ἔχειν πηγὰς ἁλυκὰς τὴν θάλασσαν, ὑφ' ὧν εἰσρεῖται. οὕτως διελέγξας τὴν τοιαύτην ὑπόθεσιν ὁ φιλόσοφος τρέπεται ἐπὶ τὸ ἐναντίον καὶ συνηγορεῖ τοῖς ἐναντίοις. δοκεῖ γὰρ ἴσως φησὶ πηγὰς ἔχειν ἡ θάλασσα, ἐπειδὴ ῥυτή ἐστι. ῥυτὴ δὲ ὑπάρχει διὰ συλλογισμοῦ τοιούτου. ἡ θάλασσα ῥυτὸν ἔχει ὕδωρ. πᾶν ῥυτὸν ὕδωρ πηγὰς ἔχει. ἡ θάλασσα ἄρα πηγὰς ἔχει. ἀλλ' ἐνταῦθα τὴν πρώτην πρότασιν οὐκ ἀποδεξόμεθα τὴν λέγουσαν, ὅτι πᾶν ῥυτὸν ἔχει πηγάς. οὐ γὰρ πάντων ἔχει πηγάς. τί γὰρ εἰ διὰ τὴν θέσιν τόπου ἐστὶ ῥυτόν, ὡς ὅταν ἀπὸ ὑψηλοῦ τόπου ἐπὶ τὸν κοῖλον ῥεῖ. τάχα δὲ ἄμφω αἱ αἰτίαι εἰς ταὐτὸν συντρέχουσι. καὶ γὰρ οἱ μεγάλοι ποταμοὶ εἰσβάλοιεν, ἰϊόνα ποιοῦντες ἐν τοῖς στομίοις διὰ τὴν ἐξ αὐτῶν γινομένην πρόσχωσιν, ἀναγκάζουσιν ὡς ἀπὸ ὑψηλοῦ τόπου φέρεσθαι τὸ ὕδωρ ἐπὶ τὸν κοῖλον. καὶ οὕτω ῥυτὸν εἶναι καὶ μὴ στάσιμον. ἐπειδὴ οὖν οὕτω συμβαίνει τὴν θάλατταν καὶ ὑπὸ μεγάλων εἰσρεῖσθαι ποταμῶν καὶ προσχώννυσθαι, δῆλον ὅτι καὶ ῥυτή ἐστι καὶ ῥεῖ, καὶ οὐ παρὰ τοῦτο πηγὰς ἔχει. ἀλλ' οὐ πανταχῇ ἐλέγχεται ῥυτὴ οὖσα. ἀλλὰ μόνον ἐν τοῖς πορθμοῖς, ὥσπερ ἐν τῷ κατὰ τὸν Βόσπορον πορθμῷ καὶ τῷ κατὰ Καλχηδόνα. ἐνταῦθα γὰρ φαίνεται ῥέουσα ἡ θάλασσα δίκην ποταμοῦ, διὰ τὸ πλησίον εἶναι τὰ παρεκάτερα τῆς θαλάσσης. ἐκείνων γὰρ ἱσταμένων, ἐλέγχεται ῥέον τὸ ὕδωρ. ἰστέον γάρ, ὅτι κινούμενον παρακινουμένου οὐκ ἐλέγχεται κατὰ τὴν κίνησιν. κινούμενον δὲ παραμένοντος ἐλέγχεται. τοῦτο δὲ γίνεται, ἐπειδὴ καθόλου τὰ ὅμοια λανθάνει ἐν τοῖς ὁμοίοις. ἐλέγχεται δὲ τὰ ἀνόμοια ἐν τοῖς ἀνομοίοις. οὕτως οὖν ἐν μέλανι ξύλῳ λευκὰ γράμματα γράφομεν, ἐν δὲ λευκῷ μέλανα διὰ τὸ ἐλέγχεσθαι. εἰ γὰρ ὅμοια γράψομεν οὐ διελέγχονται. οὕτω γὰρ καὶ νῦν. ἐπειδὴ παρ' ἑκάτερα φαίνεται ἡ γῆ ἱσταμένη ἐν τοῖς πορθμοῖς, φαίνεται

τὸ ὕδωρ κατάρρυτον *) ὑπάρχον. ἐν δὲ μέσῳ πελάγει οὐ φαίνεται ῥέον, ἐπεὶ ὁμοίως κινεῖται. ἀλλ' εἰ καὶ λέγω, ὅτι ῥεῖ ἡ θάλασσα ἐν τοῖς πορθμοῖς, ἀλλ' οὐχ ὁμοίως. ἐν μὲν γὰρ τῷ Βοσπόρῳ μόνον τὴν κατ' εὐθείαν ἀπὸ τοῦ ἑνὸς μέρους ἐπὶ τὸ ἕτερον· ἐν δὲ τῷ Καλχηδονίῳ πορθμῷ παλίρρυτον ὑπομένει τὸ ὕδωρ τῆς θαλάσσης. ῥεῖ γὰρ ἐκ τοῦ ἑνὸς μέρους καὶ πάλιν ἀναστρέφεται εἰς τὸ ἕτερον. τοῦτο δὲ γίνεται, ἐπειδὴ συμβαίνει τὸν ἄνεμον σφοδρότατον ὄντα πολλάκις φησὶ πνεῖν ἐκ τοῦ ἑνὸς μέρους τῆς θαλάσσης κατ' ἐναντίωσιν τοῦ ῥεύματος καὶ ἀνασοβεῖν τὸ ὕδωρ ὡς ἐπὶ τὰ ὀπίσω. εἶτα αὐτοῦ μηκέτι ἰσχύοντος ἐπ' ἄπειρον ἀποσοβεῖν τὸ ὕδωρ ἐνδίδωσι· καὶ λοιπὸν φέρεται τὴν οἰκείαν ῥύσιν ὥσπερ καὶ πρώην. καὶ τούτου χάριν φαίνεται ὡς παλίρροιαν ἔχον τὸ ὕδωρ. ἐκεῖσε ταῦτα παραδίδωσιν ἡ μετὰ χεῖρα λέξις. Olymp. fol. 27, b. — 28, b.

I, 2. *Τραγικώτερον*] Καλῶς ἔφη τραγικώτερον. καὶ γὰρ Εὐριπίδης ἔφη τὸν ἥλιον διὰ τὴν γῆν γενέσθαι καὶ τὸν οὐρανὸν ὁμοίως, μέγα μέρος ὑποτιθέμενος τοῦ παντὸς εἶναι τὴν γῆν, ἐναντίως ἔχων**) τοῖς ἀστρονόμοις, οἵτινες σημείου λόγον ἐπέχειν λέγουσι τὴν γῆν πρὸς τὸν ὅλον οὐρανόν· ὡσαύτως δὲ καὶ ἄλλοι θεόλογοι ***), ὧν ἐστιν Ἡσίοδος, τοῦτό φασι. καὶ γὰρ τοῦτο τὸ μέγα μέρος ὑποτίθενται τὴν γῆν τοῦ παντὸς διὰ τὰ σεληναῖα ὄρη, ἅτινα σχεδὸν λέγουσι ψαύειν τῆς σεληνιακῆς σφαίρας. ἔνθεν ὑπηρίττοντο πηγὰς γῆς, αἵτινες ἀνωθοῦσιν αὐτὴν ἐπὶ τὰ ἄνω. Olympiodor. fol. 28, b.

I, 3. *Τροπὰς ἡλίου καὶ σελήνης φασὶ ποιεῖν*] Τὴν πρώτην ὑπόθεσιν λέγει τῶν φυσικῶν. τί γάρ φησιν ἔφασκον οὗτοι ἐπὶ τοῦ κατακλυσμοῦ ἅπασαν τὴν γῆν πεπληρῶσθαι τῶν ὑδάτων. εἶτα τοῦ ἡλίου ξηραίνοντός τινα μέρη καὶ ἐξατμίζοντος, συνέβαινε τὸ μὲν γαιῶδες καὶ παχὺ ὥσπερ τι περίττωμα μένον, ἁλμυρὸν εἶναι καὶ ἄχρηστον. τὸ δὲ ἐξατμισθὲν

*) *Κατώρρυτον* Ald.

**) Ald. *ἔχον*.

***) Euripidem igitur, Anaxagorae discipulum, miro modo theologis adnumerat.

τροφὴν γίνεσθαι τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἄλλων ἀστέρων. ἔνθεν φασὶ τρεφόμενος ὁ ἥλιος τροπὰς ποιεῖ τῶν ὡρῶν. ἐπειδὴ γὰρ ἐν τῷ θέρει μᾶλλον ἐπὶ τὰ βόρεια οὖσα ἡ θάλασσα, τροφὴν αὐτῷ παρέχεται τὸ ἐξ αὐτῆς ἀτμιζόμενον, τούτου χάριν θέρους ὁ ἥλιος βορειότερος γίνεται κατακολουθῶν τῇ ὑπὸ τῆς θαλάσσης ἀναδιδομένῃ τροφῇ. χειμῶνος δὲ νότιος γίνεται, ἐπειδὴ ἔφθασε διὰ τοῦ θέρους ὅλον ἤδη τὸ χρηστὸν ἀνικμάσασθαι τῆς θαλάττης καὶ μηκέτι εὐπορῶν τροφῆς ἦλθεν εἰς τὰ νότια ὡς ἐκ δαψιλοῦς ὑπαρχούσης τῆς ἀτμίδος ἐκ τῶν γλυκέων ὑδάτων. καὶ οὕτω συνέβαινε θέρους γίνεσθαι καὶ χειμῶνος. ταῦτά φασί τινες τῶν φυσικῶν φιλοσόφων. ὅθεν οἴονται καὶ τὴν θάλασσάν ποτε ξηραθήσεσθαι διὰ τὸ πλεῖστον ἀνικμᾶσθαι ἐξ αὐτῆς τὸ ὑγρόν. Olymp. fol. 28, b — 29, a *).

II, 8. *Καὶ οὔτε τὸ πῦρ . . . . . τρέφεται*] Ἀγανακτοῦντος φωνή. οὕτω γὰρ ἠλίθιοί εἰσιν, ὅτι νομίζουσι τὸ ἐξατμισθὲν φθάνειν ἐπὶ τὴν ἡλιακὴν σφαῖραν, καίτοι τοσούτων ἄλλων σφαιρῶν ἐν τῷ μέσῳ οὐσῶν, καὶ τῆς ἀτμίδος μηδὲ τὰς ἀκρωρείας σχεδὸν ὑπερβαινούσης **). Olympiod. fol. 30, b.

---

*) Quod supra iam plus semel monuimus, in Olympiodori editione Aldina (idque de omnibus valet Aristotelicorum interpretum graecorum editionibus, quae apud Aldi filios in lucem prodiere) saepenumero ita locata esse verba commentarii, quasi ad ipsum Aristotelis opus pertinerent, id etiam fol. 29, a. l. 5 a fin. accidit in adnotatione longiore, quae nihil memoratu digni, ut eam adscribamus, continet. Verba enim *ὅτι κοιλότερός ἐστιν ὁ Ὠκεανὸς τῆς παρ' ἡμῖν θαλάττης, δῆλον* Olympiodori sunt, quod idcirco monemus, ne quis in contextu Aristotelis quaedam excidisse arbitretur.

**) Putabant enim veterum nonnulli, vapores ad certam tantum altitudinem attolli: esse enim montes affirmat Plutarchus *de primo frigido* c. 14. Tom. IV. p. 853 ed. Wyttenb., qui neque rorem, neque nubeculam admittant, cum vertices eorum in aërem purum humorisque expertem penetrent. Auctore Posidonio affirmat Plinius *Histor. nat.* II, 23: *non minus quadraginta stadiorum a terra altitudinem esse, in qua nubila ac venti nubesque proveniant. Inde purum liquidumque et imperturbatae lucis aërem.*

II, 17. Ἐπειδὴ κατασκευάζει ὁ φιλόσοφος, ὅτι ἡ θάλαττα ὁλότης ἐστὶ τοῦ παντὸς ὕδατος, ἐχρήσατο ἐνὶ ἐπιχειρήματι τῷ λέγοντι, ὅτι οἱ ποταμοὶ ἅπαντες εἰσβάλλουσιν ἐν τῇ θαλάττῃ, ὡς ὁλότητος ἐφιέμενοι, ἢ ὡς τῆς *) ἐν αὐτῇ κοιλότητος. νῦν αὐτὸ τοῦτο ζητεῖ, τί δήποτε πολλοῦ καὶ μεγίστου ποταμοῦ ἐμβάλλοντος ἐν τῇ θαλάττῃ, ὅμως αὕτη κατ' οὐδένα τρόπον φαίνεται αὐξανομένη παρὰ τὸ πρότερον. καὶ ταύτην τὴν ἀπορίαν λύει τοιούτῳ λόγῳ κεχρημένος. ἐπειδὴ γάρ φησι τὸ τῆς θαλάττης ὕδωρ κατὰ τὸ τῆς γῆς πλάτος φαίνεται ἐκτεταμένον, ὥσπερ ἄν τις κύαθον ὕδατος ἐπὶ τραπέζης ἐξαπλώσῃ, τούτου χάριν ἐξηπλωμένου τοῦ ὕδατος αὐτῆς ἐπὶ μέγιστον τῆς γῆς τόπον, συμβαίνει τὸ πολὺ αὐτοῦ μέρος ἀπόλλυσθαι **), πῇ μὲν ἐξατμιζόμενον ὑπὸ τῆς τοῦ ἡλίου περιφορᾶς, πῇ δ' ὑπὸ τῆς ὑποκειμένης γῆς ἀναπινόμενον. ἐπειδὴ οὖν πολύ ἐστιν ἐξ αὐτῆς ἀπολλύμενον ὕδωρ, εἰκότως οὐ φαίνεται αὐξανομένη, εἰ καὶ πάντες εἰσβάλλοιεν οἱ ποταμοί. οὕτω περὶ τῆς ὁλότητος τῆς θαλάττης διαλεχθεὶς ὁ φιλόσοφος, ἐπεὶ μὴ συνῳδὰ αὐτῷ φθέγγεται ὁ Πλάτων. βούλεται γὰρ αὐτὸς ἐν τῷ Φαίδωνι μὴ τὴν θάλατταν εἶναι ὁλότητα τοῦ παντὸς ὕδατος, ἀλλὰ ποταμόν τινα καὶ τοῦτον ὑπὸ γῆν ὄντα, φημὶ δὴ τὸν Τάρταρον. ἔλεγε γὰρ περὶ τὸ τῆς γῆς κέντρον εἰλεῖσθαι τοῦτον τὸν ποταμόν, ἀπ' αὐτοῦ δ' ἑτέρους τρεῖς προϊέναι, λέγω δὴ Ἀχέροντα, Κωκυτόν, Πυριφλεγέθοντα. ἐκ δὲ τούτων πάντας προϊέναι τοὺς ποταμοὺς καὶ τὴν θάλατταν. τοῦτον δ' αὐτὸν τὸν Τάρταρον ἀνάστατον ὄντα καὶ ὄχλου μεστὸν κυμαίνεσθαι περὶ τὸ κέντρον. καὶ ποτὲ μὲν ἐάσαντα τὸ κέντρον γίνεσθαι ***) περὶ τὸ διάμετρον, ποτὲ δὲ περὶ τὸ ἕτερον διάμετρον. καὶ οὕτως ἄλλοτε ἀλλαχόθεν φερόμενον, ταράχου εἶναι μεστόν. καὶ τούτων οὕτως ἐχόντων ἔλεγεν ὁλότητα αὐτὸν εἶναι τοῦ παντὸς ὕδατος. πάντας γὰρ τοὺς ποταμοὺς καὶ τὴν θάλασσαν εἰς αὐτὸν ἔλεγε χωρεῖν, ὡς αὐτῶν ἐφιεμένων τῆς οἰκείας αὐτῶν ὁλότητος. ταύτην τὴν ὑπόθεσιν ἀναιρεῖ Ἀριστοτέλης διὰ τεττάρων

*) Ald. τοῖς.

**) Ald. ἀπόλνσθαι.

***) Ald. γίνεσθε.

ἐπιχειρημάτων, ὧν τὸ α τοῦτον ἔχει τὸν τρόπον. οὐ καλῶς ὦ Πλάτων τὸν Τάρταρον λέγεις τοῦ παντὸς ὕδατος εἶναι ὁλότητα. δυσὶ γὰρ ἀτόποις ὑποπίπτεις οὕτως ὑποτιθέμενος. πρῶτον μέν, ὅτι εὑρεθήσεται ἡ τοῦ ὕδατος ὁλότης ὑπὸ γῆν οὖσα περὶ τὸ τοῦ παντὸς κέντρον, ὅπερ ἄτοπον. ἔπειτα δὲ εὑρεθήσεται τὸ ὕδωρ μηκέτι τὴν κάτω φορὰν κινούμενον κατὰ φύσιν, ἀλλὰ καὶ τὴν ἄνω ἐφιέμενον τῆς οἰκείας ὁλότητος, ὅπερ ἐστὶν ἀδύνατον. πᾶσι γὰρ τοῦτο γνώστον, ὅτι ἡ μὲν ἐπὶ τὸ κάταντες φορὰ κατὰ φύσιν ἐστὶ τῷ ὕδατι, ἡ δ' ἐπὶ τὸ ἄναντες παρὰ φύσιν. ἐπειδὴ οὖν τῆς οἰκείας ὁλότητος ἐφιέμενον τὸ ὕδωρ, τουτέστι τοῦ Ταρτάρου, ὡς σὺ φῄς, μέχρι μὲν τοῦ κέντρου τὴν κάτω φύσιν *) κινηθήσεται, ὑπερβᾶν δὲ τὸ κέντρον καὶ ὡς ἐπὶ τὴν ὁλότητα χωροῦν τὴν ἄνω φορὰν κινηθήσεται παρὰ φύσιν, ὅπερ ἄτοπον. ἄτοπον γὰρ τὸ πρὸς τὴν οἰκείαν ὁλότητα κινούμενον παρὰ φύσιν κινεῖσθαι. ὅτι δὲ ἐπὶ τὸ ἄνω κινεῖται τὸ ὕδωρ τὸ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς φερόμενον ἐπὶ τὸν Τάρταρον, καὶ ὑπερβαίνει τὸ κέντρον, δῆλον, ἐπειδὴ πᾶσα μὲν ἡ ἐπὶ τὸ κέντρον κίνησις κατωφερὴς ὑπάρχει, ἡ δ' ἀπὸ τοῦ κέντρου ἐπὶ τὸν κύκλον ἀνωφερής. ἐπειδὴ οὖν ὑπετίθετο ὁ Πλάτων περὶ τὸ κέντρον τῆς γῆς εἱλεῖσθαι τὸν Τάρταρον, μὴ ψαύοντα δὲ αὐτοῦ τὴν κυρτὴν ἐπιφάνειαν τῆς κοίλης ἐπιφανείας τῆς γῆς, ὡς ὕδωρ ἐν ἀγγείῳ, ἀλλ' εἶναι μεταξὺ τῶν δύο ἐπιφανειῶν τόπον κενόν, εἰς ὃν κυμαίνων ὁ Τάρταρος ἄλλοτε ἄλλον λαμβάνοι τόπον, συμβαίνει ποτέ, ὅτι **) κυμαίνων ὁ Τάρταρος ἐν τῷ ἐνὶ μέρει τοῦ κέντρου εἰσεγένετο. εἶτα τοῦ ὕδατος τοῦ κατὰ τὴν ἐπιφάνειαν τῆς γῆς πρὸς αὐτὸν ἐρχομένου, ἐπειδὴ πρῶτον διὰ τοῦ κέντρου παρερχόμενον ἐμίγνυτο τῷ Ταρτάρῳ, μέχρι μὲν τοῦ κέντρου τὴν κάτω φορὰν ἐκινεῖτο, μετὰ δὲ τὸ κέντρον ἐπειγόμενον παρ' αὐτοῦ τὴν ὁλότητα, ἀνάγκη τὴν ἄνω φορὰν κινηθῆναι, εἴπερ πᾶσαι αἱ ἀπὸ τοῦ κέντρου κινήσεις ἀνωφερεῖς εἰσι, καὶ συνέβαινε παρὰ φύσιν ἐπὶ τὴν οἰκείαν ὁλότητα κινεῖσθαι, ὅπερ ἄτοπον. τοῦτο μὲν τὸ πρῶτον ἐπιχείρημα τοῦ μὴ εἶναι ὁλότητα τὸν Τάρταρον. Δεύ-

*) Scr. τὴν κάτω φορὰν κατὰ φύσιν.

**) ὅτι de meo addidi.

τερον ἐπιχείρημα. οὐ καλῶς, ὦ Πλάτων, ἔρης τοσοῦτον ὕδωρ εἰσρεῖν ἐν τῷ Ταρτάρῳ, ὅσον καὶ ἐκρεῖ. μᾶλλον γὰρ εἰκὸς τοῦτο λέγειν, ὅτι ἐν μὲν τῷ χειμῶνι πλεῖον εἰσρεῖ εἰς αὐτόν, ἢπερ ἐκρεῖ, διά τε τὴν ἀπὸ τῶν ὑετῶν πλεονεξίαν τοῦ ὕδατος, ἐν δὲ τῷ θέρει μᾶλλον ἐκρεῖν, ἢπερ εἰσρεῖν, διὰ τὸ μὴ ἐπιμίγνυσθαι τὸ κάτω φερόμενον ὕδωρ διὰ τῶν ὄμβρων. τρίτον ἐπιχείρημα. ἐχρῆν, ὦ Πλάτων, καὶ τὴν Θάλαττάν ποτε γίνεσθαι ξηρὰν ἐφιεμένην τῆς οἰκείας ὁλότητος καὶ ὡς πρὸς αὐτὴν ἀναπινομένην, εἴπερ ἀεὶ τὰ μέρη τῆς οἰκείας ὁλότητος ἐφιέμενα πρὸς αὐτὴν χωροῦσιν. ἀλλὰ μὴν ὁρῶμεν, ὅτι ἡ Θάλασσα οὐκ ἐπείγεται πρὸς τὸν Τάρταρον. εὔδηλον ὅτι οὐκ ἔστιν αὐτὸς ὁλότης τοῦ παντὸς ὕδατος. καὶ τοῦτο τὸ τρίτον. τέταρτον ἐπιχείρημα. ἐχρῆν, ὦ Πλάτων, εἴπερ ὡς σὺ φῂς ὁλότης ὁ Τάρταρος, πάντας τοὺς ποταμοὺς ὁρᾶν ἐν τῇ γῇ ἀναπινομένους καὶ εἰς αὐτὸν ἀφικνομένους ὡς πρὸς οἰκείαν ὁλότητα. νῦν δ' οὐ τοῦτο ὁρῶμεν γινόμενον, ἀλλὰ πάντας τοὺς ποταμοὺς ἢ ἄντικρυς εἰσρέοντας ἐν τῇ Θαλάττῃ, ἢ ἄλλοις ποταμοῖς μείζοσι μιγνυμένους καὶ εἰσβάλλοντας ἐν τῇ Θαλάσσῃ, οὐδέποτε δὲ ἐν τῇ γῇ χαουμένους. ἀλλ' εἰ καὶ τοῦτο γένηται, πάλιν ἀναφαινομένους καὶ μηδέποτε πρὸς τὸν Τάρταρον ἀφικνουμένους. οὐκ ἄρα ὁλότης ὁ Τάρταρος. τούτοις τοῖς ἐπιχειρήμασιν, ὡς ᾠήθη, διαλέξας τὸν Πλάτωνα ὁ φιλόσοφος, καὶ ἀποδείξας μὴ οὖσαν ὁλότητα τὸν Τάρταρον, τρέπεται καὶ ἐπὶ Δημόκριτον καὶ διελέγχει καὶ τὴν τούτου ὑπόθεσιν. ἐπειδὴ γὰρ ὁ Δημόκριτος ἐναντίως τοῖς πολλοῖς ὑπετίθετο περὶ Θαλάττης. πάντων γὰρ λεγόντων, ὅτι ἀΐδιός ἐστι καὶ ἡ Θάλαττα μέρος οὖσα τοῦ παντός. εἰ δὲ φθαρτὸν τοῦτο, φθαρτὴ καὶ ἡ Θάλασσα. ὅθεν καὶ ἡ ἀπορία ἐντεῦθεν λύεται ἣ λέγουσα, Σωκράτην μέρος εἶναι τοῦ παντός. εἰ οὖν τὸ πᾶν ἄφθαρτον, καὶ Σωκράτης ἔσται ἄφθαρτος. τὰ γὰρ μέρη τοῦ παντὸς ἄφθαρτά ἐστι καὶ αὐτά. Σωκράτης δ' οὐ μέρος παντός, ἀλλ' ἀποτέλεσμα. ὥσπερ τῆς μητρὸς τὸ ἔμβρυον ἀποτέλεσμα, ἀλλ' οὐχὶ μέρος. καὶ οἱ καρποὶ τῶν φυτῶν ἀποτελέσματά, ἀλλ' οὐχὶ μέρη. ἀλλ' ὅμως πάντων τοῦτο λεγόντων μόνος Δημόκριτος πᾶσιν ἀντισχεῖ φάσκων· εἰ καὶ ἄφθαρτόν ἐστι τὸ πᾶν, φθαρτὴ δ' ὅμως ἡ θάλασσα. τοῦτο δ' ἔλεγεν ἀπατώμενος ἐκ

τοῦ ὁρᾶν αὐτὸν ὁσημέραν *) τὴν θάλασσαν ἠπειρουμένην καὶ τοὺς πρώην ὑγροὺς τόπους ξηραινομένους διὰ τὸ προσεχῶς γεγονέναι τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμόν. μετὰ γὰρ τὸν κατακλυσμὸν λοιπὸν ἡ γῆ μεταβάλλουσα ἐπὶ τὸ ξηρότερον ἡ πρώην ὑγρὰ καὶ τεθαλασσωμένη γίνεται ξηρά. ὡς εἰ ἦν προσεχῶς ὁ Ἡρακλείτιος γεγενημένος ἐκπυρηνισμός **), ἔλεγεν ὁ Δημόκριτος τὴν ξηρὰν γῆν μεταβάλλεσθαι εἰς θάλασσαν, καὶ οὐ τὴν θάλασσαν φθείρεσθαι. αὕτη μὲν ἡ τοῦ Δημοκρίτου ὑπόθεσις. ὑπαντᾷ δὲ πρὸς αὐτὴν ὁ φιλόσοφος διὰ τριῶν ἐπιχειρημάτων. ὧν τὸ πρῶτον τοῦτον ἔχει τὸν τρόπον. τί δήποτε, ὦ Δημόκριτε, μέχρι νῦν ὑπέθου ὑπομεῖναι τὴν θάλασσαν ἐν τῷ ἀπείρῳ χρόνῳ, ἀπὸ δὲ τοῦ νῦν φθαρτὴν λέγεις εἰς τὸν ἄπειρον διαμένειν αὐτὴν χρόνον; καίτοι ἔδει ἐννοεῖν, ὅτι διὰ τὰς αἰτίας, ἃς μέχρι νῦν μεμένηκε μὴ φθαρεῖσα, διὰ ταύτας καὶ διαμενεῖ. εἴτε γὰρ διὰ τὸ εἶναι αὐτὴν ἀπειροδύναμον***) μέχρι νῦν διαμεμένηκε τῷ ἀπείρῳ χρόνῳ, δι' αὐτὸ πάλιν καὶ διαμενεῖ εἰς τὸν ἑξῆς ἄπειρον χρόνον. εἴτε διὰ τὸ εἶναι βαρὺ τὸ ὕδωρ καὶ ἁλμυρὸν μέχρι τοῦ νῦν μεμένηκε, καὶ εἰς τὸν ἑξῆς ἄπειρον χρόνον διὰ τὸ αὐτὸ διαμενεῖ. τοῦτο πρῶτον. δεύτερον ἐπιχείρημα. ἐχρῆν σὲ γὰρ ἐννοεῖν, ὦ Δημόκριτε, ὅτι τὸ ἐξατμιζόμενον ὕδωρ ἀντικαταρρεῖ πάλιν, καὶ οὐχ ὡς φασί τινες, ἀναλίσκεσθαι τοῦτο εἰς τὴν τροφὴν τοῦ ἡλίου καὶ τῶν ἀστέρων· εἰ οὖν τοῦτο πάλιν ἀντικαταρρεῖ καὶ οὐδὲν ἐλαττοῦται. πῶς φησι ταύτην τῷ ἀπείρῳ χρόνῳ ἐκλιμπάνειν; τρίτον ἐπιχείρημα. οὐ γάρ, ὡς σὺ φῄς, ὦ Δημόκριτε, εἰ καὶ ἄφθαρτόν ἐστι τὸ πᾶν, ἀλλ' οὖν τοὐναντίον. εἴτε ἄφθαρτον, εἴτε φθαρτόν ἐστι τὸ πᾶν, ἄφθαρτος διαμενεῖ ἡ θάλασσα. αὐτίκα οὖν ὁ ἥλιος, εἰ μὲν ἄφθαρτος εἴη, εἰκότως ἡ θάλασσα ἄφθαρτος ἔσται. ὃ γὰρ ἐν τῷ θέρει ἐξ αὐτῆς ἀνήρπασε βορειότερος γεγονώς, τοσοῦτον πάλιν ἀποδίδωσι, καὶ ἐν τῷ χειμερινῷ νοτιώτερος ἀποκαταστάς. ἀλλὰ μὴν εἰ καὶ φθαρτὸς ὁ ἥλιος εἴη, ἀλλ' ὅμως ἡ θάλασσα μενεῖ ἄφθαρτος διὰ τὸ μὴ εἶναι τὸ ἐξατμίζον. τούτοις μὲν οὖν τοῖς λόγοις ὁ φιλόσοφος ἐνίσταται πρὸς Πλά-

*) Ald. ὁσημέραι.
**) Cfr. Comment. ad I, 14, 20.
***) Lexicis addatur.

τωνά τε καὶ Δημόκριτον. φέρε δὲ ἡμεῖς ὑπὲρ τούτου ἀπολογησόμεθα δείξαντες, ὅτι οὐ καλῶς Ἀριστοτέλης καταδρομῇ κατὰ τούτων ἐχρήσατο. μᾶλλον δ' οὐ τούτοις ἐναντιοῦται ἀλλὰ τοῖς κακῶς τὰ παρ' αὐτῶν λεγόμενα διαλαμβάνουσιν. οὐ γάρ, ὡς σὺ φῄς, ὦ δαιμόνιέ φαμεν Ἀριστότελες, ὁ Πλάτων ὁλότητα τοῦ ὕδατος ἔλεγεν ὄντα τὸν Τάρταρον, ἀλλὰ τοῦτο ἔλεγε μυθικῶς. οὐ χρὴ οὖν τὰ μυθικῶς λεγόμενα φυσικῶς ἐκλαμβάνειν ἀλλὰ ταῦτα ἔλεγεν ὁ Πλάτων ἄλλα τινὰ αἰνιττόμενος. ἀποδείξας γὰρ αὐτὸς ἐν τῷ Φαίδωνι διὰ πέντε ἐπιχειρημάτων ἀθάνατον οὖσαν τὴν ψυχήν, καὶ εἰρηκώς, ὅτι εἰ μὲν θνητὴ ὑπῆρχεν, ἐχρῆν μᾶλλον σωμασκίας ἐπιμελεῖσθαι καὶ ὑγείας πρὸς τὸ μακρὰ βιῶναι, οὐ μόνον δὲ τούτου, ἀλλὰ καὶ πλούτου καὶ δόξης καὶ τῶν ἄλλων ἡδονῶν. εἰ δὲ ἀθάνατός ἐστι, τούτοις μὲν κατὰ πάροδον χρῆσθαι, ὥσπερ πανδοχείῳ παριόντα, δύο δέ τινων ἐπιμελεῖσθαι, ἢ τοῦ ὁμοιωθῆναι θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἢ τοῦ δίκας μὴ ὑποσχεῖν. ἐντεῦθεν διὰ τοῦ ὑποσχεῖν δίκας, ἐμνημόνευσε τῶν καθ' ᾅδου δικαστηρίων, ὥσπερ νεκυίαν τινὰ*) συγγραψάμενος. οὐ μόνον δὲ ταύτην συνεγράψατο, ἀλλὰ καὶ ἄλλας δύο, ὡς εἶναι πάσας τρεῖς ἐν τῇ πολιτείᾳ διαφερούσας ἀλλήλων. ἡ μὲν γὰρ ἐν Γοργίᾳ γεγραμμένη περὶ τοῦ δικάζοντος καθ' ᾅδου τὰς ψυχὰς περιέχει. εἰσφέρει γὰρ ἐκεῖσε Ῥαδάμανθυν, Αἰακόν τε καὶ Μίνωα δίκας εἰσπράττοντας τὰς καθ' ᾅδου ψυχάς, Ῥαδάμανθυν μὲν τοὺς ἀπὸ τῆς Ἀσίας, Αἰακὸν δὲ τοὺς ἀπὸ τῆς Εὐρώπης (Αἰγίνης δὲ ἦν· Αἴγινα δὲ τῆς Εὐρώπης), Μίνωα δὲ δικαστὴν ἀδέκαστον κατατάττει, ὡς πρέπει νομοθέτῃ. ἐν δὲ τῷ Φαίδωνι γράφων νεκυίαν διαλέγεται περὶ τῶν δικαστικῶν τόπων καὶ παραδίδωσι τὸν Τάρταρον καὶ Πυριφλεγέθοντα, Κώκυτόν τε καὶ Ἀχέροντα, οἵτινες ἐξ αὐτῶν προέρχονται, ὡς εἶναι τὸν Τάρταρον οὐχ ὕδατος ὁλότητα, ἀλλὰ τῶν δικαστικῶν τόπων. ἡ δ' ἐν τῇ Πολιτείᾳ νεκυία περιέρχει περὶ τῶν δικαζομένων. εἰσάγει γὰρ ἐκεῖσε τὸν Ἤριδον πολλὰ ἁμαρτήσαντα καὶ ὑπὲρ

*) Quae apud veteres scriptores, praeter Platonicas tres in *Phaedone*, *Gorgia* et *Republ.* X, reperiantur *νεκυίαι*, eas recensuit Wyttenbach ad Plat. *Phaedon.* p. 288 (280 ed. Lips.).

τούτου εὐθύνας ἀπαιτούμενον. ἐπειδὴ οὖν ἐν τῷ Φαίδωνι παρατίθεταί τινας τόπους κολαστικοὺς πρὸς τὰς διαφορὰς τῶν ἁμαρτημάτων, τὰς μὲν γὰρ ἀνίατα ἁμαρτάνουσας ψυχὰς εἰς τὸν Τάρταρον κατατάττει, ἔνθα εἰσὶ καὶ ἀΐδιοι αἱ κολάσεις, τὰς δὲ δυσίατα ἁμαρτάνουσας, εἰ μὲν διὰ θυμόν, τουτέστιν ἐξ ἀνάγκης καὶ μὴ προβουλευσαμένας, εἰς τὸν Πυριφλεγέθοντα, τὰς δὲ μὴ διὰ θυμόν, ἀλλ' ἐκ προβουλεύσεως *) ἁμαρτήσας, ταύτας δ' εἰς τὸν Κωκυτόν, ὡς ἂν ἐπιτατικωτέρας οὔσης ἐκεῖ τῆς κολάσεως. . . . . **). Olymp. fol. 31, a — 32, a.

II, 19. Ἐξῆς δείκνυσι τὸ ἐν τῷ Φαίδωνι Πλάτωνος εἰρημένον περί τε ποταμῶν καὶ θαλάσσης ἀδύνατον ὄν. λέγει γὰρ ἐν τῷ Φαίδωνι ὡς παρὰ πάντα τὰ ὕδατα συντέτρηται εἰς ἄλληλα ὑπὸ γῆν, ὡς ἀπὸ μιᾶς ἀρχῆς ὄντα, ἀρχὴ δὲ καὶ πηγὴ πάντων ὑδάτων ὁ καλούμενος Τάρταρος, ὧν ὕδατός τι ***) πλῆθος περὶ τὸ μέσον τῆς γῆς, ἐξ οὗ τὰ ῥέοντα καὶ μὴ ῥέοντα ὑπὲρ τὴν γῆν ὕδατα ἀναδίδωσι πάντα· γίνεσθαι δὲ ἀπ' ἐκείνου τὴν ἀπόρρυσίν τε καὶ ἐπίρρυσιν τοῖς ὑπὲρ γῆς ὕδασι, διὰ τὸ κινεῖσθαι αἰεὶ καὶ ῥεῖν τὸ πρῶτον ὕδωρ καὶ τὴν ἀρχὴν τῷ μὴ ἔχειν ἕδραν τε καὶ τόπον, ἐν ᾧ μένει. τὸ μὲν γὰρ παρ' ἡμῖν,

*) Ald. προβουλήσεως.

**) Lacunae signum addidi. Quamvis enim nonnulla sequantur apud Aldum, quae ad hanc theoriam non pertinent, sed ad ipsam verborum explicationem, desunt tamen, ut quivis videt, ea, in quibus de animis in Acherontem demissis aliquid praedicebatur, et apodosis periodi inceptae verbis: ἐπειδὴ οὖν ἐν τῷ Φαίδωνι παρατίθεται . . . . . ἁμαρτημάτων. Reliqua enim parenthesin efficiunt, ne hanc quidem, ut significavimus, prorsus absolutam. Quod Wyttenbachius ad Platon. *Phaedon.* 312 (300) refert, Olympiodorum dicere h. l. se omnia haec fusius enarrasse in Commentario ad Phaedonem: equidem nusquam invenio, quamvis, oculis meis parum fidei tribuens, ubi Wyttenbachius loquitur, tum haec tum reliqua, quater et quinquies perlegerim. Mira praeterea est laudatio apud Wyttenbachium, cum conferre iubeat Olympiodori Comment. in Arist. Meteor. IV. p. 32!

***) Ald. τις.

ἐπὶ τῆς γῆς βέβηκεν. ἐκεῖνο δὲ ὃν ἐν τῷ κέντρῳ τῆς γῆς καὶ περὶ τὸ κέντρον, οὐκ ἔχειν ἕδραν, ἀλλὰ περὶ τὸ μέσον εἱλεῖσθαί τε καὶ ῥεῖν. κινούμενον δὲ καὶ ταλεῦον οὕτω, ποτὲ μὲν ἐπὶ τὰ πρὸς ἡμᾶς μέρη τοῦ κέντρου, ποτὲ δὲ ἐπὶ τὰ ἐπέκεινα τὴν ἐπίρρυσιν ποιεῖσθαι, ἐφ' ἃ ἂν κυμένη *). τὰ δὲ ἀπ' ἐκείνου ἀπορρέοντα ῥεύματα πολλαχοῦ λιμνάζειν, ὥσπερ καὶ παρ' ἡμῖν ἡ Θάλαττα. πάντα δὲ πάλιν ῥεῖν τε καὶ ἐπανιέναι ἐπὶ τὴν ἀρχὴν ὅθεν ἤρξατο ῥεῖν, τουτέστι τὸν Τάρταρον. πολλὰ μὲν κατὰ τοῦτο πάλιν περιϊόντα καὶ ἐκδιδόντα, ὅθεν τὴν ἀρχὴν ἀπερρύη, ἐπὶ γὰρ τὸ πρὸς ἡμᾶς μέρος τοῦ κέντρου, τὸ δὲ καὶ εἰς τὸν καταντικρὺ τόπον τῆς ἐκροῆς, ἕως περιελθόντα τὴν καθ' ἡμᾶς οἰκουμένην ἀπὸ τῶν κάτωθεν ὡς πρός ἡμᾶς ἐμβάλλειν εἰς αὐτὸν ἀπὸ τὸν πρὸς ἡμᾶς. εἶναι δὲ τὴν ἄνωθεν εἰς τὸ κάτω ῥύσιν τῷ ὕδατι μέχρι τοῦ τῆς γῆς μέσου, ἀφ' οὗ πάλιν κινούμενον οὐκέτι κάτω κινεῖται, ἀλλ' ἄνω· τὸν **) κάτω τόπον λεγόμενον εἶναι τὸ τῆς γῆς μέσον. τοὺς δὲ χυμοὺς καὶ τὰ χρώματα λαμβάνειν τὸ ὕδωρ παρὰ τῆς γῆς, δι' ἧς ἂν ῥέῃ, ὁποία ἂν ᾖ αὕτη. Alex. fol. 94, a.

II, 20. Ὅρα πῶς ὁ Πλάτων ὑποτίθεται περὶ τὸ μέσον τῆς γῆς τουτέστι τὸ κέντρον, εἱλῆσθαι τὸν Τάρταρον, ἐξ οὗ τὰ ῥέοντα καὶ μὴ ῥέοντα ἀναδίδωσι πάντα. ἀπὸ γὰρ τοῦ Τάρταρου φησὶ καὶ τὰ ῥέοντα ὕδατα, τουτέστιν αἱ πηγαὶ καὶ οἱ ποταμοί. καὶ μὴ ῥέοντα τουτέστιν ἡ θάλασσα, ἀναδίδονται καὶ πάλιν εἰς αὐτὸ χωροῦσιν ὥσπερ εἰς ὁλότητα. ἡμεῖς δὲ τοῦτο καὶ ἠθικῶς καὶ φυσικῶς ἀνεπτύξαμεν. ἠθικῶς μέν, ὅτι ὁ Τάρταρος τόπος ἐστὶ δικαστικός, ἐξ οὗ εἰσιν ἅπαντες οἱ δικαστικοὶ τόποι, Κωκυτός, Ἀχέρων, Πυριφλεγέθων, εἰς οὓς ἐμβάλλονται αἱ ψυχαὶ κατὰ τὰς διαφορὰς τῶν ἁμαρτάδων, αἱ μὲν ἀϊδίως κολασθησόμεναι διὰ τὸ ἀνίατα ἡμαρτηκέναι ἐν τῷ Ταρτάρῳ, πλὴν εἰ καὶ λέγω ἀϊδίως, μὴ δὴ νομίσῃς, ὅτι εἰς ἀπείρους αἰῶνας κολάζεται ἡ ψυχὴ ἐν τῷ Ταρτάρῳ· εὖγε οὖ

*) Ita Aldus, unde quale verbum scripserit Alexander extorquere nescio, nisi sit κυμήνῃ. Camotius fol. 18, b verlit: *quaecunque videlicet ipse fluctuat vel exundat.*

**) Ald. τῷ.

διὰ μῆνιν τοῦ θείου κολάζεται ἡ ψυχή, ἀλλ' ἰατρίας χάριν. ἀλλ' αἰωνίως φαμὲν κολάζεσθαι τὴν ψυχήν, αἰῶνα καλοῦντες τὸν αὐτῆς βίον καὶ τὴν μερικὴν αὐτῆς περίοδον. τῷ γὰρ ὄντι τὰ μέγιστα πλημμελήσασαι ψυχαί, οὐκ ἀρκοῦνται μιᾷ περιόδῳ καθαρθῆναι, ἀλλ' εἰσὶν ἐν τῷ βίῳ διηνεκῶς, ὥσπερ ἐν τῷ Ταρτάρῳ, ἣν περίοδον αἰῶνα ἐκάλεσεν ὁ Πλάτων. χρὴ δὲ καὶ τοῦτο μὴ ἀγνοεῖν, ὅτι ἕτερόν ἐστιν αἰώνιον καὶ ἕτερον τὸ ἀΐδιον*). τὸ γὰρ αἰώνιόν ἐστι τὸ ὅλον, ὡς ὅλον νῦν τὸ ἑστηρημένον παρεληλυθότος χρόνου καὶ μέλλοντος, ὅλον δ' ἐν τῷ καθεστῶτι νῦν ὑπάρχον. ἀΐδιον δ' ἐστὶν, ὃ καὶ αὐτὸ μὲν ἀεὶ ὑπάρχει, ἐν δὲ τοῖς τρισὶ χρόνοις θεωρούμενον **). ὅθεν αἰώνιον μὲν λέγομεν τὸν θεὸν διὰ τὸ μὴ ἐν χρόνῳ τὸ εἶναι ἔχειν, ἀλλὰ πάντα χρόνον καὶ ἑνεστῶτα καὶ παρωχηκότα καὶ μέλλοντα ὡς νῦν ἔχειν αὐτόν. αὕτη γὰρ ἡ φύσις τοῦ αἰωνίου. ἀΐδιον δ' οὐ λέγομεν, ἐπειδὴ οὔτε ἐν χρόνῳ ἔχει τὸ εἶναι, ἀλλ' εἰ ἄρα τὴν ὕλην ἀΐδιον ῥητέον ὡς ἐν χρόνῳ εἰδοποιουμένην καὶ πάλιν ἄλλα εἴδη προσλαμβάνουσαν τῶν πρώτων φθαρέντων. ὅθεν οὐ μόνον τὸν Τάρταρον ἐξηγησάμεθα, ἀλλὰ καὶ φυσικῶς φήσαντες, ὅτι τάρταρός ἐστιν ὕλη διὰ τὴν ἐνοῦσαν ***) αὐτῷ ταραχὴν καὶ στάσιν τῶν ἐναντίων. τὴν δ' ἐπίρρυσιν ποιεῖν ἐφ' ἑκάστου τοῦ ῥεύματος, διὰ τὸ σαλεύειν ἀεὶ τὸ πρῶτον καὶ τὴν ἀρχήν. τί φησιν ὅτι ὁ τάρταρος στάσιν μὴ ἔχων, ἀλλὰ σαλευόμενος ἀπὸ τόπου ἐπὶ τόπον, πέριξ τοῦ κέντρου ποιεῖ τὰς προχοὰς τῶν ποταμῶν καὶ πάντων τῶν ὑπὲρ γῆν ὑδάτων. ὅθεν πολλάκις ἑνὶ μέρει γινόμενος τοῦ κέντρου ἢ ἐκ τοῦ διαμέτρου τις ποταμὸς εἰς αὐτὸν παρῆλθεν, ἵνα ἔλθῃ

*) Quid sit αἰών explicat Aristoteles *de caelo* 1, 9: καὶ γὰρ τοῦτο τοὔνομα (αἰὼν) θείως ἐφθέγκται παρὰ τῶν ἀρχαίων. τὸ γὰρ τέλος τὸ περιέχον τὸν τῆς ἑκάστου ζωῆς χρόνον, οὗ μηδὲν ἔξω κατὰ φύσιν, αἰὼν ἑκάστου κέκληται. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὸ τοῦ παντὸς οὐρανοῦ τέλος, αἰὼν ἐστιν, ἀπὸ τοῦ ἀεὶ εἰληφὼς τὴν ἐπωνυμίαν, ἀθάνατος καὶ θεῖος.

**) Secundum Aristotelem *Ethic. Nicomach.* VI, 3: τὰ ἐξ ἀνάγκης, ὄντα ἁπλῶς, ἀΐδια πάντα. τὰ δὲ ἀΐδια ἀγέννητα καὶ ἄφθαρτα.

***) ἐνοῦσαν Ald.

πρὸς τὸν Τάρταρον. ὅθεν καὶ ἄνω καὶ κάτω ἀφικνεῖσθαι τὸ πρὸς αὐτὸν ἐρχόμενον ὕδωρ εἶπεν ὁ Ἀριστοτέλης. κάτω μὲν μέχρι τοῦ κέντρου, ἄνω δ' ἀπὸ τοῦ κέντρου ἐπὶ τὸν Τάρταρον, ὅπερ ἐστὶν ἄτοπον. Olymp. fol. 32, a—b.

III, 1. Διδάξας ἡμᾶς ὁ φιλόσοφος, ὅτι ὁλότης ἐστὶν ἡ θάλασσα τοῦ παντὸς ὕδατος συνηγορικῶς τε καὶ ἀντιλογικῶς (συνηγορικῶς μὲν διὰ τῶν $\overline{\delta}$ ἐπιχειρημάτων *)· ἑνὸς μὲν τοῦ λέγοντος, ὅτι ἀποκληρωτικὸς ἔσται ὁ λόγος τῶν ἄλλων στοιχείων ἐχόντων ὁλότητας, τὸ ὕδωρ μὴ ἔχειν, ἑτέρου δὲ τοῦ λέγοντος, ὅτι οἱ ποταμοὶ σπεύδουσιν εἰς τὴν θάλατταν ἐφιέμενοι ταύτης ὡς οἰκείας ὁλότητος, ἄλλου δὲ τοῦ λέγοντος, ὅτι ὁ ὑποκείμενος τῇ θαλάσσῃ τόπος δεκτικός ἐστι παντὸς ὕδατος, καὶ $\overline{\delta}$, ὅτι τὸν πάντων κοιλότατον ἐπέχει τόπον. ἀντιλογικῶς δὲ διὰ τοῦ δεῖξαι τὸν Τάρταρον μὴ ὄντα ὁλότητα τοῦ ὕδατος, καὶ διὰ τοῦ δεῖξαι, ὅτι ἁπλῆ ἐστιν ἡ θάλασσα καὶ οὐ σύνθετος. πρέπει γὰρ ταῖς ὁλότησι τὸ ἁπλᾶς εἶναι), νῦν καὶ ἐπὶ τὸ δεύτερον ἔρχεται πρόβλημα τὸ λέγον, τίς ἡ αἰτία τῆς ἁλμυρότητος τῆς θαλάττης. καὶ πρῶτον, ὡς ἔθος αὐτῷ διελέγχει τῶν φυσικῶν φιλοσόφων τὰς περὶ τῆς ἁλμυρότητος δόξας τέτταρας οὔσας· οἱ μὲν γὰρ ἔλεγον, ὅτι ἁλμυρὰ γίνεται ἡ θάλασσα, ἐπειδὴ τὸ ἐν αὐτῇ λεπτομερὲς καὶ πότιμον ἐξατμίζεται ὑπὸ τοῦ ἡλίου, μένει δὲ τὸ βαρὺ καὶ ἁλμυρόν. ἄλλοι δὲ ἔλεγον, ὅτι τοιαύτη ὑπάρχει φύσει οὖσα ἡ θάλασσα ἁλμυρά. ἄλλοι δέ, ὅτι εἰσβάλλοντες ἐν αὐτῇ ποταμοὶ ἐπισύρουσιν μεθ' ἑαυτῶν γῆν ἁλμυράν, ἥτις μιγνυμένη τῇ θαλάσσῃ μεταβάλλει τὸ ἐν αὐτῇ πότιμον εἰς ἁλμυρόν. ἄλλοι δὲ ἔλεγον, ὧν εἷς ὑπῆρχεν Ἡράκλειτος **), ὅτι ἱδρὼς ὑπάρχει τῆς γῆς ἡ θάλασσα. καὶ ὥσπερ ὁ τῶν ζῴων ἱδρώς, περίττωμα ὑπάρχων τοῦ σώματος, ἁλμυρός ἐστιν, οὕτω καὶ ὁ τῆς γῆς ἱδρώς, περίττωμα ταύτης ὑπάρχων, ἁλμυρὸς ὑπάρχει· καὶ οὕτως ἐστὶν ἡ θάλασσα ἁλ-

*) Quae quatuor argumenta iam in antegressis recensuerat.

**) Fugit hic locus Schleiermacheri sagacitatem, qui uti poterat his verbis *Mus. der Alterthumswissensch.* Tom. I. p. 384 sq. nisi, quod mihi quidem vero simile videtur, Heraclitum cum Empedocle confudit Olympiodorus.

μυρά. ταύτας δὲ τὰς δόξας ἐπαναλαμβάνει νῦν Ἀριστοτέλης, καὶ ἤδη ταύτας προαγαγών, ἵνα διελέγξῃ αὐτάς. ἀνωτέρω γὰρ μόνον τὰς δόξας παρήγαγεν, οὐ μὴν καὶ τὸν ἔλεγχον αὐτῶν. ἡμεῖς δ' ἔξωθεν καὶ τοὺς ἐλέγχους τινῶν αὐτῶν εἰρήκαμεν. νῦν δὲ μέλλων αὐτὰς διελέγχειν ἐπανέλαβε τὰς δόξας. εἰθ' οὕτως ἐπάγει τοὺς ἐλέγχους καὶ ἐλέγχει τὴν πρώτην αὐτῶν λόγῳ κεχορηγημένος τοιούτῳ. εἰ ὡς ὑμεῖς φατε, διὰ τὴν ἐξάτμισιν*) τοῦ ἡλίου γέγονεν ἁλμυρὰ ἡ θάλασσα. ἔδει θέρους μὲν εἶναι ἁλμυράν, χειμῶνος δὲ γλυκεῖαν, ἐπειδὴ θέρους μὲν γίνεται ἡ ἐξάτμισις, χειμῶνος δὲ ἀντικαταρρεῖ τὸ ἐξατμισθὲν καὶ μίγνυται τῇ θαλάσσῃ γλυκὺ ὄν. οὐ μόνον δὲ ἀλλὰ καὶ οἱ ποταμοὶ γλυκεῖς ὄντες μίγνυνται αὐτῇ. οὐκ ἔδει οὖν αὐτὴν εἶναι ἁλμυρὰν ἀεί, ἀλλὰ θέρους μόνον**). καὶ ταῦτα μὲν ἡ λέξις. σὺ δ' εἰπὲ καὶ ἔξωθεν ἄλλην αἰτίαν, ὅτι καὶ τοὺς ποταμοὺς ἔδει ἁλμυροὺς εἶναι, ἐπειδήπερ καὶ ἐξ αὐτῶν γίνεται ἡ ἐξάτμισις. δευτέραν δόξαν ἐλέγχει τὴν λέγουσαν, ὅτι φύσει τοιαύτη ἐστὶν ἡ θάλασσα, λέγων, ὅτι αὐτονομία ἐστὶ τὸ τοῦτο λέγειν, οὐκ ἀπόδειξις. ἄλλως τε εἰ ἐξ ἀρχῆς οὕτως ἦν φύσει ἁλμυρὰ ἡ θάλασσα, τί τὸ αἴτιον ὥστε πρῶτον μὲν ἁλμυρὸν ἀνάγεσθαι τὸ ἐξατμιζόμενον ὑπὸ τοῦ ἡλίου ἀπ' αὐτῆς, νῦν δὲ γλυκὺ εἶναι τὸ ἀναγόμενον. πρὸς δὲ τὴν τρίτην τὴν λέγουσαν, ὅτι ἴλυς ἐκ τῶν ποταμῶν μίγνυται τῇ θαλάττῃ ἐκ διαφόρων τόπων ἁλμυρῶν καὶ ποιεῖ αὐτὴν ἁλμυράν, φησίν, ὅτι δεῖ οὖν καὶ αὐτοὺς

*) Ald. ἐξάτμησιν, uti saepe. Supra iam pluribus locis de solenni errore, ex quo ι et η confunduntur, locuti sumus: exempla quaere apud Jacobs *Anthol. Palat.* Tom. III. p. 172. Schweighaeuser *Animadvers. in* Athen. Tom. IX. p. 166. Schneider *ad Schol.* Nicandr. 1. p. 176.

**) Quod si non omnino negarunt physicorum recentiorum nonnulli salsum esse mare hyemis tempore, fuerunt tamen, qui salsius esse aestate quam hieme contenderent; quocum opinione (quam falsam esse ex omnibus disquisitionibus apparet) cohaeret altera illa, diminui quantitatem salis, quam mare contineat, ab aequatore ad polos, quod non magis verum est, quamvis multi arbitrati sint, inter quos Richard *Histoire naturelle de l'air et des météores.* Vol. V p. 85.

τοὺς ποταμιοὺς ἁλμυροὺς εἶναι, εἴγε πρῶτον αὐτοῖς ἐγκαταμίγνυται ἡ ἁλμυρὰ ἰλύς. ἄλλως τε μᾶλλον ἐπιτήδειόν ἐστι τὸ ὀλίγον ὕδωρ πρὸς τὸ ἐκ τῆς ἰλύος ποιωθῆναι, ἥπερ τὸ πολύ. ὀλίγον δὲ τὸ τῶν ποταμῶν ὕδωρ πρὸς τὸ τῆς Θαλάττης. ἁπαντᾷ *) δὲ καὶ πρὸς τὴν τετάρτην ὑπόθεσιν τὴν Ἡρακλείτιον ὁ φιλόσοφος τὴν λέγουσαν, ὅτι ἱδρώς ἐστι τῆς γῆς ἡ Θάλασσα, τὸν τρόπον τοῦτον. ἐπειδὴ γάρ φησιν ὁ ἱδρὼς ἐν τοῖς ζῴοις γινόμενος ἢ καὶ ἁπλῶς εἰπεῖν, ἅπαν περίττωμα ἁλμυρὸν γίνεται διὰ δύο αἰτίας, ἢ διὰ παρέμπτωσιν ἀπέπτου τινὸς οὐσίας, ὥσπερ ἐν τῇ δευτέρᾳ πέψει, λέγω δὴ τοῦ ἥπατος, καὶ γὰρ τῷ οὔρῳ συνεμπίπτει τις ἄπεπτος οὐσία, ἥτις ἐν τοῖς ὑελίνοις ἀγγείοις ἐμφαίνεται ὑφισταμένη. αὕτη γὰρ ποιεῖ τὸ πᾶν οὖρον ἁλμυρὸν διὰ τὸ εἶναι αὐτὴν ἄπεπτον. δραπετεύουσα γὰρ τὸ θερμὸν συμμίγνυται τῷ οὔρῳ, ἢ διὰ τὸ ἐξατμισθῆναι τὸ λεπτομερὲς ἀπὸ τῆς ὑποκειμένης ὑγρότητος καὶ μεῖναι τὸ παχὺ καὶ γεῶδες, ὥσπερ ἐπὶ τῆς τρίτης πέψεως περιττώματα, λέγω δὴ ἱδρώτων. ἐν αὐτοῖς γὰρ τὸ μὲν ἀερῶδες ἐξατμίζεται καὶ χωρεῖ εἰς τὰ μόρια τρέφον αὐτά. τὸ δὲ παχυμερὲς ἁλμυρὸν ὄν, ποιεῖ τοὺς ἱδρῶτας. Olymp. fol. 33, a. b.

III, 22. *Τίς ἄρα ἡ κατὰ Ἀριστοτέλην αἰτία τῆς ἁλμυρότητος τῆς Θαλάσσης· ἆρα ἡ ὑποκειμένη γῆ τῇ Θαλάσσῃ; οὐ δῆτα. τοῦτο γὰρ οὐ περιπατητικόν, ἀλλὰ Θεοφράστειον. εἰ γὰρ Θεόφραστος τοῦτο ἔλεγεν, ὅτι ἡ ὑποκειμένη γῇ αἰτία ὑπάρχει τῆς ἁλμυρότητος, καὶ ἄλλως τε οὐχ ἡ ὑποκειμένη γῇ αἰτία ἐστίν. εἰ γὰρ οὕτως συνέβαινε καὶ τοὺς περὶ Θάλατταν ὀρυττομένους λάκκους ἁλμυρὸν περιέχειν ὕδωρ, εἴπερ ἡ γῇ αἰτία ἦν τούτου. ἀλλὰ μὴν οὐ πάντως ἐστὶν ἁλμυρὸν τὸ ἐν τούτοις εὑρισκόμενον ὕδωρ, ἀλλὰ κατὰ τὸ σπάνιον. οὐκ ἄρα ἡ ὑποκειμένη γῇ αἰτία τῆς ἁλμυρότητος γίνεται. καὶ τίς ἄρα; λέγομεν, ὅτι τις ἄπεπτος οὐσία παρεμπίπτουσα ἐργάζεται τὴν ἁλμυρότητα, τουτέστιν ἡ καπνώδης ἀναθυμίασις, οὐκ ἐκ τῆς ὑποκειμένης γῆς ἀνιοῦσα, ὡς Θεόφραστος ἔλεγεν, ἀλλ' ἐκ τῆς πέριξ γῆς· καὶ ταύτης οὐ τῆς τυχούσης, ἀλλὰ ἐκ τῆς ἀπέπτου,

*) Ald. ἥπαντᾷ.

ἤντινα ἤρξατο μὲν πέττειν τὸ θερμόν. οὐκ ἐκράτησε δέ, ἀλλὰ μόνον περιέφριξε διὰ τὸ μὴ πεφυκέναι πρὸς πέψιν, ὥσπερ ἐπὶ τέφρας τῶν ξύλων. καὶ ταύτην γὰρ οὐκ ἴσχυσε πέψαι τὸ θερμόν, καὶ ἔστιν ἄπεπτος οὐσία. ἐκ τῆς οὖν τοιαύτης γῆς τῆς ἀπέπτου τις οὐσία οὔτε ὡς τροφὴ παρείληπται τρεφομένου, οὔτε μεμένηκεν ἐν τῷ κατὰ φύσιν (περιέκαυσε γὰρ αὐτὴν τὸ θερμόν), γεννᾶται ἡ καπνώδης ἀναθυμίασις, ἥτις ἡ κάτω μένει περίγειος ἀλθαλώδης οὖσα καὶ γεώδης καὶ μιγνυμένη τῇ θαλάσσῃ ποιεῖ αὐτὴν ἁλμυρὰν καὶ βαρεῖαν, ἡ ἀπόγειος γίνεται καὶ μίγνυται τοῖς θερινοῖς καὶ φθινοπωρινοῖς ὑετοῖς καὶ ποιεῖ αὐτοὺς ἁλμυρούς· ὡσαύτως δὲ καὶ ἐν τῇ νοτίᾳ χώρᾳ τὸ αὐτὸ τοῦτο ποιεῖ διὰ τὸ πολλὴν εἶναι τὴν ἐκεῖσε καπνώδη ἀναθυμίασιν. ὅθεν ἐν Θηβαΐδι ἁλμυροὶ γίνονται οἱ ὄμβροι καὶ ῥαγδαῖοι διὰ τὸ ἐγκαταμίγνυσθαι ἐν αὐτοῖς τὴν καπνώδη ἀναθυμίασιν *). ἀλλ' ἄξιόν ἐστιν ἀπορεῖν. εἰ γὰρ διὰ τὴν ἀναδιδομένην ἐκ τῆς ἐκκαομένης γῆς καπνώδη ἀναθυμίασιν γίνεται ἁλμυρὰ ἡ θάλαττα, ἔδει καὶ τοὺς ἄλλους ποταμοὺς ἁλμυροὺς εἶναι διὰ τὴν ἐκείνης πρὸς αὐτῆς ἐγκατάμιξιν. ἢ ῥητέον, ὅτι χρεία καὶ στάσεως, ἵνα γένηται ἡ κρᾶσις τῆς καπνώδους ἀναθυμιάσεως τοῖς ποταμοῖς. αὐτοὶ δὲ ῥέουσιν ἀπαύστως καὶ τούτου χάριν οὐκ ἐπιδέχονται τὴν μῖξιν, ἄλλως τε τῆς καπνώδους ἀναθυμιάσεως ἀεὶ τὸν κοιλότατον τόπον διωκούσης. ἐπειδὴ κοιλότατος πάντων ἐστὶν ὁ περὶ τὴν θάλασσαν τόπος, εἰκότως ἐκεῖ συναθροιζομένης αὐτῆς ἁλμυρὰν ποιεῖ τὴν θάλατταν. Olymp. fol. 34, b.

III, 32. Ἐν γὰρ τῷ περὶ χυμοῦ αὐτῶν μονοβίβλῳ λέγει περὶ τούτων **). Olymp. fol. 36, a., quem cfr. etiam fol. 37, a., ubi eadem recurrunt.

*) Cfr. Olympiodor. fol. 18, a. et fol. 35, b. De salsis imbribus disputavimus in libello: *Ueber die Feuerkugeln und Nordlichte* p. 5 sq. et in *Meteorol. vet. Graec. et Roman.* I, 3 p. 28.

**) Talem librum conscriptum esse ab Aristotele aliunde non innotuit, sed a Theophrasto profectum esse, qui hunc indicem in fronte teneret, ex Diogen. Laërtio V, 43 certum est. Aristotelicum libellum nescio an finxerit Olympiodorus. Etenim

III, 39. *Καὶ διὰ τῆς παρούσης λέξεως ὁ Ἀριστοτέλης τὸ αὐτὸ πάλιν κατασκευάζει διὰ πέντε ἐπιχειρημάτων, ὅτι ἁλμυρά ἐστιν ἡ θάλασσα διὰ τὸ συμμίγνυσθαι αὐτῇ τινὰ γεώδη οὐσίαν, τουτέστι καπνώδη ἀναθυμίασιν. ἔστι δὲ τὸ νῦν λεγόμενον *) πέντε ἐπιχειρημάτων τὸ πρῶτον τοιοῦτον. εἰ ὁρῶμεν, ὅτι πᾶν ἁλμυρὸν παχύ, καὶ ὅσον ἂν ἐπιτείνηται ἡ παχύτης, τοσοῦτον καὶ ἡ ἁλμυρότης, ὡς εἶναι τὸ παχύτατον ἁλμυρότατον, δηλονότι ἡ θάλασσα ἁλμυρά ἐστιν ἐπειδὴ καὶ παχεῖα. παχεῖα δ' ἐστὶ διὰ τὸ συμμεμίχθαι αὐτῇ τὴν καπνώδη ἀναθυμίασιν παχυτάτην οὖσαν. ὅτι γὰρ ὅσον παχύτατόν ἐστι τὸ ὕδωρ, τοσοῦτον γίνεται ἁλμυρότερον, δῆλον. ἰδοὺ γὰρ ἡ ἐν Παλαιστίνῃ νεκρὰ μυθευομένη θάλασσα παχυτάτη οὖσα, ἁλμυροτάτη πάντων ἐστὶ τῶν ὑδάτων **). καὶ ὅτι παχυτάτη ἐστί, δῆλον. εἰ γάρ τις ἄνθρωπον ἢ ἕτερόν τι ζῶον καταδήσας ἐμβάλλοι εἰς τὸ τῆς νεκρᾶς θαλάττης ὕδωρ, ἀνωθεῖται ὑπὸ τοῦ ὕδατος καὶ οὐ γίνεται ὑποβρύχιον διὰ τὸ εἶναι παχὺ πάνυ, καὶ βαστάζει τὸ ἐμπεσόν. καὶ μή τις λεγέτω, ὅτι τῇ νηκτικῇ δυνάμει ἐπινήχεται τὸ ζῷον. ὑπόκειται γὰρ δεδεμένον. οὕτω μὲν οὖν δήλη ἐστὶν ἡ τοῦ ὕδατος παχύτης. ἀλλὰ καὶ ὅτι ἁλμυρώτατον ὕδωρ ἐστὶ, δῆλον. πρῶτον μέν, ὅτι ῥυπτικόν ἐστι παντὸς ῥύπου. σημεῖον γὰρ τὸν ῥύπον τῶν ἱματίων ἥπερ ***) ἄλλο τι σημῆνα. τὸ δὲ ῥύπτειν ἄκρας ἐστὶν ἁλμυρότητος. ἰδοὺ γὰρ ἅλες μὲν καὶ αὐτοὶ ῥύπτουσι. νίτρον δὲ πλέον ὡς ἐπιτεταμένην ἔχον τὴν ἁλμυρότητα, ἥπερ οἱ ἅλες. ὅθεν καὶ διὰ τὴν*

Alexander fol. 97, b ait: *εἰπὼν δὲ τοὺς χυμοὺς μιγνυμένου τινὸς τῷ ὕδατι γίνεσθαι καὶ τοιούτους, ὁποῖον ἂν ᾖ τὸ μιγνύμενον, ὑπερτίθεται τὸν περὶ τούτων λόγον, ὡς ὄντα ἄλλης πραγματείας. τῆς γὰρ περὶ χυμῶν ἴδιος ὁ περὶ τούτων λόγος.* et ad §. 48. fol. 98, b: *εἰρῆσθαι δὲ περὶ αὐτῶν φησι κατ' ἰδίαν ἐν ἄλλοις. τῆς γὰρ περὶ χυμῶν πραγματείας ἡ περὶ τούτων οἰκεία θεωρία* — unde vel maxime patet Alexandrum iam tale opus ante oculos non habuisse.

*) Scr. *λεγομένων.*

**) Cfr. Hermbstädt in *Abhandl. der Berl. Akad. der Wissensch. Phys. Cl.* $18\frac{2}{17}$. p. 63 sqq.

***) Ald. *ἥπερ.*

ἐπίτασιν ὑπερπικρόν ἐστι τὸ νίτρον. ἔπειτα καὶ τὸ εἶναι ἄγονον τὸ ὕδωρ. τοῦτο δῆλόν ἐστιν ὑπερβαλούσης ἁλμυρότητος. οὐδὲ γὰρ ἰχθύς, ἢ ἄλλο τι ἐγγίνεται ζῷον τῇ νεκρᾷ θαλάσσῃ διὰ τὴν ἁλμυρότητα καὶ πικρότητα. ἀλλ' ἄξιόν ἐστιν ἀπορίας, τί δήποτε ὁ φιλόσοφος μυθεύεσθαι εἶπε τὴν νεκρὰν θάλασσαν, καίτοι ἐναργοῦς ὄντος τοῦ τοιούτου ὕδατος. ἢ λέγομεν, ὅτι μυθεύεσθαι αὐτὴν εἶπε κατὰ τὸ λέγεσθαι νεκράν· νεκρὰ γὰρ λέγεται παντελῶς διὰ τὸ ἄγονον εἶναι παντελῶς. εἰ δὲ φυσικὸς φιλόσοφος Ἀριστοτέλης μυθικῶς περὶ αὐτῆς διέλαβε, νεκρὰν αὐτὴν λέγων, ἄτοπον οὐδέν. εἴγε καὶ ἐν τοῖς φυσικοῖς ἐστί τι μυθῶδες, οἷον ἡ φαντασία. καὶ γὰρ αὕτη οἱονεί τις μῦθός ἐστι. τὰ γὰρ μύθους ποιεῖ μορφοῦσα τὰ ἄμορφα καὶ σχηματίζουσα τὰ ἀσχημάτιστα. ὡς καὶ ὁ μῦθος τοῖς ἀσωμάτοις σῶμα καὶ πάθη καὶ ὅσα τοιαῦτα περιτίθησι *). τοῦτο μὲν τὸ πρῶτον ἐπιχείρημα. δεύτερον ἐπιχείρημα. ὅτι γὰρ πᾶσα ἁλμυρότης ἀπὸ γεώδους ἐπιμιξίας γίνεται, δῆλον. ἐπειδὴ περὶ τὴν Δωδώνην παρὰ Θεσπρωτεῦσίν ἐστί τις κρήνη ὑφάλυκον ἔχουσα ὕδωρ. καὶ τοῦτο τὸ ὕδωρ ἑψῶντες οἱ Θεσπρωτεῖς καὶ ψύχοντες, ἅλας ποιοῦσι πηγνύμενον. οἵπερ ἅλες ἐλλιπεῖς τῶν παρ' ἡμῖν κατά τε τὴν γεῦσιν καὶ τὴν σύστασιν καὶ τὸ χρῶμα. οὔτε γὰρ οὕτως εἰσὶν ἁλμυροί, ἐπειδὴ ἧττόν εἰσιν ἁλμυροὶ οἱ ἀπὸ ποτίμου ὕδατος ἢπερ οἱ ἀπὸ θαλάττης. ἀλλὰ μὴν οὔθ' οὕτως σκληροί, ἐπειδὴ οὐκ ἔχει τοσαύτην γεώδη οὐσίαν συγκαταμεμιγμένην, ὥσπερ ἡ θάλαττα. ἀλλὰ καὶ τὸ χρῶμα ἧττόν ἐστι λευκὸν τῶν παρ' ἡμῖν διὰ τὸ ἧττον ἐναπολαμβάνειν πνεῦμα. λεπτομερὲς γὰρ ὂν τὸ ὕδωρ, ἑτοίμως διαφορεῖ τὸ πνεῦμα καὶ οὐ ποιεῖ πολλὴν κίνησιν τοῦ ὕδατος, ἵνα λευκανθῇ. τὸ δ' ἐν τῇ θαλάττῃ ὕδωρ παχύτατον ὄν, οὐκ εὐχερῶς διατέμνεται. κἀντεῦθεν μένοντος ἐν αὐτῇ τοῦ πνεύματος, καὶ πολυειδῶς κινοῦντος, λευκότατοι ἅλες γίνονται. οὐκ ἂν δὲ ἔχοντες ἅλας ποιοῦσι. πηγνύμενον δὲ ἅλες ἐγένετο, εἰ μὴ παχεῖα ἐγκαταμέμικτο οὐσία τῷ ὕδατι. αὕτη δ' ἡ κρήνη **) ἀπορρεῖ εἰς

*) Τὰ γὰρ φαντάσματα, ὥσπερ αἰσθήματά ἐστιν, πλὴν ἄνευ ὕλης. Aristot. de anima. III, 8.

**) Ald. κρίνη.

τινα γλυκὺν ποταμὸν πλησίον ὄντα ἰχθῦς δ' οὐκ ἔχοντα. ὅθεν ἄξιόν ἐστιν ἀπορίας, τί δήποτε μὴ ὄντος ἁλμυροτάτου τοῦ ὕδατος καὶ ἀγόνου ἰχθύες οὐ γίνονται. καὶ ἔστι τούτου ἀποδοῦναι αἰτίαν μυθικῶς τε καὶ φυσικῶς. μυθικῶς μέν, ὅτι λέγεται τὸν Ἡρακλέα τὰς ἐξ Εὐρυσθέως *) ἄγοντα βοῦς, ἐκεῖθεν παρεληλυθέναι· εἶτα ἐρωτήσαντα τοὺς περὶ Δωδώνην ὅ τι θέλοιεν, πότερον τὴν κρήνην ἅλας αὐτοῖς ποιεῖν, ἢ τὸν ποταμὸν ἰχθύας, αὐτοὶ **) μᾶλλον εἵλοντο τὴν κρήνην ἅλας ποιεῖν. οὕτω μυθικῶς· φυσικῶς δέ, ὅτι τὸ τοῦ ποταμοῦ ὕδωρ ψυχρότατον φέρεται κατὰ πετρωδῶν χωρίων, ἅτινα μᾶλλον ἐπιτείνουσιν αὐτοῦ τὴν ψυχρότητα. καὶ διὰ τοῦτο οὐκ ἐστι ζωογόνον. τὸ γὰρ γόνιμον πρὸς τὸ θερμόν ἐστι μᾶλλον ***). τοῦτο καὶ τὸ δεύτερον. τρίτον ἐπιχείρημα· ὅτι γὰρ πᾶσα ἁλμυρότης ἐξ ἐπιμιξίας οὐσίας γεώδους γίνεται, δῆλον. ἰδοὺ γὰρ ἐν Ὀμβρικοῖς χώρα δέ ἐστιν ἑλώδης ἡ τοιαύτη, ἐν ᾗ κάλαμοι καὶ σχοῖνοι γίνονται πλεῖστοι. τούτους καίοντες οἱ τῆς χώρας καὶ ἀποτεφροῦντες καὶ τὴν τέφραν εἰς ὕδωρ ἀφεψῶντες καὶ ψύχοντες τὸν ἐπίπαγον ἅλας εὑρίσκουσιν. ὁρᾷς, πῶς γεώδους οὐσίας ἐστὶν ἡ ἁλμυρότης. οὐκοῦν καὶ ἡ θάλασσα ἁλμυρὰ οὖσα, ὑπὸ γεώδους οὐσίας ἁλμυρὰ γίνεται, τουτέστι καπνώδους ἀναθυμιάσεως. τοῦτο καὶ τὸ τρίτον. τέταρτον ἐπιχείρημα· εἰ γὰρ ὁρῶμεν, ὅτι πᾶν ὕδωρ ἁλμυρὸν θερμόν ἐστιν ἢ δυνάμει, ἢ ἐνεργείᾳ· δυνάμει μέν, ὡς τὰ ἐν Τύρῳ, ἅτινα καὶ Παιωνίαν †) ἔχει θερμήν· ἐνεργείᾳ δέ, ὡς τὰ ἐν Γαδείροις ††). ταῦτα γὰρ καὶ ἁλμυρά ἐστιν αἰσθητῶς Παιωνίαν ἔχοντα κατὰ

---

*) Ita Ald. Scr. *Εὐρυθείας.* **) Ald. *αὐτὸ*

***) Aristot. *de generat. animal.* II, 3: *πάντων μὲν γὰρ ἐν τῷ σπέρματι ἐνυπάρχει, ὅπερ ποιεῖ γόνιμα εἶναι τὰ σπέρματα, τὸ καλούμενον Θερμόν.*

†) Ald. *Παιονίαν.* cfr. Schneider ad Theophrast. *Histor. plantar.* IX, 8, 6.

††) De fonte Herculis apud Gaditanos, qui cum mari ita fuerit connexus, ut cum fluxu augeretur, deficeret cum refluxu, multus est Strabo III, p. 261 A. sqq. Sed is dulces haustus praebuit et *πότιμον ὕδωρ.* — Caeterum apud Aldum est *Γαδάροις.*

τὴν δύναμιν. ἡ δὲ καπνώδης ἀναθυμίασις θερμοτάτη. δῆλον ὅτι πᾶν ἁλμυρὸν ὕδωρ τὴν καπνώδη ἀναθυμίασιν ἔχει συμμεμιγμένην. οὐκοῦν καὶ ἡ θάλασσα. ταῦτα γὰρ τὰ αὐτοφυῆ θερμὰ ὕδατα, εἰ μὲν ἐπιτεταμένην ἔχει τὴν θερμασίαν, ἁλυκὰ γίνονται. εἰ δὲ ἀνειμένην ὑφάλυκα, ὡς δοκεῖν γλυκέα εἶναι. τοῦτο τὸ τέταρτον ἐπιχείρημα· ὅτι γὰρ πᾶν ἁλμυρὸν ἐπιμιξίαν ἔχει γεώδους οὐσίας. τὸ γὰρ ὕδωρ καθ' ὕδωρ ἄποιόν ἐστι γευστικῆς ποιότητος. μόνον γὰρ ἁπτικὴν ἔχει ποιότητα τὸ ὕδωρ ὡς ὕδωρ χυμῶν δέ τινων ἐπιμιγνυμένων, γίνεται γευστόν. λοιπὸν δὲ πρὸς τὴν διαφορὰν τῶν χυμῶν γίνεται τὸ ὕδωρ ἢ ἁλμυρόν, ἢ πικρόν, ἢ ὀξύ. ἱστορεῖ γὰρ αὐτὸς Ἀριστοτέλης πικρὰ καὶ ὀξέα ὕδατα κατὰ τὴν γεῦσιν. πᾶς δὲ χυμὸς ἐκ γεώδους οὐσίας συνίσταται. ταῦτα περὶ θαλάσσης φυσιολογήσας καὶ ποταμῶν ὁ φιλόσοφος ἄνεισι πάλιν ὅθεν καὶ ἀπέστη. καὶ ἀνακεφαλαιοῦται πάλιν τὸν περὶ ἀνέμων λόγον. Olympiodor. fol. 36, a. b.

IV, 1. Δῆλον, ὅτι ἐκ τῆς καπνώδους ἀναθυμιάσεως γίνονται οἱ ἄνεμοι, οὐκ ἐξ ἀέρος κινουμένου. εἶτ' ἐν μέσῳ ἀπορεῖ ὁ φιλόσοφος, ὅτι τί δήποτε ἐν τοῖς αὐχμιώδεσι καὶ τοῖς ἐπόμβροις ἔτεσιν οὐχ ὁμοίως πᾶσαι αἱ πόλεις καὶ αἱ χῶραι αἱ ὑπὸ τὸν αὐτὸν παράλληλον οὖσαι ἀπολαύουσι τῶν ὑετῶν ἢ τῶν αὐχμῶν. ἀλλ' αἱ μὲν μᾶλλον, αἱ δὲ ἧττον. ἐχρῆν γάρ φησι πάσας τὰς ὑπὸ τοὺς αὐτοὺς παραλλήλους οὔσας πόλεις ὁμοίως διακεῖσθαι κατὰ τὸ ὑγρὸν καὶ αὐχμηρόν. καὶ δίδωσι πάλιν τρεῖς ἐπιλύσεις. πρῶτον μέν, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον πᾶσαι αἱ ὑπὸ τὸν αὐτὸν οὖσαι παράλληλον τῶν ὁμοίων ἀπολαύουσι, σπανίως δὲ οὐ τῶν ὁμοίων. φυσικοῦ δὲ φιλοσόφου ἐστὶ περὶ τὰ ὡς ἐπὶ πολὺ γινόμενα καταγίνεσθαι. ἔπειτα δ' ὅτι συμβαίνει ἐν ταῖς ὑπὸ τὸν αὐτὸν παράλληλον οὔσαις χώραις ποῦ μὲν πλείονα ἀναδίδοσθαι τὴν καπνώδη ἀναθυμίασιν, ποῦ δὲ τὴν ἀτμιδώδη. καὶ τούτου χάριν παραλλάσσειν κατὰ τὰς κράσεις. εἶπε δὲ καὶ ἄλλως, ὅτι συμβαίνει τοῦτο διὰ τὴν θέσιν τῆς πόλεως ἢ τῆς χώρας, εἰ γὰρ καὶ αὐχμηρὸν εἴη τὸ ἔτος, εἴη δὲ ἡ μὲν πόλις παραθαλασσία ἢ παρὰ ποταμοὺς ἢ παρὰ λίμνας, ὥσπερ ἡ ἡμετέρα πόλις, ἡ Ἀλεξάνδρεια λέγω, κεκόσμηται. ὅθεν θέρος ἐκεῖ ψυχρόν, καίτοι καὶ τῆς Αἰγύπτου καὶ

τῆς Λιβύης θερμοτάτης οὔσης. εἰ δ' εἴη ἐν κοίλῳ τόπῳ καὶ πνιγηρῷ, ἔνθα μὴ ἔστι παραρρέον ὕδωρ, δῆλον ὅτι οὐχ ὁμοίως ἀπολαύουσιν αὗται αἱ πολεῖς τοῦ αὐχμοῦ, εἰ καὶ ὑπὸ τὸν αὐτὸν παράλληλόν εἰσιν, ἄλλαι μὲν μᾶλλον, ἄλλαι δ' ἧττον διὰ τὴν θέσιν. Olympiod. fol. 37, b. — Plurimis interpositis, quae minime digna sunt, quae adscribantur, ita pergit: Ὁρῶμεν, ὅτι τεσσάρων ὄντων ἀνέμων καθολικῶν οἱ μὲν δύο, ἀπηλιώτης φημὶ καὶ ζέφυρος οὐκ ἀεὶ σφοδρότατοι, βορρᾶς δὲ καὶ νότος τυραννικώτατοί εἰσιν. αἴτιον δέ, ὅτι ἐν μὲν τῷ βορείῳ καὶ νοτίῳ πόλῳ μὴ γινόμενος ὁ ἥλιος οὐ θερμαίνει τὰ ἐκεῖσε χωρία, ἀλλὰ μένει ψυχρά· ψυχρὰ δὲ μένοντα, ἀεὶ ἐνικμά ἐστιν, ὥστε ὄμβρων πολλῶν γινομένων διὰ τὴν ψύξιν, εἶτα τῆς γῆς διαβρόχου γινομένης, πολλὴ καπνώδης ἀναθυμίασις ἐκδίδοται, ὡς ἤδη εἴρηται. καὶ τούτου χάριν σφοδροὶ ἄνεμοι γίνονται ὁ βορρᾶς καὶ ὁ νότος. ἐν δὲ τοῖς ἀνατολικοῖς καὶ τοῖς δυτικοῖς χωρίοις κινούμενος ὁ ἥλιος οὐκ ἐᾷ ψύξιν γενέσθαι πολλήν, ἔνθεν οὔτε πολὺς ὑετός, ἔνθεν οὔτε πολλὴ καπνώδης ἀναθυμίασις, ἅτε τῆς γῆς μὴ διαβροχομένης· οὐ γίνονται διὰ τοῦτο ἄνεμοι σφοδροὶ καὶ ἐντεῦθεν. ἀλλ' ἄξιόν ἐστιν ἀπορῆσαι, πῶς δυνατὸν πάλιν τὰ νότια μέρη γίνεσθαι ψυχρά, εἴγε ἀλεεινότατος καὶ ἀληθινότατος ἄνεμός ἐστιν ὁ νότος διὰ τὸ θερμὸν καὶ ξηρόν; ἢ λέγομεν, ὅτι λέγει εἶναι ψυχρὰ νῦν οὐ τὰ πρὸς ἡμᾶς, ἀλλὰ τὰ ὡς πρὸς τὸ πᾶν; ἢ καπνώδη ἀναθυμίασιν λέγει ἐκ τῶν νοτίων μερῶν γίνεσθαι πολλήν, οὐ λόγῳ ψύξεως καὶ ὄμβρων, ὥσπερ ἐν τῷ ἀρκτικῷ μέρει γίνεται, ἀλλὰ τῷ πολλὴν εἶναι γῆν ἐν τοῖς νοτίοις μέρεσιν, ἥπερ ἐν τοῖς βορείοις· τὸ γὰρ πλέον τῆς γῆς ἐν τῷ νοτίῳ μέρει ἐστίν, ὡς πρὸς ἡμᾶς δίκην τυμπάνου ἀναπεπταμένου, ἐν δὲ τοῖς βορείοις, δίκην ὀμφαλοῦ. διὰ γοῦν τὸ πολλὴν εἶναι γῆν ἐν τοῖς νοτίοις, πολλὴ γίνεται ἡ καπνώδης ἀναθυμίασις· τὸ γὰρ ἐν ἑκάστῳ μορίῳ τῆς γῆς ἐκείνης ἀναδιδόμενον ὀλίγον εἰς ἓν συναθροιζόμενον, ποιεῖ πολλὴν ἀναθυμίασιν καὶ σφοδρότατον ἄνεμον. ἐν δὲ τοῖς βορείοις ὀλίγη μέν ἐστιν ἡ γῆ, ἀλλ' ἐνικμος. διὰ γὰρ τὴν ψύξιν ὄμβροι γίνονται, καὶ διὰ τὸ ἔνικμον τῆς γῆς πολλὴ γίνεται ἡ καπνώδης ἀναθυμίασις, οὐ διὰ τὸ πλῆθος τῆς γῆς. οὕτω μὲν οὖν παραμυθητέον τὸν λόγον, ᾧ δῆλον,

ὅτι ὁ ἄνεμος ἀπὸ καπνώδους γίνεται ἀναθυμιάσεως, οὐκ ἀπὸ ἀέρος. καὶ ταῦτα μὲν ἡ λέξις. φέρε δὲ καὶ ἡμεῖς προσευπορήσωμεν. ἔκτον ἐπιχείρημα. ὅτι γὰρ ὁ ἄνεμος ἐκ τῆς καπνώδους ἀναθυμιάσεως, οὐκ ἐκ τοῦ ἀέρος, δῆλον. ἐπειδὴ ἐν μέσῳ πελάγει οὐχ οὕτως ἐστὶ σφοδρὸς ὁ ἄνεμος, ὥσπερ ἐν τοῖς περὶ τὸν αἰγιαλὸν κόλποις καὶ τόποις. τούτου δ' αἴτιον, ὅτι ἐν τοῖς κόλποις πλησίον ἐστὶ τὸ ποιητικὸν αἴτιον τοῦ ἀνέμου. λέγω δὴ ἡ καπνώδης ἀναθυμίασις, ἥτις ἀνιοῦσα ἐκ τῆς γῆς ποιεῖ τὸν ἄνεμον σφοδροτέρως ἐκεῖσε τοῦ ἀέρος κινουμένου. ἀλλὰ μὴν ὁρῶμεν, ὅτι νηνεμία ἐστὶν ἐν ταῖς κορυφαῖς τῶν ὑψηλοτάτων ὀρῶν, ὡς μήτε γράμματα ἐπὶ σποδιᾶς γραφέντα σκεδάννυσθαι. δῆλον ὅτι οὔκ ἐστιν ἀὴρ κινούμενος ὁ ἄνεμος. Olympiod. fol. 37, b. 38, a.

IV, 23. Ἐζήτησεν ὁ μέγας φιλόσοφος, τί δήποτε τοῦ μεσημβρινοῦ ὄντος κἀκεῖ οὐ μεσημβρινοῦ. καὶ ἐπελύσατο λέγων, ὅτι διὰ τὸν ἥλιον ἐπὶ τοῦ μεσημβρινοῦ γινόμενον ποιεῖν ἅπερ ἐν τοῖς νοτίοις γινόμενος ποιεῖ. ὥσπερ γὰρ ἐν τοῖς νοτίοις μέρεσιν ὢν τὴν σκιὰν ἡμῶν ποιεῖ ἐπὶ βορρᾶν πίπτειν, διὰ τὸ ἀφίστασθαι κατὰ κορυφήν, οὕτω καὶ ἐν τῷ μεσημβρινῷ ὢν τὸ αὐτὸ ποιεῖ. καὶ οὕτω γὰρ ἡ σκιὰ ἡμῶν ἐπὶ βορρᾶν πίπτει. Olymp. fol. 38, b.

Δείξας ὁ φιλόσοφος, τίς ἡ ὕλη τῶν ἀνέμων, ὅτι οὐχ ὡς Ἱπποκράτης ἔφησεν ἀὴρ κινούμενός ἐστιν ὁ ἄνεμος, ἀλλ' ἐκ τῆς καπνώδους ἀναθυμιάσεως γίνονται, εἰκότως μετὰ τὴν ὕλην αὐτῶν περὶ τῆς λοξῆς κινήσεως διαλέγεται, ἐπειδὴ ἔχει ἀπορίαν, πῶς ὑπὸ τῆς καπνώδους ἀναθυμιάσεως γινόμενοι λοξὴν ἔχουσι τὴν κίνησιν, τῆς καπνώδους ἀναθυμιάσεως ἀνωφεροῦς οὔσης καὶ κούφης, εἴπερ ἐξ αὐτῆς γίνονται. καί φησιν, ὅτι αἰτία ἐστὶ τῆς λοξῆς τοῦ ἀνέμου κινήσεως ἡ τοῦ παντὸς κυκλοφορία. ἔνθεν ἀπατηθεὶς ὁ Ἀφροδισιεὺς καὶ νομίσας λέγειν τὸν Ἀριστοτέλην πρὸς τὴν φορὰν τοῦ παντὸς κινεῖσθαι τοὺς ἀνέμους *), τουτέστιν ἀπὸ ἀνατολῶν εἰς δυσμάς. ἄτοπον γὰρ ἔπε-

*) Quod revera etiam noster ait Alexander, cuius verba deinde adscribemus.

ται. ἔδει γὰρ ὅσον ἐπὶ τούτῳ πάντας ἀπηλιώτας εἶναι. ηὐτόλμησε πρὸς Θεόφραστον, καὶ μᾶλλον ἐκεῖνον ἀποδέχεται λέγοντα τὴν αἰτίαν τῆς λοξῆς αὐτῶν κινήσεως. ἔλεγε γὰρ ὁ Θεόφραστος, ὅτι λοξῶς κινοῦνται οἱ ἄνεμοι διὰ τὸ ἀνομοιομερῆ αὐτῶν εἶναι τὴν ὕλην, τουτέστι τὴν καπνώδη ἀναθυμίασιν. τὸ μὲν γὰρ αὐτῆς ἐστι γεῶδες, τὸ δὲ κοῦφον. καὶ τοῦ μὲν ἐπὶ τὰ κάτω βρίθοντος, τοῦ δ' ἐπὶ τὰ ἄνω ἕλκοντος, γίνεται μέση τις κίνησις λοξή. καὶ διὰ τοῦτο λοξῶς οἱ ἄνεμοι κινοῦνται. ὥσπερ καὶ ἐπὶ τοῦ κατ' ἐκπυρηνισμὸν γινομένου διάττοντος ἐλέγομεν. ἀλλ' αὕτη μὲν ἡ ὑπόθεσις ἐλέκται **) ἐν τῷ πρώτῳ βιβλίῳ. ὁ μέντοι Ἀφροδισιεὺς ταύτην μᾶλλον ἀποδέχεται ἤπερ τὴν Ἀριστοτέλους, ἣν ἄτοπον οὖσαν οἴεται. ὁ μέντοι μέγας φιλόσοφος, ὁ ἡμέτερος πρόγονος, οἷον τροφεῖα ἀπονέμων Ἀριστοτέλει, ἐλευθεροῖ αὐτὸν τῆς τοιαύτης ἀτοπίας. δείκνυσι γάρ, ὅτι οὐχ ὡς ὁ Ἀφροδισιεὺς ᾠήθη, τοῦτο λέγει Ἀριστοτέλης, ὅτι πρὸς τὴν φορὰν τοῦ παντὸς κύκλῳ κινοῦνται οἱ ἄνεμοι (οὐδαμοῦ γὰρ τοῦτο ἐλέγχεται λέγων ὁ Ἀριστοτέλης), ἀλλ' ὅτι τῆς λοξῆς αὐτῶν κινήσεως αἰτία ἐστὶν ἡ κυκλοφορία. ἀνιούσης γάρ φησιν ὁ μέγας φιλόσοφος τῆς καπνώδους ἀναθυμιάσεως μέχρι τοῦ κυκλοφορουμένου ἀέρος τοῦ περὶ τὰς ἀκρωρείας, κἀκείνῳ προσπταιούσης καὶ διελθεῖν αὐτὸν μὴ δυναμένης, τοῦτο μὲν διὰ τὸ ὀξέως κινεῖσθαι ἐκεῖνον τὸν ἀέρα, καὶ τῇ ὀξείᾳ κινήσει λανθάνοντα τὴν καπνώδη ἀναθυμίασιν καὶ μὴ διαιρούμενον δι' αὐτῆς δίκην τῶν ὀξέως περιστρεφομένων βαναύσων **). καὶ ταῦτα γὰρ τὸ ἐν αὐτοῖς ὕδωρ οὐ μεθίησι διὰ τὴν ὀξύτητα τῆς κινήσεως. τοῦτο δὲ διὰ τὴν παχυτέραν εἶναι ἐκείνην τὴν καπνώδη ἀναθυμίασιν, καὶ μὴ εὐθέως διεισδύειν εἰς τὸν κυκλοφορούμενον ἀέρα. προσπταίουσα τοίνυν αὕτη τούτῳ τῷ ἀέρι καὶ πάλιν ἀποπαλλομένη ὡς ἐπὶ τὰ κάτω, πεπλανημένην ποιεῖται τὴν κίνησιν, τουτέστι λοξήν, καὶ γίνεται τηνικαῦτα ὁ ἄνεμος. Olymp. fol. 38, b. — — Nonnullis deinde interiectis, quae scire nihil interest, pergit fol. 39, a: φησίν, ὅτι ἄκριτός ἐστι καὶ χαλεπὸς ὁ Ὠρίων, τουτέστιν ἄ-

*) Ald. ἐλήλεκται.

**) Cfr. ad Excerpt. I, 12, 5. p. 231.

τακτος καὶ ἀνώμαλός ἐστιν ἡ τούτου ἐπιτολὴ καὶ δύσις, ἐπειδὴ ποτὲ μὲν ἀνέμους ποιεῖ, ποτὲ δὲ νηνεμίας. ἀνώμαλος δέ ἐστιν, ἐπειδὴ καὶ ἀνωμάλοις ὥραις ποιεῖ τὰς φάσεις· ἡ μὲν γὰρ ἐπιτολὴ αὐτοῦ ἐν τῷ ἔαρι *) γίνεται, ὅταν ὁ ἥλιος ἐν ταύρῳ γένηται, ὅθεν καὶ οἱ ναυτικοὶ παραφυλάττονται τὴν ἡμέραν κδ τοῦ Παχών, ὅτε γίνεται ἡ ἐπιτολὴ τοῦ Ὠρίωνος, παχίτιν **) αὐτὴν ἀποκαλοῦντες διὰ τὸ ἐν τῷ Παχὼν αὐτὴν γίνεσθαι. ἡ δὲ κρύψις αὐτοῦ πάλιν ἐν τῷ φθινοπώρῳ γίνεται, ὅταν ὁ ἥλιος ἐν τῷ σκορπίῳ· ἐπειδὴ οὖν ἐν ἀνωμάλοις ὥραις ἔχει τὰς φάσεις, ἀνώμαλον ποιεῖ καὶ τὸν ἀέρα κατὰ τοὺς ἀνέμους. ἀλλ' εἰ καὶ λέγω, ὅτι ἀνώμαλον τὸ ἔαρ καὶ τὸ φθινόπωρον, ἀλλ' οὐχ ὁμοίως. μᾶλλον γὰρ ἀνώμαλον τὸ φθινόπωρον ἢπερ τὸ ἔαρ ἐπειδὴ ἐν μὲν τῷ ἔαρι ἄρχεται τὸ θερμὸν ἐπικρατεῖν καὶ ὁμαλῶς ἐπικρατεῖ, ποτὲ μὲν †) νικῶν, ποτὲ δὲ ἡττώμενον διὰ τὸ δραστικώτατον εἶναι· ἐν δὲ τῷ φθινοπώρῳ ἄρχεται τὸ ψυχρὸν ἐπικρατεῖν ἀνωμάλως, ποτὲ μὲν ἡττώμενον, ποτὲ δὲ περιγινόμενον. καὶ διὰ τοῦτο μᾶλλον ἀνώμαλον τὸ φθινόπωρον. ἐφ' οἷς ὁ φιλόσοφος καὶ περὶ ἐτησίων διαλέγεται. φησὶ γάρ, ὅτι γίνονται οὗτοι βόρειοι μετὰ εἴκοσιν ἡμέρας τῆς θερινῆς τροπῆς, τουτέστι περὶ τὴν τοῦ κυνὸς ἐπιτολήν. τηνικαῦτα γὰρ τῆς χιόνος λυομένης γίνονται αὖραι ψυχραὶ βόρειοι, αἵ τινες ἐτησίαι λέγονται. ἀλλ' ἄξιόν ἐστιν ἀπορίας, τί δήποτε μὴ ἐν αὐτῇ τῇ θερινῇ τροπῇ γίνονται οἱ ἐτησίαι, ὅτε ὁ ἥλιός ἐστι κατὰ κορυφὴν ἐν καρκίνῳ. τηνικαῦτα γὰρ θερμότατός ἐστιν. εἰ δὲ θερμότατος, λύεται μᾶλλον τότε ἡ χιών. ὡς οὖν τότε λυομένης, μᾶλλον τότε ἔδει γίνεσθαι τοὺς ἐτησίους. μετὰ δὲ τὴν θερινὴν τροπήν, ἐπειδὴ ἀπέστη τοῦ κατὰ κορυφὴν †*) γινόμενος ἐν λέοντι, ἀμυδροτέραν ἔχει τὴν θερμασίαν. πῶς οὖν τότε γίνονται ††) οἱ ἐτησίαι; ἢ λέγομεν, ὅτι γινόμενος κατὰ κορυφὴν ὁ ἥλιος θερμότατος μέν ἐστιν, ἀλλ' οὐχ ἅμα τῷ γενέσθαι θερμότατος λύει καὶ τὴν χιόνα. ἀλλὰ δεῖται καὶ χρόνου

*) Ald. *ἀέρι.*

**) Ita Aldus. Fortasse scribendum *παχωνῖτιν.*

†) Ald. *μήποτε.*

†*) Sc. *τόπου* vel *σημείου.*

††) Ald. *γίνεται.*

πρὸς τὸ ποιῶσαι τὸν ἀέρα καὶ θερμάναι. εἶθ' οὕτως θερμανθέντος τοῦ ἀέρος λύεται ἡ χιών; ἐπειδὴ οὖν ὄντος τοῦ ἡλίου ἐν τῇ θερινῇ τροπῇ θερμοτάτου, οὐκ εὐθέως ἐποιώθη ὁ ἀὴρ ὅλος τῇ θερμότητι, τούτου χάριν οὐκ ἐλύθη πᾶσα ἡ χιών. ἀλλ' εἴ που εὑρέθη μέρος τι ἐξ αὐτῆς λεπτομερὲς καὶ εὐτηκτον, ἐκεῖνο ἐλύθη μόνον, οὗ ἡ ἀναδιδομένη ἀτμὶς βραχυτάτη οὖσα, εὐθέως ἀνεπόθη ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος. καὶ οὐκ ἐποίησεν αὖραν, ἵνα γένωνται ἐτησίαι. ὅτε δὲ λοιπὸν μετέλθῃ ὁ ἥλιος ἐν λέοντι, καὶ γένηται λοιπὸν ἡ τοῦ κυνὸς ἐπιτολὴ μετὰ κ̄ ἢ κε̄ ἡμέρας τῆς θερινῆς τροπῆς, φθάνῃ ἐκείνη ἡ θερμότης, ἣν ἀπέθετο ὁ ἥλιος ἐν τῷ ἀέρι, ὅτε ἦν ἐν θερινᾶις τροπᾶις ἐκθερμάναι τὸν ἀέρα. τότε οὖν ἐκθερμανθεὶς ὁ ἀὴρ λύει χιόνα καὶ τηνικαῦτα γίνονται ἐτησίαι. αὕτη μὲν οὖν ἡ αἰτία τοῦ γίνεσθαι τοὺς ἐτησίας μετὰ τὰς θερινὰς τροπάς, καὶ οὐκ ἐν αὐταῖς ταῖς τροπαῖς. ἐκεῖνο*) δὲ πάλιν ἀποῤῥητέον τίς ἡ ἀποκλήρωσις, ὥστε βορείους μὲν ἐτησίας εἶναι, μηκέτι δὲ καὶ νοτίους. ἢ λέγομεν, ὅτι εἰσὶ καὶ νότιοι ἐτησίαι, ὡς ἀπὸ τοῦ πρὸς τὸ πᾶν νότου, ἀλλ' ἡμῖν ἀνεπαίσθητοί εἰσι διὰ τὸ πλεῖστον ἡμῶν ἀφίστασθαι; τύχα δὲ καὶ οἱ ἐκεῖσε οἰκοῦντες τὸ αὐτὸ ἂν ἀπορῶσι. τί δήποτε μόνον πρὸς αὐτοὺς νότιοί εἰσιν, οὐκέτι δὲ καὶ βόρειοι ἐτησίαι; ἢ ῥητέον, ὅτι οὐ μόνον ἀπὸ τοῦ πρὸς τὸ πᾶν νότου εἰσὶν ἐτησίαι, ἀλλὰ καὶ ἀπὸ τοῦ καθ' ἡμᾶς νότου. οὗτοι δὲ μετὰ ἑβδομήκοντα ἡμέρας τῆς χειμερινῆς τροπῆς ἄρχονται πνεῖν τοῦ ἡλίου ὄντος ἐν ἰχθύσιν, οὕς τινας οἱ μὲν Ἀλεξανδρεῖς ῥόδωνας καλοῦσι, διὰ τὸ περὶ τὸν καιρὸν τῶν ῥόδων ἄρχεσθαι πνεῖν. ὁ δὲ Ἀριστοτέλης λευκονότους τε καὶ ὀρνιθίας. λευκονότους μὲν διὰ τὸ ἀτάραχον καὶ γαλήνιον τῆς πνοῆς, ὀρνιθίας δὲ διὰ τὸ ἐπιτηδείους αὐτοὺς εἶναι πρὸς τὴν τῶν ὀρνίθων γένεσιν **).

---

*) Ald. ἐκεῖνος.

**) Alii alias etymologias proposuere; nonnulli appellatum esse dicunt ventum ab hirundinis visu primoque avium adventu, veluti Plinius *Hist. natur.* II, 47. Columella *de re rustica.* XI, 2; nonnulli, quia tanto saeviat frigore, ut volucres mortui ex aëre decidant, quemadmodum Schol. Aristophan. *Acharn.* 877.

τηνικαῦτα γὰρ πνεόντων αὐτῶν ὠοτοκοῦσιν οἱ ὄρνιθες, ὡς καὶ χωρὶς τῆς τοῦ ἄρρενος μίξεως. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐκ τῶν γινομένων ὠῶν ἐπανεμίων *). οὕτω ζῳογόνον ἐστὶ τοῦτο τὸ πνεῦμα. ταῦτα παραδίδωσιν ἡ μετὰ χεῖρα λέξις. Olymp. fol. 39, a.

Εἰπὼν ἀπὸ ποίας ἀναθυμιάσεως οἱ ἄνεμοι γίνονται, νῦν λέγει τὴν αἰτίαν, δι' ἣν τῆς τοιαύτης ἀναθυμιάσεως εἰς τὸ ἄνω φερομένης, οἱ ἄνεμοι οὐ κάτωθεν ἄνω πνέουσιν, ἑπόμενοι τῇ ἀναθυμιάσει, ἀλλὰ εἰς τὰ πλάγια. οὐ γὰρ ἀπὸ τῆς γῆς πνέουσιν, ἀλλ' ἐπὶ τὴν γῆν. λέγει δὲ πάντα τὸν περικείμενον τῇ τε γῇ καὶ τῷ ὕδατι ἀέρα ἕπεσθαι τῇ ἐγκυκλίῳ φορᾷ, τῇ τοῦ κυκλοφορικοῦ σώματος. σὺν τούτῳ καὶ τοὺς ἀνέμους. ἀπορήσειε δ' ἄν τις, εἰ διὰ τοῦτο οἱ ἄνεμοι λοξοὶ καὶ εἰς τὰ πλάγια φέρονται, διότι καὶ ὁ ἀὴρ, ἐν ᾧ ἡ σύστασις αὐτῶν, κύκλῳ ἐμπεριάγεται ὑπὸ τοῦ κυκλοφορικοῦ σώματος, πρῶτον μὲν, ὅτι μὴ ἔσται ἡ κατὰ φύσιν κίνησις αὕτη τῶν ἀνέμων. οὐδὲ γὰρ τοῦ ἀέρος ταύτην λέγομεν εἶναι κατὰ φύσιν, ἐπεὶ μὴ ἐξ αὐτοῦ τήνδε κινεῖται. τίς οὖν ἡ κατὰ φύσιν κίνησις αὐτοῖς; δεύτερον δέ, εἰ διὰ τοῦτο εἰς τὰ πλάγια κινοῦνται διὰ τὸ καὶ τὴν τοῦ παντός, ἔδει καὶ τοὺς ἀνέμους ἐπὶ ταῦτα φέρεσθαι. νῦν δὲ οὐχ οὕτως. εἰσὶ γάρ τινες οἳ καὶ τὴν ἐναντίαν πνέουσι τῇ περιφορᾷ. ὥσπερ οἱ ἀπὸ δυσμῶν ἐπ' ἀνατολὴν πνέοντες. Θεόφραστος δὲ τὴν αἰτίαν τῆς κινήσεως τῆς λοξῆς τοῖς ἀνέμοις φησὶ γίνεσθαι, διὰ τὸ μὴ ἁπλῶς αὐτοὺς ἐκ ξηρᾶς τε καὶ θερμῆς ἀναθυμιάσεως γίνεσθαι. ἄνω γὰρ ἂν ἐφέροντο **). ἀλλ' εἰ καὶ τοῦτο

διότι ὑπὲρ τὴν γῆν τὰ ὄρνεα στορέννυσιν ὑπὸ τῆς τοῦ ψύχρους πνοῆς (cfr. Foes. ad Hippocratis *Opp.* Sect. VII. p. 336, D), quorum de frigore consentit Hippocrates *Epidem.* VII. p. 871 extrem.

*) Cfr. Plin. *Histor. natur.* X, 80. Schneider ad Arist. *Histor. animal.* VI, 2, 6. Tom. III. p. 408 sq.

**) Haec verba inter Theophrastea fragmenta retulit Schneiderus Tom. V. p. 216. sed male ut mihi videtur ad Physica pertinere censuit. Sunt ex libris *de meteoris* (περὶ μεταρσίων), quorum quartum laudat Plutarchus *Quaest. Gr.* c. 7. et ex quo depravata esse arbitror, quae de via lactea ex Theophrasti mente

αἴτιον αὐτοῖς, τῆς εἰς τὸ πλάγιον κινήσεως, ἐπιζητήσειεν ἄν τις, τί δήποτε συνεύοντες πρὸς ἡμᾶς φέρονται, ἀλλ' οὐκ εἰς τὸ ἀντικείμενον. ἡ δὲ αἰτία τούτου τοῦτο, τῶν μὲν νοτίων τὰ κατὰ γῆν ὄντα διακεκαυμένα καὶ ξηρά, πανταπάσιν ἐμποδίζει αὐτῶν τὴν ἐπέκεινα φοράν, τῇ καύσει μαραίνοντα τὴν ἀναθυμίασιν. τῶν δὲ βορείων πάλιν πνευμάτων τὰ κατόπιν κατεψυγμένα, τῇ πήξει κωλύει τὴν φορὰν αὐτῶν τὴν ἐπέκεινα. διὸ καὶ ἀπορίας φησὶν ἄξιον εἶναι ὁ Ἀριστοτέλης, ποτέρωθεν τὴν ἀρχὴν τὰ πνεύματα λαμβάνει, πότερον ἄνωθεν καὶ ἀπὸ τῆς ἐγκυκλίου φορᾶς, ἢ κάτωθεν ἀπὸ τῆς γῆς. φαίνεται γὰρ ἡ κίνησις τοῖς πνεύμασιν ἄνωθεν τὴν ἀρχὴν λαμβάνειν· διὸ καὶ πρὶν ἄρξασθαι πνεῖν, ὁ ἀὴρ ἐπίδηλος γίνεται, ὡς ἐσομένου πνεύματος. ἀλλὰ κἂν νέφος τι ἢ ἀχλὺς ᾖ κινούμενον, τοῦτο ὑποσημαίνει πνεῦμα. ὡς ἤδη μὲν ἐκεῖ τῆς ἀρχῆς οὔσης τοῦ πνεύματος, μηδέπω δὲ ἐληλυθυίας πρὸς ἡμᾶς. διὸ τῆς μὲν κινήσεως τοῖς πνεύμασιν ἄνωθεν χρὴ ἡγεῖσθαι γίνεσθαι τὴν ἀρχήν. οὐδέπω γὰρ ἄνεμος μέχρι ἂν οὕτως ἄρξηται φέρεσθαι, ἧς φορᾶς ἐκεῖθεν ἡ ἀρχή. ἐπεὶ δὲ ὁ ἄνεμός ἐστιν οὐχ ἁπλῶς κίνησις εἰς τὸ πλάγιον, ἀλλὰ πλῆθός τι τῆς ξηρᾶς ἀναθυμιάσεως περὶ τὴν γῆν κινούμενον, δῆλον ὡς ἐξ ἀμφοτέρων ἡ ἀρχὴ τῶν ἀνέμων. τῆς μὲν γὰρ περὶ τὴν γῆν κινήσεως τῶν ἀνέμων, ἄνωθεν ἡ ἀρχή. τῆς δὲ ὕλης τοῦ ἀνέμου καὶ τοῦ τὴν ἀρχὴν ἄνεμον γενέσθαι κάτωθεν, ὅθεν ἡ ἀναθυμίασις. ἡ γὰρ φορὰ τῶν πορρωτέρων, τουτέστι τῶν πολὺ ἀφεστώτων ἀφ' ἡμῶν, καὶ κύκλῳ κινουμένων σωμάτων, κυριωτέρα τῆς γῆς αἰτία τοῦ κινεῖν τὴν ἀναθυμίασιν. ἅμα δὲ καὶ κάτωθεν μὲν τῇ ἀναθυμιάσει εἰς ὀρθὸν καὶ ἐπ' εὐθείας ἡ φορά, ἥτις οὐκ ἔστιν ἀνέμου κίνησις. εἰ γὰρ ἦν ἡ γῆ τῆς εἰς τὸ πλάγιον κινήσεως αἰτία τῇ ἀναθυμιάσει, ἔδει πλησίον αὐτῆς οὖσαν τὴν ἀναθυμίασιν εἰς τὸ πλάγιον φέρεσθαι. πᾶν γὰρ αἴτιον ἐγγὺς μᾶλλον ἰσχύει. ἡ δὲ ἀναθυμίασις τῇ γῇ, οὐχ ὅταν ἄνω ἀνενεχθῇ, ἀλλ' ὅταν αὐτῇ πλησίον ᾖ. ἡ μέντοι τῆς γενέσεως ἀρχὴ τοῖς πνεύμασι *), ὅτι ἐκ τῆς γῆς ἐστιν. ἐκ γὰρ ταύτης ἡ ἀναθυμίασις. Alex. fol. 100, b.

---

posuit Macrobius *Somn. Scipion.* I, 15. p. 79. Gronov. a nobis in Commentar. ad I, 8 adscripta. — *) Videtur excidisse δῆλον.

V, 4. Ἐπιζητήσαι *) δ' ἄν τις, πῶς εἰπὼν πρὸ ὀλίγου περὶ Ὠρίωνος ἀνατολὴν καὶ μάλιστα γίνεσθαι νηνεμίαν, νῦν λέγει καὶ ἀνατέλλοντος τοῦ Ὠρίωνος καὶ δυομένου, ἄκριτα γίνεσθαι καὶ χαλεπὰ τὰ πνεύματα. δόξει γὰρ αὐτῷ μαχόμενα λέγειν. ἢ οὐχ ὁ αὐτὸς δηλοῦται χρόνος, ὑπό τε τοῦ περὶ Ὠρίωνος ἀνατολήν, καὶ ὑπὸ τοῦ Ὠρίων ἀνατέλλων. Διὸ οὐδὲν κωλύει νηνεμίας γινομένης πρὸ τῆς ἐπιτολῆς αὐτοῦ, ἐν τῇ ἐπιτολῇ ἄκριτα γίνεσθαι καὶ χειμέρια πνεύματα. αἰτίαν δὲ τοῦ καὶ δυομένου καὶ ἐπιτέλλοντος αὐτοῦ, γίνεσθαί φησιν ἄκριτα τὰ πνεύματα τὸ ἑκατέραν καὶ τὴν δύσιν αὐτοῦ καὶ τὴν ἐπιτολὴν ἐν μεταβολαῖς ὡρῶν γίνεσθαι. δύεται μὲν γὰρ ἐν τῇ εἰς χειμῶνα μεταβολῇ, ἐπιτέλλει δὲ ἐν τῇ ἐκ θέρους εἰς μετόπωρον. αἱ δὲ μεταβολαὶ τῶν ὡρῶν **) ἄστατοι, τῷ ἀμφοτέρων πως μετέχειν καὶ τὰ μηδ' ἑτέρας ἔχειν εἰλικρινῶς ***). ἐν τοῖς τοιούτοις δὴ καιροῖς ἐπιτέλλων τε καὶ δύμενος, ἐξ αὐτῶν †) ἔχουσι τὸ εὐκίνητόν τε καὶ εὔτρεπτον, ἐπιδηλότερον τὸν χειμῶνα ποιεῖ. καὶ Θεόφραστος δὲ ἐν τῷ περὶ ἀνέμων ††), περὶ

*) Ald. Ἐπιζητῆσαι.

**) Ald. ὁρῶν.

***) Ita Ald. Cfr. Commentar. ad I, 4.

†) Ald. αὐτῶν.

††) Diogenes Laërtius V, 42. laudat περὶ ἀνέμων α et sect. 45. περὶ πνευμάτων α, praeter varios de meteoris libros, unde patet, comparato hoc loco, libellum, quem nunc habemus, seorsim exstitisse. Caeterum sunt verba ex §. 55. p. 779 ed. Schn. qui h. l. comparare neglexit. — Initio addidit αἱ — ἐν μεταβολαῖς omisso ταῖς — πάντα μάλιστα πέψυκεν addito vocabulo intermedio. — Deinde ἐν ἀρχῇ bis positum. — Pro μηδεμίαν editur μίαν, vocabulo μηδέ uncis incluso. — Pro ὅθεν δὴ καὶ χαλεπὸς λέγεται apud Schn. est καὶ χαλεπὸς δὲ λέγεται. — Ipse etiam Aristoteles singularem περὶ ἀνέμων libellum conscripsisse fertur ab Achille Tatio c. 33. p. 91 ed. Petav. Obiter moneam etiam Callimachum tale opusculum eiusdem argumenti et indicis edidisse, ex quo pauca servavit Suidas et ad quod pertinere arbitror fragmentum apud Stephanum Byzantinum s. v. Θήβη, quod Bentleius ad eiusdem librum περὶ θαυμασίων

τούτων οὕτω λέγει· Ἐπ' Ὠρίωνος δ' ἀνατολῇ καὶ δύσει τῶν πνευμάτων ἀκρισίαι συμβαίνουσιν, ὅτι ἐν ταῖς μεταβολαῖς αἰεὶ πάντα πέφυκεν ἀοριστεῖν. ὁ δ' Ὠρίων ἀνατέλλει μὲν ἀρχῇ ὀπώρας, δύνει δ' ἐν ἀρχῇ χειμῶνος, ὥστε διὰ τὸ μήπω καθεστάναι μηδεμίαν ὥραν, τῆς μὲν γινομένης, τῆς δὲ παυομένης, ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάστατα καὶ ἄκριτα εἶναι, διὰ τὸ ἐπαμφοτερίζειν ἐξ ἑκατέρας. ὅθεν δὴ καὶ χαλεπὸς λέγεται καὶ δύνων καὶ ἀνατέλλων. ἔτι διὰ τὸ μέγεθος τοῦ ἄστρου. ἐκ πολλῶν γὰρ ἀστέρων καὶ πολὺ μέρος κατέχει. διὸ οὐ πᾶς ἅμα οὔτε δύεται, οὔτε ἐπιτέλλει, ἀλλ' ἐν πολλαῖς ἡμέραις. διὸ καὶ παρατείνει ὁ χειμών. Alex. fol. 101, a. b.

V, 5. Μετῆλθεν εἰς τὸν περὶ τῶν ἐτησίων λόγον, καὶ φησιν, ὅτι μετὰ τὰς θερινὰς τροπὰς περὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν πνέουσιν μετὰ εἰκοσιν ἡμέρας τῆς θερινῆς τροπῆς. ἀλλ' ἄτοπον λέγει μετὰ τὰς εἰκοσιν ἡμέρας ἐν τῇ τοῦ κυνὸς ἐπιτολῇ. οὐ γὰρ εἰκοσι μόνον εἰσὶν ἡμέραι, ἀλλὰ κε, ἀπὸ τῆς τροπῆς μέχρι τῆς ἐπιτολῆς τοῦ κυνός. ἢ ῥητέον, ὅτι διττὴ ἡ ἐπιτολή, ἡ μὲν ἀληθής, ἡ δὲ φαινομένη. ἡ μὲν οὖν ἀληθής ἐστιν ὅταν ἡ σύνοδος τοῦ ἡλίου καὶ τοῦ κυνός, ἡ δὲ φαινομένη, ὅταν ἐκφύγῃ τὰς ἡλιακὰς αὐγὰς ὁ κύων καὶ ὀφθῇ τῇ ἡμῶν ὄψει. ἀπὸ οὖν τῆς τροπῆς μέχρι τῆς ἀληθοῦς ἐπιτολῆς εἰσιν εἰκοσιν ἡμέραι. μέχρι δὲ τῆς φαινομένης κε. κατ' ἄμφω οὖν ἀληθές. Olymp. fol. 40, a.

V, 10. Φέρε τὸ προαναβληθὲν τῇ προτεραίᾳ, καθάπερ τι χρέος ἀποδώσομεν. καὶ ζητήσωμεν, πῶς δυνατόν ἐστι κατασκευάσαι, ὅτι ὁ νότος ἄνεμος οὐχ ἀπὸ τοῦ νότου πρὸς τὸ πᾶν ἐνθάδε πνεῖ, οὐκ ἀπὸ τῆς χειμερινῆς τροπῆς, ἀλλ' ἀπὸ τῆς πρὸς ἡμᾶς οἰκουμένης, τουτέστιν ἀπὸ τῶν θερινῶν τροπῶν. ἀλλ' ἵνα τοῦτο ποιήσωμεν, φέρε τὴν πᾶσαν γῆν διελόντες εἴς τινα τμήματα ταύτῃ τῇ διαιρέσει τῆς γῆς ὡς λήμματι χρησώμεθα. δεῖ τοίνυν μέγιστον κύκλον νοῆσαι περὶ τὰ πέρατα

ἀκουσμάτων, sive quomodo laudat Antigonus Carystius c. 144 ἐκλογὴν τῶν παραδόξων referre mavult.

τῆς γῆς ὄντα καὶ περιέχοντα τὴν σύμπασαν γῆν. οὗτος κεκλήσθω ὁρίζων. τούτου τοίνυν τεθέντος τὸ μέσον αὐτοῦ, τουτέστιν οὗτινες ἐφάπτονται τοῦ ὁρίζοντος, κατὰ δύο σημεῖα ἕκαστος. ἄλλος δέ τις κύκλος μέγιστος ἐγκαρσίως τεμνέτω τοὺς δύο κύκλους. τεμνέσθω δὲ καὶ αὐτὸς ὑπὸ τοῦ ὁρίζοντος, κατὰ δύο σημεῖα ἕκαστος *), ὥσπερ καὶ οἱ ἄλλοι, τούτου οὕτω κατασκευασθέντος. μεταξὺ τῶν παραλλήλων καὶ τοῦ ὁρίζοντος ἔξ τινες χῶραι ἐναπολαμβάνονται. τρεῖς μὲν ἐκ δεξιῶν τοῦ μέσου παραλλήλου, ὅστις καὶ μέγιστός ἐστι πάντων διὰ τὸ εἶναι διάμετρον τοῦ ὁρίζοντος (εἴρηται γὰρ ἐν γεωμετρίᾳ, ὅτι μεγίστη εὐθεῖα ἐν κύκλῳ ἐστὶν ἡ διάμετρος), τρεῖς δ' ἐξ ἀριστερῶν. καλοῦνται δ' οἱ μὲν ἀκρόπολοι οἱ παράλληλοι, οἵ τινές εἰσι πλησίον τοῦ ὁρίζοντος, ὁ μὲν ἀρκτικός, ὁ δὲ ἀνταρκτικός. μετὰ δὲ τὸν ἀρκτικὸν ὁ ἐφεξῆς παράλληλος θερινὸς κεκλήσθω τροπικός· ὁ δὲ ἐφεξῆς κείμενος τῷ θερινῷ τροπικῷ, ὅστις καὶ μέγιστός ἐστι διὰ τὸ εἶναι διάμετρον, ἰσημερινὸς [τροπικός]. ὁ δὲ ἐφεξῆς αὐτῷ ἀναλόγως κείμενος τῷ θερινῷ τροπικῷ χειμερινὸς τροπικὸς κεκλήσθω. τούτων οὕτως ἐχόντων αἱ μὲν μεταξὺ χῶραι τῶν δύο ἀκροπόλων, τοῦ τε ἀρκτικοῦ καὶ τοῦ ἀνταρκτικοῦ, ὀμφαλοὶ κεκλήσθωσαν ἀπὸ τοῦ σχήματος, ἐπειδὴ ὡς τμήματα μικρὰ κύκλου εἰσίν. αἱ δὲ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἀρκτικοῦ πόλου (ὁμοίως δὲ καὶ ἐν τῷ ἄλλῳ μέρει μεταξὺ τοῦ ἀνταρκτικοῦ καὶ τοῦ χειμερινοῦ τροπικοῦ), αὗται αἱ χῶραι τύμπανα κεκλήσθωσαν, διὰ τὸ ἐοικέναι κώνοις κολούροις. ἡ δὲ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ χειμερινοῦ χώρα, ἐν ᾗ ἀπολαμβάνεται καὶ ὁ ἰσημερινὸς τροπικός, διακεκαυμένη κεκλήσθω. τούτων οὕτω προδιατυπωθέντων, ἰστέον, ὅτι τούτων ἓξ τμημάτων δύο μόνον οἰκοῦνται, λέγω δὴ ἡ **) μεταξὺ τοῦ ἀρκτικοῦ πόλου καὶ τοῦ θερινοῦ τροπικοῦ, ἔνθα καὶ ἡμεῖς οἰκοῦμεν, ἥτις εἰς ἑπτὰ κλίματα τέμνεται. ἄλλη δὲ ἡ ταύτης ἀνάλογος αὕτη ἐστίν, ἡ μεταξὺ ἀνταρκτικοῦ πόλου καὶ χειμερινῆς τροπῆς. ἀλλὰ αὕτη λόγῳ μόνον οἰκεῖται, διὰ τὸ ὑπαγορεύειν τὸν λόγον

*) Aldus inepte repetit verba ἄλλος δέ τις . . . . ἕκαστος.
**) Ald. αἱ.

εὔκρατον εἶναι, ὥσπερ καὶ τὴν καθ' ἡμᾶς ζώνην. οὐκ ἀκριβῶς δ' ἴσμεν, τίνες οἰκοῦσιν ἐκεῖσε, διὰ τὸ μὴ δύνασθαι μήτε ἡμᾶς ἐκεῖσε πορεύεσθαι, μήτ' ἐκείνους πρὸς ἡμᾶς διὰ τὴν διακεκαυμένην ζώνην μέσην οὖσαν *). οὐ μέντοι αἱ ἀπὸ τοῦ ἀρκτικοῦ πόλου καὶ ἀνταρκτικοῦ ἐμπεριεχόμεναι χῶραι οἰκοῦνται; διὰ τὸ μέσον τὸ ψῦχος εἶναι. ἡ δὲ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ χειμερινοῦ, ἐν ᾗ καὶ ὁ ἰσημερινὸς ἀπολαμβάνεται, ἔνθα καὶ τὸ μεσαίτατόν ἐστι τῆς γῆς, οὐκέτι δι' ὑμετρον θερμότητα. διὰ τοῦτο γὰρ καὶ διακεκαυμένη ζώνη λέγεται. εἰ δ' οἰκοῦσί τινες, παρὰ φύσιν οἰκοῦσιν ἐπὶ ὕδατος νηχόμενοι πᾶσαν ὥραν διὰ τὸ καῦμα. οὕτω τῆς διαιρέσεως τῆς γῆς ἐκτεθείσης καὶ ταῦτα ὡς λῆμμα λαβόντες, κατασκευάσωμεν λοιπόν, ὅτι οὐ πνεῖ ὁ νότος ἀπὸ τοῦ νοτίου πόλου, τουτέστι τοῦ ἀνταρκτικοῦ εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην. οὐ γὰρ ἀφικνεῖται τὸ πνεῦμα μέχρι ἡμῶν ἐκεῖθεν διὰ τὰ πολλὰ διαστήματα. εἰ γὰρ ὁρῶμεν, ὅτι ἡμεῖς πρὸς τῇ ἄρκτῳ οἰκοῦντες, ὅθεν ὁ βορρᾶς πνεῖ, ὅμως ἐξασθενεῖ διὰ τὸ πολὺ διάστημα (οὐ γὰρ ὁμοίως πνεῖ ἐν τῇ Ἑλλάδι καὶ ἐν τῷ Ἑλλησπόντῳ, ἀλλὰ ποῦ μὲν σφοδρότερον εἰς τὰ πλησιαίτερα αὐτοῦ χωρία, ποῦ δὲ ἀμυδρότερον εἰς τὰ πόρρω), πῶς οὐχὶ ἐξασθενήσει ὁ νότος ἐκ τῆς ἀντοικουμένης **), τουτέστιν ἀπὸ τοῦ νοτίου πόλου πνέων πρὸς ἡμᾶς. οὐκ ἄρα ἐκεῖθεν πνεῖ ὁ νότος. ἀλλὰ μὴν οὔτε ἀπὸ τῶν χειμερινῶν τροπῶν. χρὴ γάρ, εἴπερ ὅλως τοῦτο ἦν, μετὰ κ ἡμέρας τῆς χειμερινῆς τροπῆς πνεῖν τοὺς λευκονότους τουτέστι τοὺς ἐτησίας νότους (41, a), ὥσπερ καὶ ἐπὶ τῆς θερινῆς τροπῆς γενομένου τοῦ ἡλίου μετὰ κ ἡμέρας ἔπνεον οἱ ἐτησίαι

*) Obliteratam fuisse tunc temporis memoriam expeditionis Phoenicum, qui Nechone Aegyptiis imperante, Africam circumnavigaverant, hinc certum est non minus, quam tunc temporis ad australem Zonam eamque temperatam Phoenicios pervenisse. cfr. Herodot. IV, 42 sq. et qui contra Mannertum *Geograph. der Griechen und Römer* p. 20, huic narrationi fidem vindicavere, Schlözer *Geschichte der Handlung und Seefahrt in den ältesten Zeiten* p. 300 sqq. et Sprengel *Gesch. der geograph. Entdeckungen* (edit. 2) p. 21 sqq.

**) Ald. ἀντικουμένης. Cfr. ad Excerpt. I, 13, 21. p. 254.

βορέαι. νῦν δὲ μετὰ ἑβδομήκοντα ἡμέρας τῆς χειμερινῆς τροπῆς ἐκεῖνοι πνέουσιν. οὐκ ἄρα ἐκεῖθεν πνεῖ ὁ καθ' ἡμᾶς νότος, ἀλλὰ ῥητέον, ὅτι ἀπὸ τῆς θερινῆς τροπῆς ἄρχεται πνεῖν πρὸς ἡμᾶς. τουτέστιν ἀπὸ τοῦ τόπου τοῦ περιοριζομένου ἀπὸ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἀρκτικοῦ πόλου. καὶ γὰρ ἐν τούτῳ περιορίζονται βόρεια καὶ τὰ νότια μέρη καθ' ἡμᾶς, ὥσπερ καὶ ἐν τοῖς δεξιοῖς ἀριστερά, καὶ ἐν τοῖς ἀριστεροῖς δεξιά. οὕτω κατασκευάσας ὁ φιλόσοφος, ὅτι οὐκ ἀπὸ τοῦ νότου τούτου πάντως, οὔτε ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ πνεῖ ὁ καθ' ἡμᾶς νότος, ἀλλ' ἀπὸ τοῦ θερινοῦ τροπικοῦ, παραδίδωσι τὸ ποσὸν καὶ τὴν διαφορὰν τοῦ ἀνέμου καὶ τὴν θέσιν. καί φησιν, ὅτι πέντε παραλλήλων κύκλων κειμένων ἐντὸς τοῦ ὁρίζοντος καὶ ἑνὸς ἐγκαρσίου τοῦ τέμνοντος πάντας τοὺς κύκλους, τουτέστι τοῦ μεσημβρινοῦ, τούτου δὲ τοῦ ἕκτου κύκλου τεμνομένου ὑπὸ τοῦ ὁρίζοντος κατὰ δύο σημεῖα ἐπὶ ἑκάστου κύκλου (κύκλος γὰρ κύκλον οὐ τέμνει ἐκτός, εἰ μὴ κατὰ δύο σημεῖα), γίνονται δώδεκα τμήματα. ἀφ' ἑκάστου δὲ τμήματος εἷς ἄνεμος πνεῖ. δῆλον οὖν, ὅτι δώδεκά εἰσιν ἄνεμοι. ἀπὸ γὰρ τῆς ἀρχῆς τοῦ ἰσημερινοῦ κύκλου ἀρξάμενος ἐκθήσομαι γραμμικῶς τοὺς ἀνέμους.



ἔστω γὰρ κύκλος μέγιστος ὁ ὁρίζων. καὶ τούτου ἤχθωσαν δύο διάμετροι τέμνουσαι ἀλλήλας πρὸς ὀρθὰς γωνίας κατὰ τὸ ρ σημεῖον, ἡ αβ καὶ ηθ, αἵ τινές εἰσιν ὁ ἰσημερινὸς πόλος καὶ ὁ μεσημβρινός. καὶ τῷ ἰσημερινῷ πόλῳ παρ' ἑκάτερα τὰ μέρη κείσθωσαν παράλληλοι εὐθεῖαι, ἴσον ἀπέχουσαι τοῦ κέντρου ἡ εζ καὶ ἡ δγ. καὶ ἐπεζεύχθω ἡ ζγ καὶ ἡ δε. φανερόν, ὅτι καὶ ἡ ζγ καὶ ἡ δε διάμετροί εἰσι. κείσθω δ' ἄλλη παράλληλος τῇ ζε, τουτέστι τῷ θερινῷ τροπικῷ ἡ ικ. καὶ ἔστω αὕτη ἀρκτικὸς πόλος. πάλιν δ' ὁμοίως τῇ δγ χειμερινῷ τροπικῷ κείσθω παράλληλος ἡ μν. οὕτω λέγεται διὰ τὸ ἀπὸ ζοφώδους πνεῖν τόπου, νότιος πόλος ἢ ἀνταρκτικός. τούτου οὕτως ἐχόντος ἀπὸ μὲν τοῦ α, ἔνθα ἐστὶ δύσις ἰσημερινὴ πνεῖ ὁ ζέφυρος. ἀπὸ δὲ τοῦ β, ἔνθα ἐστὶν ἀνατολὴ ἰσημερινή, πνεῖ ὁ ἀπηλιώτης. λέγεται δὲ οὕτως, διὰ τὸ ἐκεῖθεν ἀνίσχειν τὸν ἥλιον. ἀπὸ δὲ τοῦ η, ἔνθα ἐστὶν ὁ ἀρκτικὸς πόλος, πνεῖ ὁ ἀπάρκτιας. ἀπὸ δὲ τοῦ θ, ἔνθα ἐστὶν ὁ νότιος πόλος, πνεῖ ὁ νότος. ἀπὸ δὲ τοῦ ζ, ἔνθα ἐστὶν ἡ θερινὴ ἀνατολή, πνεῖ ὁ καικίας. ἀπὸ δὲ τοῦ γ, ἔνθα ἐστὶν ἡ χειμερινὴ δύσις, πνεῖ ὁ λίψ. ἀπὸ δὲ τοῦ δ, ἔνθα ἐστὶν ἡ χειμερινὴ ἀνατολή, ὁ εὖρος πνεῖ. ἀπὸ δὲ τοῦ ε, ἔνθα ἐστὶν ἡ θερινὴ δύσις, πνεῖ ὁ ἀργέστης, ὃν ὁ Πτολεμαῖος Ἰάπυγα προσαγορεύει **). οὗτοι μὲν οἱ ὀκτὼ ἄνεμοι ἐναντίοι εἰσίν. αἱ γὰρ εὐθεῖαι, ἐξ ὧν πνέουσι, διὰ τοῦ κέντρου τοῦ ρ τῆς γῆς παρέρχονται. αἱ δὲ τοῦ κέντρου πᾶσαι διάμετροί εἰσιν. ἄλλος δὲ ἄνεμος ἀπὸ τοῦ κ, τουτέστιν ἀπὸ τῆς μιᾶς τομῆς τοῦ ἀρκτικοῦ πόλου· καὶ καλεῖται οὗτος βορέας ἢ μέσης, ὃς ἐστι μεταξὺ καικίου καὶ

*) Eustath. ad Dionys. *Perieg.* 378. p 167: σημείωσαι δὲ καὶ ὅτι, ὥσπερ Θρηϊκιος ἄνεμος λέγεται ὁ διὰ τῆς Θράκης πνέων καὶ Λόκρος ὁ διὰ τῆς γῆς Λοκρίδος, οὕτω καὶ Ἰάπυξ ὁ διὰ τῆς γῆς τῶν Ἰαπύγων. Adde Interpp. ad Virg. *Aeneid.* VIII, 710. Horat. *Od.* I, 3, 3. Caurus a Phavorino apud Gell. II, 22 creditur Zephyrus, a quo tamen aperte eum distinguit Lucanus *Phars.* VI, 339. cfr. Vegetium *de re militar.* IV, 38. Adde Schol. Paris. Apollon. Rhod. II, 961. p. 198, ubi legitur: Ἀργέστην δὲ ἢ τὸν ζέφυρον λέγει, ἢ τὸν ἀπὸ θερινῆς δύσεως πνέοντα.

ἀπαρκτίου. ἄλλος δὲ ἀπὸ τοῦ ι, τουτέστιν ἀπὸ τῆς ἄλλης τομῆς τοῦ ὄντος ἀρκτικοῦ. καὶ καλεῖται οὗτος Θρασκίας, μεταξὺ ὢν ἀπαρκτίου καὶ λάπυγος. οὗτοι δοκοῦσι μὲν κατὰ διάμετρον εἶναι καὶ ἐναντίοι, οὐκ εἰσὶ δέ, ἐπειδὴ οὔτε διὰ τοῦ κέντρου παρέρχεται ἡ εὐθεῖα (τουτέστιν ὁ λόγος), οὔτε κατὰ τμήματα πνέουσι. πάλιν δ' ἐν τῷ νοτίῳ πόλῳ ἕτεροι δύο πνέουσιν, ὁ μὲν ἀπὸ τῆς μ, ὅς ἐστι λιβόνοτος, μεταξὺ ὢν λιβὸς καὶ νότου. ἄλλος δὲ ἀπὸ τοῦ ν, ὅστις εὐρόνοτος καὶ φοινικίας καλεῖται. ἐστὶ δὲ μεταξὺ εὔρου καὶ νότου. καὶ οὗτοι δ' ὡσαύτως δοκοῦσι κατὰ διάμετρον εἶναι. οὐκ εἰσὶ δὲ διὰ τὴν αὐτὴν αἰτίαν. τούτων δὲ οὕτως ἐχόντων φησὶν ὁ φιλόσοφος, ὅτι βορέαι πλείους εἰσὶ τῶν νοτίων πνευμάτων, διὰ τὸ εἶναι πολλὴν ὕλην ἀνέμιων ἐν τῷ βορείῳ τόπῳ. ἐπειδὴ γὰρ ψυχρός ἐστι καὶ χιονώδης, ἀναλυομένης τῆς χιόνος ὑπὸ τῆς τοῦ ἡλίου θερμασίας ὑγραίνεται ἡ γῆ. ὑγρασμένη δὲ πλείστην ἀναθυμίασιν καπνώδη ἀναδίδωσι δίκην τῶν ὑγρῶν ξύλων. καὶ τούτου χάριν πολλά εἰσι τὰ πνεύματα βόρεια. πλὴν εἰ καὶ πολλά, οὐκ εὔτονα δὲ διὰ τὸ ἀπὸ πολλῆς ὑγρότητος πνεῖν. τὰ δὲ νότια ὀλίγα μὲν διὰ τὴν ἔνδειαν τῆς ὕλης, εὔτονα διὰ τὴν τῆς γῆς ξηρότητα. τὸ μὲν γὰρ ξηρὸν πρὸς τὸ εὔτονον τῷ ὁρίζειν τὰ μόρια, τὸ δ' ὑγρὸν πρὸς τὸ ἕκλυτον διὰ τὸ διαχεῖν τὰ μόρια. ὅθεν τὸν *) μὲν βορρᾶν ἀνδρὶ πεπτωκότι ἀπεικάζουσι, τὸν δὲ νότον ἀνδρὶ ῥωμαλέως ἐπερχομένῳ. καὶ ταῦτα μὲν εἰποῦσα ἡ λέξις ἐπαύσατο **). Olymp. fol. 40, b — 41, a.

V, 11. *Καὶ οὔτ' ἐπέκεινα τῶν τροπικῶν* ***). σκιὰ γὰρ οὐκ ἂν ἦν πρὸς ἄρκτον] Τουτέστιν ὅλον τὸ πλάτος τῆς διακεκαυμένης οἰκόν ἐστι. πόθεν δῆλον, ἐπειδὴ ἡ σκιὰ ἡ γινομένη ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ πᾶσα πρὸς ἄρκτον πίπτει. ἡ δὲ σκιὰ ἡ γινομένη ἐπὶ τῆς διακεκαυμένης ἢ πρὸς μεσημβρίαν πίπτει, ἢ οὐ γίνεται σκιά, πλὴν ἐλαχίστη

*) Aldus τό.

**) Quae sequuntur ad extremum fere fol. 41, b nihil aliud continent, nisi satis ineptas Olympiodori contra Aristotelicam ventorum distributionem obiectiones, quas omisimus.

***) Ita Aldus.

περὶ τὸ σῶμα πίπτουσα τὸ σκιάζον. πρὸς μεσημβρίαν μὲν πίπτει, ὅταν ἐν τῷ θερινῷ τροπικῷ ἔλθῃ ὁ ἥλιος. περὶ δὲ τὸ σῶμα μόνον, ὅταν κατὰ κορυφὴν ἔλθῃ, τουτέστιν εἰς τὸν ἰσημερινὸν τροπικόν. εἰ οὖν οἰκοῖτό φησι καὶ μεταξὺ τῶν τροπικῶν, οὐκ ἔδει διττὴν σκιὰν πίπτειν πρὸς ἄρκτον ἐν τῷ μεσουρανεῖν τὸν ἥλιον, ἀλλὰ ποτὲ μὲν πρὸς μεσημβρίαν, ποτὲ δὲ πρὸς ἄρκτον, ποτὲ δὲ καὶ ἐκλιμπάνειν πρὸς ἄρκτον μέν, ὡς πρὸς τὴν ἡμετέραν οἰκουμένην, πρὸς μεσημβρίαν δέ, ὡς πρὸς τοὺς ὑπὸ τὸν θερινὸν τροπικὸν οἰκοῦντας, εἴπερ ἦσαν, ἀσκίους δέ, ὡς πρὸς τοὺς ὑπὸ τὸν ἰσημερινὸν παράλληλον. ἀλλὰ μὴν οὐχ ὁρῶμεν οὐδαμοῦ σκιὰν οὔτ' ἐκλιμπάνουσαν, οὔτε πρὸς νότον τρεπομένην μεσουρανοῦντος τοῦ ἡλίου. οὐκ ἄρα οἰκοῦνται οὗτοι οἱ τόποι. Olymp. fol. 42, a.

V, 12. Φέρεσθαι δέ φησι καὶ τὸν στεφανὸν κατὰ τοῦτον τὸν τόπον, καθ' ὃν ἐστιν ἡ καθ' ἡμᾶς οἰκουμένη, τουτέστι μεταξὺ τοῦ τε ἀρκτικοῦ κύκλου καὶ τοῦ θερινοῦ τροπικοῦ, οὗ ἀπόδειξιν φέρει τὸ γίνεσθαι αὐτὸν ὑπὲρ κεφαλῆς ἡμῶν, ὅταν γίνηται κατὰ τὸν μεσημβρινὸν κύκλον, τουτέστιν ὅταν μεσουρανῇ. μεσημβρινὸς γὰρ λέγεται κύκλος ὁ διὰ τῶν πόλων καὶ τοῦ κατὰ κορυφὴν ἡμῶν σημείου γραφόμενος κύκλος. εἴη δ' ἂν καὶ διὰ τούτου δεικνὺς τὴν καθ' ἡμᾶς οἰκουμένην οὖσαν μεταξὺ τῶν προειρημένων κύκλων. εἰ γὰρ ὁ στέφανος ὁ ἐν τοῖς ἄστροις, ὃν λέγουσι τῆς Ἀριάδνης ὄντα ὑπὸ τοῦ Διονύσου καταστερισθῆναι (ὁ γοῦν Ἄρατος οὕτω περὶ αὐτοῦ λέγει *)

Αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγανὸς ἔθηκε
σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης)

εἰ δὴ οὗτος μεταξὺ τῶν προειρημένων κύκλων κείμενος, καθ' ἃ καὶ ἡμᾶς μεσουρανίσας **) γίνεται, δῆλον ὡς ἡμεῖς οἰκοῦμεν ἐν τῷ

---

*) *Phaenom.* v. 71 sq. Pherecyd. ap. Schol. Hom. *Od.* XI, 320. Cfr. Apollon. Rhod. *Argonaut.* III, 1001 sqq.:

— — τὴν δὲ καὶ αὐτοὶ
ἀθάνατοι φίλαντο, μέσῳ δὲ οἱ αἰθέρι τέκμαρ
ἀστερόεις στέφανος, τόν τε κλείουσ' Ἀριάδνης,
πάννυχος οὐρανίοισιν ἐλίσσεται εἰδώλοισι.

**) Fort. *μεσουρανήσας*, cum praecesserit *μεσουρανῇ*.

μεταξὺ τῶν προειρημένων κύκλων τόπῳ. Alexandr. fol. 103, a *).

VI, 1. Μέτεισιν ἐξῆς ἐπὶ τὸν περὶ τῆς θέσεως τῶν ἀνέμων λόγον καὶ τὸ δεῖξαι τίνες αὐτῶν ἐναντίοι εἰσί, καὶ τίνας μὲν αὐτῶν ἅμα πνεῖν ἀλλήλοις οἷόν τε, τίνας δὲ ἀδύνατον. ἔτι περὶ τοῦ πλήθους αὐτῶν καὶ περὶ τῶν ἄλλων παθῶν τῶν ὑπαρχόντων αὐτοῖς, ὅσα μὴ φθάνει εἰρῆσθαι ἐν τοῖς προβλήμασι τοῖς κατὰ μέρος. δεῖν δέ φησι τὰ περὶ τῆς θέσεως αὐτῶν λεγόμενα ἐκ τῆς ὑπογραφῆς καὶ τοῦ διαγράμματος θεωρεῖν. καὶ ὑπογράφει τι διάγραμμα. καὶ λέγει περὶ αὐτοῦ, ὅτι γέγραπται μὲν ὑπὲρ τοῦ μᾶλλον εὐσήμως καὶ φανερῶς ἔχειν ὁ τοῦ ὁρίζοντος κύκλος στρογγύλος, ἀφ' οὗ οἱ ἄνεμοι πνέουσι. δεῖ δὲ νοεῖν τοῦτον τὸν καταγεγραμμένον ὁρίζοντα μὴ ὡς πάσης τῆς γῆς ὄντα ὁρίζοντα, ἀλλ' ὡς τοῦ ἐκτεμήματος τῆς γῆς τοῦ κατὰ τὴν ἡμετέραν οἰκουμένην, ὃς οὐκέτ' ἂν εἴη κύκλος. ὡς γὰρ ἐπὶ τοῦ κυκλικοῦ ὁρίζοντος ἡ διαίρεσις τῶν ἀνέμων δείκνυται, οὕτως ἔσται καὶ τὸ οἰκούμενον μέρος τῇ τῶν ἀνέμων διαλήψει. πρῶτον δὲ μέλλων λέγειν **) περὶ ἐναντίων ἀνέμων, τί ἐστι τὸ κατὰ τόπον ἐναντίον λαμβάνει, ἐναντία λέγων κατὰ τόπον τὰ πλεῖστον ἀπέχοντα κατὰ τόπον, ὥσπερ κατ' εἶδος ἐναντία τὰ πλεῖστον ἀπέχοντα κατὰ τὸ εἶδος. πλεῖστον δὲ ἀπέχει ταῦτα τὰ κατὰ διάμετρον ἀλλήλοις ἐν τῷ κύκλῳ κείμενα. ἐπὶ τούτοις ἐπὶ τοῦ ἐκκειμένου κύκλου, ὃν ὁρίζοντα εἶπε, λαμβάνει τινὰ σημεῖα, καὶ πρῶτον μὲν τὸ $\overline{\alpha}$ ὑποτίθεται τὴν δυσμὴν ἰσημερινήν. ἐναντίον δὲ τούτῳ καὶ κατὰ διάμετρον τὸ $\overline{\beta}$, ἀνατολὴν ἰσημερινήν. εἰλήφθω τὰ εἰρημένα σημεῖα καὶ διήχθω ἡ $\overline{\alpha\beta}$ διάμετρος. ἄλλη δέ φησιν ἤχθω διάμετρος ἐν τῷ κύκλῳ πρὸς ὀρθὰς τέμνουσα τὴν $\overline{\alpha\beta}$ διάμετρον, ἡ $\overline{\eta\vartheta}$, ἧς τὸ μὲν πρὸς τὸ $\overline{\eta}$ ἔσται ἄρκτος, τὸ δὲ $\overline{\vartheta}$, ὃν ἐξ ἐναντίας αὐτῷ μεσημβρία. πάλιν δὲ λαμβάνει ἐπὶ τοῦ κύκλου σημεῖον μεταξὺ τοῦ $\overline{\eta}$ καὶ τοῦ $\overline{\beta}$ τὸ $\overline{\zeta}$, ὃ ὑποτίθεται

*) Obiter moneam fol. 103, b lin. 6 pro τὸ ἀπὸ τοῦ ἑτέρου διάστημα scribendum esse τὸ ἀπὸ τοῦ ἑτέρου πόλου εἰς ἕτερον διάστημα.

**) Ald. λέγει.

εἶναι ἀνατολὴν θερινήν, ᾧ ϛ καταντικρὺ κείμενον τὸ ε οὐ κατὰ διάμετρον λαμβάνει, ὡς ὂν δυσμὴν θερινήν. πάλιν δὲ μεταξὺ τοῦ β καὶ τοῦ θ λαμβάνει σημεῖον τὸ δ, ὃ ὑποτίθεται εἶναι ἀνατολὴν χειμερινήν. ἔπειτα ἀποζευγνύει ἀπὸ τοῦ ϛ ἐπὶ τὸ γ εὐθεῖαν, ἀπὸ δὲ τοῦ δ ἐπὶ τὸ ε. ταῦτα γὰρ κατὰ διάμετρον ἀλλήλοις κεῖται. ταῦτα δὴ ὑπογράψας μετὰ ταῦτα δείκνυσι τὰς θέσεις τῶν ἀνέμων, καὶ τίνες τίσιν εἰσὶν ἐναντίοι. καὶ ἐπεὶ *) τὰ πλεῖστον ἀπέχοντα ἀλλήλων κατὰ τόπον ἐναντία, τὸ κατὰ διάμετρον δὲ πλεῖστόν ἀλλήλων ἀπέχει, δῆλόν φησιν εἶναι, διότι καὶ τῶν πνευμάτων ἐναντία ἀλλήλοις ἔσται τὰ κατὰ διάμετρον. οὐ λαμβάνει δὲ τὰς διὰ κέντρου διαμέτρους, ὅτι τὴν ἀρχὴν οὔτε κύκλος οὔτε σφαῖρά ἐστιν ἡ οἰκουμένη, ἀλλὰ σφαίρας ἔκτμημα τυμπανοειδές. διὸ τῷ ἐξ ἐναντίας ὁρίζει τὴν διάμετρον, ἐφ' οἷς τίς ἡ θέσις τῶν ἀνέμων λαμβάνει, καὶ τίθησιν ἐπὶ μὲν τῷ α, ὃ ἦν ἰσημερινὴ δυσμή, ζέφυρον, ἐπὶ δὲ τῷ β τῇ ἰσημερινῇ ἀνατολῇ **), ἥ ἐστι κατὰ διάμετρον τῷ α, ἀπηλιώτην, ὃν Θεόφραστος λέγει παρὰ μὲν Σικελιώταις, Ἑλλησποντίαν καλεῖσθαι ***) παρὰ δὲ Φοίνιξι Κάρβαν, βερεκυντίαν δὲ ἐν Πόντῳ. πάλιν δὲ ἐπὶ μὲν τῷ η, ὅπερ ἦν ἡ ἄρκτος, βορέαν ἀπαρκτίαν. ἐπὶ δὲ τοῦ θ, ὅ ἐστιν ἐναντίον τῷ η (κατὰ διάμετρον γὰρ) καὶ ἐστι μεσημβρία, νότον. ἐπὶ δὲ τοῦ ϛ, ὅπερ ἦν θερινὴ ἀνατολή, καικίαν, ᾧ ἐναντίον τὸν κατὰ διάμετρον ἀφεστῶτα αὐτοῦ τίθησιν, οὐ τὸν ἐπ' εὐθείας αὐτῷ κείμενον. ἐστὶ δὲ κατὰ διάμετρον μὲν τῷ ϛ κείμενον τὸ γ, ἐπ' εὐθείας δὲ τὸ ε. ἐπὶ δὲ τοῦ γ, ὅ ἐστι δυσμὴ χειμερινὴ

*) Ald. *ἐπί*.

**) Ald. *ἰσημερινὴ ἀνατολή*.

***) Comparato Theophrasti loco *de ventis* §. 62. p. 782: *ἀργέστην — — καλοῦσιν οἱ περὶ Σικελίαν δερκίαν, τὸν ἀπηλιώτην δὲ Ἑλλησποντίαν, κάρβαν δὲ Φοίνικες, βερεκυντίαν δ' οἱ ἐν τῷ Πόντῳ*, patet corrigendum esse *παρὰ μὲν Σικελιώταις*, uti fecimus. Ald. *Σικελιώτης*. Differt auctor fragmenti *de positione ventorum*, qui Aristoteles dicitur, neque fortasse iniuria (cfr. ad *Excerpt.* II, 5, 4), unde vana esse intelligitur Niebuhrii coniectura (*Römische Geschichte*, ed. 3. Vol. I. p. 22), qui ad Theophrasteum quondam librum pertinuisse contendit. — Caeterum Carbam a dextra Solani (qui concidit cum Apeliota) ponit Vitruvius I, 6.

τὸν λίβα τίθησιν, ὡς ὄντα ἐναντίον τε τῷ καικίᾳ καὶ κατὰ διάμετρον. πάλιν δὲ ἐπὶ τοῦ δ, ὅ ἐστι χειμερινὴ ἀνατολή, εὖρον γειτνιῶντα τῷ νότῳ, καὶ ἐπὶ τοῦ ε, ὅ ἐστι κατὰ διάμετρον ἀφεστὸς *) τοῦ δ, ὃν δύσις θερινή, τὸν ὑπό τινων μὲν Ἀργέστην καλούμενον, Ὀλυμπίαν δὲ ὑπ' ἄλλων καὶ Σκείρωνα **). Ὀνομάζουσι δέ τινες τὸν ἄνεμον τοῦτον καὶ Ἰάπυγα, ὡς Θεόφραστος λέγει †). ἐστὶ μὲν γὰρ ἐπ' εὐθείας κείμενον τῷ δ τὸ γ, ὥσπερ ἦν καὶ τῷ ζ τὸ ε. ἀλλ' οὐ τὰ ἁπλῶς ἐπ' εὐθείας ἀλλήλοις κείμενα ἦν ἐναντία, ἀλλὰ τὰ κατὰ διάμετρον. καὶ τούτους μὲν εἶναί φησι τοὺς κατὰ διάμετρόν τε ἀλλήλοις κειμένους ἀνέμους καὶ ἐναντίους ἀλλήλοις τοὺς ὀκτώ. ἄλλους δὲ παρὰ τούτους εἶναί φησιν, οἳ οὐκ ἔχουσιν ἐναντίους αὐτοῖς κατὰ διάμετρον κειμένους, ἕνα μὲν τὸν μεταξὺ κείμενον ἀπαρκτίου καὶ τοῦ Σκείρωνος, ᾧ ἐναντίος εὖρος, τὸν καλούμενον Θρασκίαν, κείμενον ἐπὶ τοῦ ι. ἄλλον δέ, ὃν μεταξύ φησι πάλιν κεῖσθαι τοῦ τε ἀπαρκτίου καὶ τοῦ καικίου, ᾧ ἐναντίος λίψ, τὸν καλούμενον μέσσην ††), κείμενον ἐπὶ τοῦ κ. τὴν δὲ ἐπιζευγνυμένην ἀπὸ τοῦ ι ἐπὶ τοῦ κ εὐθεῖαν, ἣν διάμετρον κοινότερον ὠνόμακεν (οὐ γάρ ἐστι διάμετρος τοῦ ὁρίζοντος), βούλεσθαί μέ φησιν εἶναι κατὰ τὸν ἀεὶ φανερὸν κύκλον, ὃν ἀρκτικὸν καλοῦσι, τουτέστι βούλεσθαι μὲν εἶναι τούτου διάμετρον τοῦ κύκλου, οὐ μὴν πάντη ἐξακριβοῦν, ἀλλὰ παραλάσσειν ἐπί τι. ἐναντία δέ φησι μὴ εἶναι πνεύματα τοῖς ἀνέμοις τούτοις, μήτε τῷ μέσσῃ, ὃς μεταξὺ πνεῖ τοῦ τε ἀπαρκτίου καὶ τοῦ καικίου (ἔπνει γὰρ ἄν τίς φησιν ἀπὸ τοῦ μ, τουτέστι μεταξὺ τοῦ τε νότου καὶ τοῦ λιβός, τοῦτο γὰρ κατὰ διάμετρον τῷ κ, ἀφ' οὗ ὁ μέσσης), οὔτε τῷ Θρασκίᾳ, ὃς μεταξὺ πνεῖ τοῦ τε ἀπαρκτίου καὶ τοῦ σκείρωνος (ἔπνει γὰρ ἄν τις μεταξὺ τοῦ τε εὔρου καὶ τοῦ νότου, ἀπὸ τοῦ ν, τοῦτο γὰρ κατὰ

*) Ald. ἀφεστώς.

**) Ita Aldus. Cfr. Brunck ad Apollon. Rhod. I, 33. (*Append* ad I, 170) IV, 1327 et saepius. Hagenbuch *Diatrib. de graec. marmor.* p. 34. Scribe Σκίρωνα.

†) Nihil nunc eo de nomine in Theophrasti scriptis reperitur. Cfr. ad Excerpt. II, 5, 10.

††) Ita Aldus.

διάμετρον τῷ ι), εἰ μὴ ἐπ' ὀλίγον φησὶ πνεῖν τινα, ὃν καλεῖσθαι ὑπὸ τῶν περὶ ἐκεῖνον τὸν τόπον φοινικίαν. τινὲς μέντοι τῶν ὑστέρων καὶ ἀπὸ τοῦ μ λέγουσιν πνεῖν τὸν λιβόνοτον καλούμενον. καὶ διὰ τοῦτο δώδεκα τοὺς ἀνέμους ποιοῦσιν. ἐκθέμενος δὲ ἀνέμους δέκα καὶ ἕνα, καθὰ προείρηται, ταῦτά φησιν εἶναι τὰ διωρισμένα καὶ διακεκριμένα πνεύματα καὶ ταύτην τὴν τάξιν ἔχειν. Alex. fol. 105 (104), b.

VI, 11. Διδάξας ἡμᾶς ὁ φιλόσοφος περὶ τῆς θέσεως τε καὶ ὀνομασίας τῶν ἀνέμων, ὅτι δώδεκά εἰσι τὸν ἀριθμόν, ἀπὸ τῶν ιβ τμημάτων καὶ τῶν ς παραλλήλων πνέοντες, νῦν συναίρεσιν ποιεῖ τῶν ιβ ἀνέμων καὶ οἷόν τινα συγκεφαλαίωσιν εἰς τέσσαρας ἀνέμους καθολικωτέρους καί φησιν, ὅτι πάντες οὗτοι συγκεφαλαιοῦνται εἰς δ ἀνέμους μεγίστους ἐναντίους. ἀνατολικῶν μὲν γὰρ πάντων εἷς μόνος ἐστὶν ὁ κυρίως. λέγω δὴ ὁ ἀπηλιώτης. δυτικῶν μὲν ζέφυρος, ἀρκτικῶν δὲ ἀπαρκτίας, νοτίων δὲ νότος. εἶτα πάλιν ἑτέραν συναίρεσιν τούτων ποιεῖται συντομωτέραν καὶ συγκεφαλαιοῦται τοὺς δ εἰς β, βορρᾶν τε καὶ νότον. καὶ δίδωσι τῷ μὲν βορρᾷ τοὺς δυτικοὺς ἀνέμους πάντας καὶ ἀρκτικούς, ὡς ψυχροὺς ψυχρῷ, τῷ δὲ νότῳ τοὺς ἀνατολικοὺς πάντας καὶ νοτίους, ὡς θερμοὺς θερμῷ. θερμότερα γὰρ τὰ ἀνατολικὰ μέρη τῶν δυτικῶν, ἐπειδὴ ἀνερχόμενος ὁ ἥλιος καὶ τέως πρὸς ταῖς ἀνατολαῖς ὑπάρχων θερμαίνει μὲν τὰ ἀνατολικὰ μάλιστα, ἧττον δὲ τὰ δυτικά. μεσουρανῶν δὲ καὶ πρὸς δυσμὰς ὁρμώμενος, ἄρχεται τὰ μὲν δυτικὰ μέρη μᾶλλον θερμαίνειν, ἧττον δὲ τὰ ἀνατολικά. ἀλλ' ἴσως ἐπὶ τούτῳ φαίη ἄν τις ἀντανίσωσιν γίνεσθαι καὶ ὁμοίως εἶναι θερμὰ τὰ ἀνατολικὰ τοῖς δυτικοῖς, ἐπειδὴ ὁμοίως θερμαίνονται ἄμφω τὰ μέρη. ἀλλὰ λέγομεν, ὅτι μεσουρανήσαντος τοῦ ἡλίου καὶ ἐπὶ δυσμὰς κλίναντος, μεμένηκεν ἔτι θερμότερα τὰ ἐν τοῖς ἀνατολικοῖς, ἐπειδὴ ὑπὲρ γῆν ἐστιν ὁ ἥλιος. ἐλθόντος δ' εἰς δυσμὰς τοῦ ἡλίου καὶ δύσαντος οὐκέτι, ἐφυλάχθη ἡ θερμασία ἐν τῇ δύσει διὰ τὸ ὑπὸ γῆν γεγονέναι τὸν ἥλιον. οὕτω τοίνυν κατασκευάζομεν, ὅτι θερμότερά ἐστι τὰ ἀνατολικὰ τῶν δυτικῶν. οὕτω τοίνυν ὁ φιλόσοφος συγκεφαλαιωσάμενος πάντας τοὺς ἀνέμους εἰς δύο, βορρᾶν τε καὶ νότον καὶ διανείμας ἑκάστῳ τοὺς οἰκείους, δέκα θεωρήματα περὶ αὐτῶν παραδίδωσιν. ὧν τὸ πρῶ-

τον τοῦτον ἔχει τὸν τρόπον. ποῖοι ἄνεμοι τίσι συμπνέουσι. δεύτερον ποῖοι ἄνεμοι πότε πνέουσιν. τρίτον ποῖοι ἄνεμοι τίνας παύουσι. τέταρτον, τίνες ἐναντίοι ὄντες τὰ αὐτὰ ἐργάζονται. πέμπτον, τίνες τῶν ἀνέμων εἰσὶ νιφετώδεις. ἕκτον, τίνες χαλαζώδεις. ἕβδομον, τίνες ἐπινέφελοι. ὄγδοον, τίνες ἀστραπαῖοι. ἔνατον, τίνες ἐκνεφίαι. δέκατον καὶ τελευταῖον, τίνες ἐτησίαι. ταῦτα τὰ δέκα νῦν περὶ ἀνέμων παραδίδωσιν Ἀριστοτέλης. ἀλλὰ φέρε τούτων ἕκαστον διεξέλθωμεν. καὶ τὸ μὲν πρῶτόν φαμεν, ὅτι οἱ ἐναντίοι ἀλλήλοις οὐ συμπνέουσιν, βορρᾶς τε καὶ νότος καὶ οἱ λοιποὶ ἐναντίοι. εἴργουσι γὰρ ἀλλήλων τὴν πρόοδον. εἰ μὲν γὰρ ἰσοσθενεῖς ὦσι, στάσις πάντως γενήσεται καὶ ἠρεμία, εἰ δὲ θάτερος περιγένηται, θάτερος παύεται. ὥστε οὐ δυνατὸν ἀλλήλοις συμπνεῖν τοὺς ἐναντίους αὐτῶν, οὐ τοῦ τόμου λέγοντος *) ὅτι οὐδ' ὅλως· εἰ γὰρ οὕτως ἀναιρήσομεν τὸν κατὰ Βοῦραν καὶ Ἑλίκην γεγονότα κατακλυσμόν, ἔνθα ἐναντίων ἀνέμων πνευσάντων καὶ ἐκεῖ συναθροισθέντων νεφῶν, ἐγένετο κατακλυσμός **). ἀλλ' ὅτι μέχρι μέν τινος συμπνέουσιν, οὐ μετὰ πολὺ δὲ περιγίνεται θάτερος θατέρου, καὶ μόνος πνεῖ. οὗτοι μὲν οὐ συμπνέουσιν ἀλλήλοις οἱ ἄνεμοι οἱ μὴ κατὰ διάμετρον ὄντες. τοῦτο μὲν ἦν τὸ πρῶτον. δεύτερον, ποῖοι ἄνεμοι πότε πνέουσι. φαμέν, ὅτι ἐν μὲν ταῖς θερμοτέραις ὥραις θέρει τε καὶ φθινοπώρῳ οἱ ψυχροὶ ἄνεμοι πνέουσι μάλιστα, ζέφυρός φημι καὶ οἱ ἀπὸ τοῦ δυτικοῦ πάντες. ἐν δὲ ταῖς ψυχραῖς ὥραις, χειμῶνός τε καὶ ἔαρος, οἱ θερμοί, ἀπηλιώτης φημὶ καὶ οἱ ἄλλοι ἀνατολικοί. καὶ ἄξιόν ἐστιν ἀπορίας, τί δήποτε μὴ συμφώνως τῇ ὥρᾳ καὶ οἱ ἄνεμοι πνέουσιν, ἀλλ' ἐναντίως. καὶ λέγομεν, ὅτι ἐπειδὴ θερμά εἰσι φύσει τὰ ἀνατολικὰ μέρη, ἐπὰν ὁ ἥλιος γένηται ἐν τῇ θερινῇ τροπῇ, ἔτι ἐκθερμαίνεται ἡ ἐκεῖσε γῆ. καὶ ἐκ τῆς ἄγαν θερμότητος ἐκλείπει καὶ ἀναλίσκεται ἡ ὕλη τοῦ ἀνέμου, τουτέστιν ἡ καπνώδης ἀναθυμίασις δίκην ἀχύρου ἐμβληθέντος εἰς πῦρ. φησίν, ὅτι καὶ μηκέτι καπνὸν ποιήσαντος. καὶ γὰρ ἡ ἄμετρος θερμότης ἐκδαπανᾷ τὴν ὕλην τοῦ ἀνέμου, καὶ ἡ ἄμετρος ψύξις κατασβέννυσιν. οὕτω μὲν οὖν καὶ διὰ τὸ ἐκδαπανᾶσθαι τὴν ὕλην

*) Cfr. supra Excerpt. ad I, 3, 19.

**) Cfr. Commentar. ad I, 7, 8.

τοῦ ἀνέμου ἐν τοῖς ἀνατολικοῖς μέρεσιν ἐν θέρει ἀνατολικὸς ἄνεμος οὐ γίνεται, ἀλλὰ μὴν οὔτ' ἐν χειμῶνι δυτικός. ἐπειδὴ γὰρ ψυχρά εἰσι τὰ δυτικὰ μέρη, χειμῶνος, ἀφισταμένου τοῦ ἡλίου, ψυχρότερα γίνονται. καὶ ἐκ τῆς πολλῆς ψύξεως καταβέννυται ἡ καπνώδης ἀναθυμίασις καὶ οὐ γίνεται δυτικὸς ἄνεμος. τρίτον ἦν ζητῆσαι, ποῖοι ἄνεμοι τίνας παύουσι. καί φαμεν, ὅτι βορρᾶς τὸν νότον οὐχ ὡς ἰσχυρός, ἀλλ' ὡς ὑγρότερος καὶ βαρύτερος. ἐμπίπτων γὰρ τῷ νότῳ τὸ ἰταμὸν αὐτοῦ καὶ ξηρὸν διυγραίνει καὶ διαλύει, καὶ οὕτως ἀποπαύει. ἐλέγομεν γὰρ ἀνωτέρω, ὅτι βορρᾶς ἀπὸ ὀλίγης μὲν γῆς πνεῖ, πολλὴν δ' ἐχούσης ἀναθυμίασιν, διὰ τὸ εἶναι αὐτὴν ἐνικμον, δίκην τοῦ χλωροῦ ξύλου. ὁ δὲ νότος ἀπὸ πολλῆς μὲν γῆς, ἀνίκμης *) δέ. καὶ τούτου χάριν δριμὺς καὶ ἔντονός ἐστι καὶ ὀλίγος. τοῦτο τρίτον. τέταρτον ἦν θεώρημα, τίνες ἐναντίοι ὄντες τὰ ὅμοια ποιοῦσιν. οὗτοι, ὁ καικίας καὶ ὁ λὶψ κατὰ διάμετρον ὄντες ὑγροί εἰσιν ἄμφω. ὁ γὰρ λὶψ μεταξὺ ὢν ζεφύρου καὶ λιβονότου ἐρανίζεται. τοῦ μὲν ζεφύρου τὸ ψυχρόν, τοῦ δὲ λιβονότου τὸ ὑγρόν, καὶ ὑγραίνει, ἐπὰν πνεύσῃ. ὁ δὲ καικίας, μεταξὺ ὢν τοῦ ἀπηλιώτου καὶ βορέου ἐρανίζεται τοῦ μὲν βορέου τὸ ὑγρόν, τοῦ δ' ἀπηλιώτου τὸ θερμόν. καὶ οὕτως ὑγραίνει φυσῶν. εὖρος δὲ καὶ ἀργέστης ξηροὶ μὲν ἅμα φύσει. ὁ μέντοι εὖρος κατ' ἀρχὰς μέν ἐστι ξηρός, προϊὼν δὲ ὑγρὸς γίνεται. νοθεύεται γὰρ ἀπὸ τῶν νοτίων πνευμάτων. οὗτοι ἐναντίοι ὄντες τὰ ὅμοια ποιοῦσι. καὶ ἔχεις τὸ τέταρτον θεώρημα. πέμπτον ζητητέον, τίνες εἰσὶ νιφετώδεις. καὶ ἕκτον, τίνες χαλαζώδεις. καί φαμεν, ὅτι νεφετώδεις μέν εἰσιν ἤτοι χιονώδεις, ὅ τε βορρᾶς, καλούμενος μέσης, καὶ ὁ ἀπαρκτίας. χαλαζώδεις δὲ ὅ τε ἀπαρκτίας πάλιν καὶ θρασκίας καὶ ἀργέστης. καὶ ἄξιόν ἐστιν ἀπορίας, τί δήποτε οἱ ψυχρότατοι ἄνεμοι μὴ τὸ ψυχρότατον ποιοῦσιν, ἀλλὰ τὸ ἧττον ψυχρότατον. ὁ γὰρ ἀπαρκτίας καὶ θρασκίας καὶ ἀργέστης ψυχρότατοί εἰσιν, ἐπεὶ δυτικώτεροι. ἐχρῆν οὖν τὴν χιόνα αὐτοὺς ποιεῖν, καθὸ ψυχροτέρα αὕτη τῆς χαλάζης καὶ ὡς ἐν χειμῶνι γεγονυῖα. καὶ ὅλως μὴ μεταβληθείσης εἰς ὕδωρ, ἀλλ' ἀντικρὺς παγείσης, ὡς ἔστιν ἡ ἀτμίς. τὸν δὲ βορ-

*) Ald. ἀνίκμην.

ρᾶν ἔδει τὴν χάλαζαν ποιεῖν, ὃς ἦν ἧττον ψυχρός, τὴν ἧττον ψυχράν. ἢ λέγομεν, ὅτι πολλάκις τὰ ἐναντία κατὰ συμβεβηκὸς δρῶσιν, οἷον τὸ ὕδωρ ψυχρὸν πολλάκις θερμαίνει κατὰ συμβεβηκὸς τῷ ἀντιπερίστασιν ποιεῖν. ἐναποκλαιόμενον γὰρ ἐντός, τὸ θερμὸν καὶ μὴ διαφορούμενον θερμαίνει. ἀλλὰ καὶ τὸ θερμόν ἐστιν, ὅτε ψύχει τῷ ἐκδιαφορεῖν τὴν ἐντὸς θερμασίαν. εἰ οὖν τοῦτο, τί ἂν ἄτοπον ψυχροτάτου ὄντος τοῦ ἀνέμου, τὸ ἧττον ποιεῖν ψυχρόν. λέγω δὴ τὴν χάλαζαν τῷ περιπηγνῦναι τὰ ἐκτὸς ταχέως καὶ μὴ φθάνειν μέχρι τοῦ ἐντὸς τὴν ψύξιν ἐπὶ τῆς ἀτμίδος ἀφικνεῖσθαι καὶ διὰ τοῦτο μεταβάλλεσθαι πρῶτον εἰς ὕδωρ. εἶθ' οὕτως πήγνυσθαι καὶ ποιεῖν χάλαζαν. ἐπὶ δὲ τοῦ βορέου, ἐπειδὴ οὔκ ἐστιν οὗτος ψυχρότατος, οὐκ ἀθρόως παραπήγνυσι τὰ ἐκτὸς τῆς ἀτμίδος, ἀλλὰ κατὰ μέρος. καὶ λοιπὸν ὅλην ὡς ὅλην πήγνυσι πρὶν εἰς ὕδωρ μεταβληθῆναι. καὶ τούτου χάριν ποιεῖ τὴν χιόνα μὴ ὢν ψυχρότατος. ἕβδομον ζητῆσαι, ποῖοί εἰσιν ἐπινέφελοι; καί φαμεν, ὅτι καικίας τε καὶ βορέας. ὁ μὲν καικίας ὡς ἐφελκόμενος ἐφ' ἑαυτὸν τὰ νέφη. τῷ γὰρ εἶναι ἠρέμα ψυχρὸς παχύνει τὴν ἀναδιδομένην ἀτμίδα πολλὴν οὖσαν ἐκεῖσε ἐν τοῖς ἀνατολικοῖς μέρεσι, καὶ πολλὰ νέφη συνίστησι. τῷ δ' ἐφέλκειν αὐτὸν ἐπινέφελον ποιεῖ τὸν ἀέρα. συμβάλλονται δὲ αὐτῷ πρὸς τοῦτο βορέας τε καὶ εὖρος ὑγροὶ ὄντες πλησίον αὐτοῦ. ὕλην γὰρ αὐτῷ χορηγοῦσιν. ὁ δὲ βορέας πάλιν ἐπινέφελον ποιεῖ τὸν ἀέρα τῷ συναθροίζειν αὐτὰ διὰ πόρρω, ὥσπερ ἐν τῇ Αἰγύπτῳ γίνεται *). ὕγδοον ζητητέον, ποῖοί εἰσιν ἀστραπαῖοι τῶν ἀνέμων· τουτέστι πόσοι μάλιστα ποιοῦσιν ἀστραπάς· βορέας, ἀπαρκτίας, θρασκίας, ἀργέστης. οὐ πάσας δέ, ἀλλὰ τὰς κατ' ἐκπυρηνισμὸν γινομένας. ψυχρότατοι γὰρ ὄντες οὗτοι, πυκνοῦσι τὴν ἀτμίδα ἐναπειληφυῖαν μὲν ἑαυτῇ καπνώδη ἀναθυμίασιν. εἶτ' ἐκείνων μὴ διαφορουμένων, θερμαίνεται καὶ ἐξάπτει. καὶ τελευταῖον μηκέτι στεγομένη ἐκπυρηνίζεται τῆς ψύξεως ἐκθλιβούσης καὶ ποιεῖ τὴν ἀστραπήν. ἔννατον, τίνες εἰσὶν ἐκνεφίαι ἄνεμοι. ἐκνεφίας δὲ νῦν καλῶ οὐ τοὺς κυρίως ἐκνεφίας. ἀλλὰ πρῶτον μάθωμεν, τίνες εἰσὶν ἐκνεφίαι ἄνεμοι. ἐκνεφίαι γὰρ λέγονται οἱ

*) Scribo διὰ τὸ πόρρω — — γίνεσθαι.

ἀπὸ τῶν νεφῶν πνέοντες. ἀλλ' οὗτοι διττοί εἰσιν. ἢ γὰρ ἀμεταβλήτου μενούσης τῆς καπνώδους ἀναθυμιάσεως γίνονται, ὡς μαθησόμεθα ἐν τῷ τρίτῳ βιβλίῳ, οἵ τινες καὶ τυφῶνες προσαγορεύονται· ἢ τοῦ ἰσχυροῦ ἀνέμου ἀποδιώκοντος τὰ νέφη, εἶτα ἐκείνου παυσαμένου, ἄλλου ἰσχυροτέρου ἐπαναστάντος καὶ ἀντωσθήσαντος τὰ νέφη, ὡς παλίρροιαν γίνεσθαι τῶν νεφῶν· λέγεται οὗτος ἐκνεφίας ὁ ἄνεμος ὡς ἀντωθῶν πάλιν τὰ νέφη, ὅθεν ἦλθον. εὑρίσκεται γὰρ καὶ οὗτος ἀπὸ τῶν νεφῶν πνέων. περὶ οὖν τούτου τοῦ ἐκνεφίου νῦν διαλαμβάνει, ὅστις οὐ κυρίως ἐστὶν ἐκνεφίας. ἢ δῆλον ὅτι πάντες οἱ βορέαι; ἰσχυρότατος γάρ ἐστιν ὁ βορέας οὐ τῇ δυνάμει, ὡς εἴρηται, ἀλλὰ τῷ πλήθει. ἐμπίπτων γὰρ οὗτος ἀποδιώκει τὰ νέφη εἰς τὸν τόπον, ὅθεν ἦλθον. καὶ τούτου χάριν ἐκνεφίας προσαγορεύεται. δέκατον καὶ τελευταῖον ἦν ζητῆσαι, ποῖοι ἄνεμοί εἰσιν οἱ ἐτησίαι, καὶ τοῦτο δῆλον, ὅτι βορέαι. οἱ γὰρ ἐτησίαι οὐδὲν τοῦτου διαφέρουσι πλὴν τῷ χρόνῳ, ἐπειδὴ ὁ μὲν βορέας ἀδιαφόρως πνεῖ, οἱ δ' ἐτησίαι *). ἐν χρόνῳ ὡρισμένῳ. ταῦτα παραδίδωσιν ἡ μετὰ χεῖρα λέξις. Olymp. fol. 42, b — 43, b.

VII, 5. Εἰπὼν περὶ τῆς Ἀναξαγόρου δόξης μέτεισιν ἐπὶ τὴν τοῦ Δημοκρίτου. καί φησι τοῦτον λέγειν, ὅτι πλήρης οὖσα ὕδατος ἡ γῆ, ὅταν καὶ ἔξωθεν πολὺ ἀπὸ τῶν ὀμβρίων ἄλλο δέξηται, τότε ὑπὸ τοῦ ὕδατος τοῦ πολλοῦ κινεῖται. πλεῖόν τε γὰρ γινόμενον τὸ ὕδωρ, διὰ τὸ μὴ δύνασθαι δέχεσθαι αὐτὸ τὰς ἐν τῇ γῇ κοιλίας, ἀποβιαζόμενον καὶ στενοχωρούμενον κινεῖ αὐτήν. ἀλλὰ καὶ ξηραινομένη καὶ ἕλκουσα εἰς τοὺς κενοὺς τόπους ἐκ τῶν πληρεστέρων τὸ ὕδωρ ἐν τῇ μεταβάσει τε καὶ μεταρρύσει τῇ τοιαύτῃ κινεῖσθαι ὑπ' αὐτοῦ. Alexander. fol. 107, a **).

*) Aldus post ἐτησίαι repetit οἱ, quod delevi, uti etiam mox ὡρισμένῳ scripsi, pro eo, quod editum est, ὡρισμένως.

**) Olympiodori commentarius ad cap. 7 — 9. huius libri interiit, Alexandri paraphrasis nihil continet, quod alicuius sit momenti.

COMMENTARII

IN

ARISTOTELIS METEOROLOGICORUM

LIBROS DUO PRIORES.

Blank page retained for pagination

COMMENTARIUS IN METEOROLOGICORUM

LIBRUM PRIMUM.

Cap. I.

1. Nullus praeter hunc exstat liber Aristotelis, in cuius praefatione, quaecunque de rebus naturalibus, aut iam scripsisset, aut scribere deinceps instituisset, ea omnia ordine, quem res tractatae et libri de eis conscripti, aut inscribendi inter se habent, recensuerit, generatimque omnia, quae tractare instituit, commemoravit, et veluti in tabella ante oculos posuerit, ut non inconcinne dixerit Olympiodorus, huius libri prooemium vatem Calchantem apud Homerum imitari (*Il.* α′ 70)

ὅς τ᾽ ἤδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα,

quippe quod praeteritas tractationes in memoriam revocat, futurarum praeludium facit quoddam, et praesentem exponit. Quod cur factum sit, quamquam nulla videatur afferri posse necessaria ratio, dici tamen potest haec, de quibus in hoc opere agitur, primum locum in his habere, quae ex elementis oriuntur. Itaque novae cuiusdam tractationis initium esse, nec sine ratione totius tractationis de principiis et elementis epilogum factum; eaque proposita, quae ex principiis huius modi et elementis procreantur. Aut dicendum, haec quae in opere tractantur, in ea disputatione, quae de elementis est, postremam esse partem [eaque unice vera est ratio I.], ut ipse Ari-

stoteles innuere videtur, cum ait, huius methodi reliquum adhuc videndum. Merito igitur ea omnia, quae tractata erant, epilogo esse repetita, ac quae tractanda remanebant, proposita. Dici vero et illud potest, medio quodammodo in rebus naturalibus loco sita esse, variaque et multiplici natura constare, quae communi uno nomine vocetur. Igitur qua locum medium occupant, mediam quoque in naturalis philosophiae partibus et libris ab Aristotele conscriptis sedem obtinere. Idcirco reliquis iam, quae antecedunt, pertractatis, ad eam cum pervenisset, omnia tam pertractata quam pertractanda commemorasse, perinde atque is, qui iter aliquid instituit, cum dimidiam eius partem confecit, tam id, quod iam congressus est, quam quod peragendum manet, repetere animo, ac recensere studet, quo ex ea, quae iam peracta est, reliquae partes peragendae fiduciam animo concipiat, finemque laborum propius adesse intelligat. *Vicomerc.* Equidem reor, quamvis ea de re dubitare videam doctos viros, huius modi prooemia et clausulas ab ipso Aristotele profectas esse, non ab istis, qui primi Aristotelica opera per certum quendam ordinem distribuerunt, qua de re in Prolegomenis ad volumen alterum, ubi de ordine ac nexu physicorum librorum agendum erit, meam fusius aperiam sententiam. Cum prooemio hoc Meteorologicorum libris praefixo comparetur simile, quibus Politica Ethicis Nicomacheis adnectuntur, posterioribus vulgo adsutum et a Schneidero primo inde divulsum. Prostat in editione Zellii X, 9, 22 —23. p. 480. Verbis *περὶ τῶν πρώτων αἰτίων ..... φυσικῆς* innuit *Physicae auscultationis libros*, verbis *περὶ τῶν κατὰ τὴν ἄνω φοράν ..... πόσα τε καὶ ποῖα .... μεταβολῆς* quatuor *de coelo* libros, denique verbis *περὶ τῆς γενέσεως ..... κοινῆς* libros *de generatione et interitu*. Quale sit discrimen inter *κίνησιν* et *φοράν* secundum Aristotelem apte exposuit van Capellen ad Aristotel. *Quaest. mechan.* p. 140. Cod. E. Bekkeri habet *ἔτι δὲ τῶν περὶ τὴν ἄνω φοράν* et q. s. — De astrorum singulos per orbes in coelo adornatione conferas praeter libros de coelo, in quibus uberrime ea de re pluribus locis disseruit, *Metaphys.* XII, 8. p. 1073 sq. ed.

Bekker, etsi liber iste vix ab Aristotelis manu profectus censeri potest. Tractavit istum locum pater meus in *commentatione de Eudoxo Cnidio* p. 46 sqq. — De vocabulis *διαχοσμεῖν* et *διαχόσμησις* cfr. Balfour et Bake ad Cleomed. *Meteor.* p. 256. — *τῶν στοιχείων τῶν σωμάτων* legit Gessnerus *Medit. phys.* p. 3.

2. *τῆς μεθόδου ταύτης* secundum Alex. i. q. *πάσης τῆς φυσικῆς πραγματείας*. Vicomercato praeferendum videtur, ut methodus non de universa naturali philosophia explicetur, verum de scientia, quae ad astra elementaque adtinet, cuius rerum quae in sublimi fiunt scientia pars quaedam dicitur, quandoquidem elementorum sunt affectiones, astrorumque motione excitantur. Totam igitur de astris et elementis methodum libris de coelo, de generatione et interitu et Meteorologicis contineri censet, quam sententiam probamus cum Olympiodoro fol. 3, b. De vocabulo *μέθοδος* cfr. Schneider ad Aristotel. *Politic.* III, 1, 9. p. 168. Zell ad *Ethic. Nicomach.* init. p. 3. — *μέρος* non legisse videtur Bag. cum vertat: *Reliquum autem huius methodi est adhuc considerandum.* A. *λοιπον δέ τι ταύτης τῆς μεθόδου*, quod praetulit etiam G. quamvis et alteram lectionem commemoret. Cas. et Sylb. *ταύτης τῆς μεθόδου*. Deinde *οἱ πρότεροι* A. S. Cas. Cam. rell. cfr. I, 3: *τῶν πρότερον ἀνθρώπων* et ita fere ubique Arist. — Cod. N. aperto vitio *μετεωρολόγον ἐκάλουν*. — Meteorologiae nomen iam diu ante Aristotelem in usu fuisse docet contemtio, in quam Platonis aevo abierat. cfr. Coray ad Hippocrat. *de aëre, aq. et loc.* Tom. II. p. 11. — Quae deinde sequuntur verba diverse exhibentur a variis codicibus et editionibus. H. N. post *σωμάτων* addunt *κινήσεως* et ita etiam cod. Acoramboni (*Vera mens Aristot.* p. 470), nisi quod ibi deest *τῆς*, quod etiam A. non habet, neque Bag. agnoscit. Acorambonus verba ista hoc modo interpretatus est: „*Haec vero sunt, quae natura quidem eveniunt, sed magis inordinata, quam sit motus primi elementi.* Addit: *Sic puto interpretandum hunc locum, ut corporum referatur ad naturam inordinatam, motus vero referatur ad primum elementum: et*

ita est clarus sensus. Quod quamvis concedamus, maluimus tamen sequi cum Bekkero lectionem codd. E. et F., quam etiam plurimi editorum exhibent, ut P. Valde se torserunt in huius loci explicatione interpretes Alex. Phil. Olymp. Vicomerc. Cum enim modo comparativo utatur, necesse videtur, ut τὴν τοῦ πρώτου στοιχείου φύσιν vocaverit ἄτακτον, quod omnibus istis repugnat, quae alibi de primi illius elementi natura disseruit. Quod enim hic vocat τὸ πρῶτον στοιχεῖον et alibi τὸ πρῶτον σῶμα (*de coelo* II, 12. p. 291, a. *de generat. et interit.* I, 5. p. 321, a et saepius), τὸ πρῶτον τῶν στοιχείων (*de coelo* III, 1. p. 298, b), τὴν πρώτην οὐσίαν τῶν σωμάτων (*de coelo* I, 3. p. 270, b) appellavit, est sphaera extrema, qua fixae stellae residunt, primum corpus idcirco adpellata, quippe a qua omnis incipiat motus. Quin omnia in ista certum sequantur ordinem, nemo in dubitationem vocare potest, qui perlegit, qualia de ea praedicaverit philosophus. Itaque nihil facilius, nisi ut cum Alexandro ἀτακτότερα explicemus per οὐχ ὁμοίως εὔτακτα. Ordine enim gaudent minore, quam quae ad primum illud elementum spectant, sed per se non omni ordine carent, unde ἄτακτα minus aptum fuisset. Non prorsus ad rem Olymp. comparat *Il.* XXII, 15:

ἔβλαψάς μ' Ἐκάεργε, θεῶν ὀλοώτατε πάντων,

cum reliqui etiam Dii ὀλοοί vocari queant. cfr. Passov. *Lex.* Propius accedit Platonicus locus *Philebo* p. 24. §. 38 Stallb. Omnino atticis scriptoribus comparativos positivorum loco in deliciis fuisse notavit Piersonus ad Mocrid. Attic. p. 321, a. ed. Koch. — Ad verba περὶ τὸν γειτνιῶντα μάλιστα τόπον τῇ φορᾷ τῶν ἄστρων recte intelligenda, apprime facit locus ex libro *de coelo* I, 9 med. ἕνα μὲν οὖν τρόπον οὐρανὸν λέγομεν τὴν οὐσίαν τὴν τῆς ἐσχάτης τοῦ παντὸς περιφορᾶς, ἢ σῶμα φυσικὸν τὸ ἐν τῇ ἐσχάτῃ περιφορᾷ τοῦ παντός· εἰώθαμεν γὰρ τὸ ἔσχατον καὶ ἄνω μάλιστα καλεῖν οὐρανόν, ἐν ᾧ τὸ θεῖον πᾶν ἱδρῦσθαί φαμεν. Ἄλλον δ' αὖ τρόπον τὸ συνεχὲς σῶμα τῇ ἐσχάτῃ περιφορᾷ τοῦ παντός, ἐν ᾧ σελήνη καὶ ἥλιος καὶ ἔνια τῶν ἄστρων· καὶ γὰρ ταῦτα ἐν τῷ οὐρανῷ εἶναί φαμεν. ἔτι δ' ἄλλως τὸ περιεχόμε-

νον σῶμα ὑπὸ τῆς ἐσχάτης περιφορᾶς· τὸ γὰρ ὅλον καὶ το πᾶν εἰώθαμεν λέγειν οὐρανόν (qua posteriore significatione usus etiam est Plato *Politic.* p. 30. ed. Bipont.). Astra illa sunt planetae, quod elucet ex libro II, 12 extr., in sua quisque sphaera adornati, cuiuscunque aliud est initium, quam primae et supremae (τοῦ πρώτου στοιχείου), qua stellae fixae feruntur. Istae enim sphaerae annis singulis cursum absolvunt, ab occidente orientem versus pergentes; prima illa ab oriente uno quovis die orsa orientem petit. At sibi non constitit Arist.; interdum enim etiam solem planetasque simul cum stellis fixis quotidie circumagi censuit, ut *Physic. Auscult.* VIII, 6 extr. (quem locum etiam Simplicius *Comment. in Phys.* fol. 294, b ita intellexit). Sphaerae istae sive orbes, aliae supra alias collocatae, terram ambiunt, inque iis sidera tum fixa tum errantia residunt. Unaquaeque ex illis secundum Aristotelem est corpus aliquod; *de coel.* II, 12 extr. ἑκάστη σφαῖρα σῶμα τυγχάνει ὄν. Ut ad nostrum igitur locum redeamus, ὁ γειτνιῶν μάλιστα τόπος τῇ φορᾷ τῶν ἄστρων est locus, quem altera significatione coelum vocavit, ὁ συνεχὴς τῇ ἐσχάτῃ περιφορᾷ τοῦ παντός. — Verba ὅσα τε θείημεν ἂν ἀέρος εἶναι κοινὰ πάθη καὶ ὕδατος ad ἐμφάσεις et διαφάσεις spectare putant cum Alexandro, Philoponus et Olymp. Perperam: omnia enim, quae deinde recenset phaenomena, communi fiunt aëris et aquae affectu i. e. in illo loco, qui procul distat a primo elemento, et aqua et aëre repletus est. ὅσα τεθείημεν voluit G. — Semel hac occasione tangere volumus discrimen, quod veteres statuebant inter φαινόμενα καθ' ὑπόστασιν et φαιν. κατ' ἔμφασιν sive διάφασιν (Plutarch. *Plac. phil.* III, 4. Stob. *Eclog. phys.* I, 31. p. 612), quorum priora Seneca *Quaest. nat.* I, 15, 6 vocat, *quibus certa est substantia.* — Mox codd. F. H. N., ὅσα μέρη καὶ εἴδη καὶ πάθη et ita P. S. Cas. alii. Cum Bekkero, lectionem cod. E secuto, faciunt A. Cam. Bag. cum vertat: *Adhuc autem terrae quaecunque species et partes et passiones partium.* Quales sint istae terrae species docet Alex.: εἴδη δὲ τὸ τὴν μὲν αὐτῆς εἶναι ὕπαντρόν τε καὶ χάνην, τὴν δὲ στερεάν τε καὶ πεπιλημένην, καὶ εἴ τινες ἄλλαι

ταύταις παραπλήσιαι γῆς διαφοραί. πάθη δὲ λέγοι ἂν τὰς ἀναθυμιάσεις τὰς γινομένας ἀπ' αὐτῆς καὶ τὰς ἐναπολήψεις ὕδατός τε καὶ πνεύματος. — τῶν τε πνευμάτων pro περί τε πνευμάτων voluit G. — Cum verbis ἐν οἷς τὰ μὲν ἀποροῦμεν, τῶν δ' ἐφαπτόμεθά τινα τρόπον conferantur Plinii (*Hist. nat.* II, 9): *Non omnium rerum afferri posse causas minus mirum est, quam constare in aliquibus.* Modestius loquitur cum dicat ἐφαπτόμεθά τινα τρόπον, neque enim eo, quod oppositum est verbo ἀπορεῖν, γινώσκειν vocabulo uti voluit, cum dixisset *Phys. Auscult.* I, init. τότε οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοιχείων, quod sane in meteora non quadrasset. Praeterea non absimilia sunt verba Aristotelis *de coelo* II, 12. p. 291, b: Δυοῖν ἀπορίαιν οὔσαιν, περὶ ὧν εἰκότως ἂν ὁστισοῦν ἀπορήσειε, πειρατέον λέγειν τὰ φαινόμενα, αἰδοῦς ἀξίαν εἶναι νομίζαντας τὴν προθυμίαν μᾶλλον ἢ θράσους, εἴ τις διὰ τὸ φιλοσοφίας διψῆν καὶ μικρὰς εὐπορίας ἀγαπᾷ περὶ ὧν μέγιστας ἔχομεν ἀπορίας. At omnino conferenda sunt aurea illa verba, quae scripsit *de partt. animal.* I, 5 ab init: Τῶν οὐσιῶν ὅσαι φύσει συνεστᾶσι τοὺς μὲν ἀγεννήτους καὶ ἀφθάρτους εἶναι τὸν ἅπαντα αἰῶνα, τὰς δὲ μετέχειν γενέσεως καὶ φθορᾶς. συμβέβηκε δὲ περὶ μὲν ἐκείνης τιμίας οὔσας καὶ θείας ἐλάττους ἡμῖν ὑπάρχειν θεωρίας. καὶ γὰρ ἐξ ὧν ἂν τις περὶ αὐτῶν καὶ περὶ ὧν εἰδέναι ποθοῦμεν, παντελῶς ἐστιν ὀλίγα τὰ φανερὰ κατὰ τὴν αἴσθησιν. περὶ δὲ τῶν φυτῶν τε καὶ τῶν ζῴων ἀποροῦμεν μᾶλλον πρὸς τὴν γνῶσιν διὰ τὸ σύντροφον. πολλὰ γὰρ περὶ ἕκαστον γένος λάβοι τις ἂν τῶν ὑπαρχόντων, βουλόμενος διαπορεῖν ἱκανῶς. ἔχει δ' ἑκάτερα χάριν. τῶν μὲν γάρ, εἰ καὶ κατὰ μικρὸν ἐφαπτόμεθα, ὅμως διὰ τὴν τιμιότητα τοῦ γνωρίζειν ἥδιον, ἢ τὰ παρ' ἡμῖν ἅπαντα, ὥσπερ τῶν ὁρωμένων μικρὸν μόριον καὶ ἰδεῖν ἡδιόν ἐστιν ἢ πολλὰ ἕτερα καὶ μεγάλα δι' ἀκριβείας ἰδεῖν. Quae vero sint illa, quorum se nescire causas fatetur Aristoteles, et alia illa, quae se aliquo modo attigisse contendit, docet Alex. fol. 71, b: περὶ γὰρ ἐν τούτοις γινομένων τὰ μὲν ἀποροῦμεν, οἷον περὶ τοῦ πῶς ἶρις γίνεται, διὰ τί τὸ τῆς θαλάσ-

σης ὕδωρ ἁλμυρόν, τῶν δ' ἐφαπτόμεθά τινα τρόπον, οἷον περὶ τῆς τῶν νεφῶν συστάσεως, καὶ περὶ τῆς εἰς ὕδωρ αὐτῶν μεταβολῆς· καὶ γὰρ εἰ μὴ τὸ ἀκριβὲς εἰπεῖν περὶ τῶν τοιούτων ἔχομεν, ἀλλ' οὐ πάντη ἐν ἀγνοίᾳ τῆς γενέσεως αὐτῶν ἐσμέν. — Deinde καὶ τυφώνων καὶ πρηστήρων omnes praebent Bekkeri codd. et ita etiam A. Contra Bag. Cam. P. S. Cas. καὶ πρηστήρων καὶ τυφώνων, ut infra III, 1: περὶ μὲν οὖν βροντῆς καὶ ἀστραπῆς καὶ ἐκνεφίου, ἔτι δὲ πρηστήρων τε καὶ τυφώνων καὶ κεραυνῶν εἴρηται. Nolui tamen recedere a fide Codd. praesertim cum II, 9 dicat: περὶ τυφῶνος καὶ πρηστῆρος καὶ κεραυνῶν λέγωμεν. — ἐγκύκλια vocantur meteora, quod circularis sit eorum ex iisdem corporibus generatio, adeoque ea saepe redeant. Cfr. omnino Buhle *de distribut. libr. Aristotel.* in *exoter. et acroamat.* (Götting. 1786. 8.) p. 30 sq. Alex. de hoc vocabulo monet: ἐγκύκλια εἶπεν ἤτοι αὐτὰ τὰ τέτταρα σώματα, ὅτι κύκλῳ καὶ ἐξ ἀλλήλων ἡ γένεσις αὐτοῖς, ἢ καὶ αὐτὰ τὰ πάθη ἐγκύκλια, ὅτι ἀνακυκλῶται καὶ ταῦτα, καθ' ἕκαστον ἔτος γινόμενα. Verba συμβαίνει πάθη omittit N., solum πάθη H.; τῶν αὐτῶν τούτων σωμάτων inverso ordine praebent Cas. Cam. S. P. aliaeque edit. — γινομένων exhibui Göttlingii auctoritatem secutus, quem vide ad *Politic.* I, 2. p. 288. Mira hac in re est Bekkeri inconstantia: quis enim ferat, quod dedit ille III, 2. p. 372, a: γίνεται μὲν γάρ, ὀλιγάκις δὲ γίγνεται? Quod vero monet Göttlingius constanter γίνεσθαι exhiberi in Aldinis priore et altera ea in re aperte errat. A. enim I, 7 v. f. praebet: ὁμοίως μὲν οὐ γίγνεται τὸ τοιοῦτον, οὐ μὴν ἀλλ' ὡς ἐπὶ τὸ πολὺ γίγνεταί τις ὑπερβολὴ πνεύματος et q. s. ubi iterum priore loco Bekk. γίνεται posteriore γίγνεται, quod vix tolerabile. Eadem I, 10 in fin. πολλάκις δὲ τοῦτο καὶ ἐν τοῖς ἔξω τόποις ἰδεῖν γίγνεται, ubi Bekk. ἰδεῖν γινόμενον ἔστιν, quamvis antecesserit ὥστε γίγνεσθαι ἀτμίδα. A. I, 14: πλωτὸς ἅπας ὁ τόπος γιγνόμενος, ubi Bekk. γενόμενος. Neque plura desunt exempla. Magis sibi constat Camot. quamvis ibi quoque reperiatur γίγνεσθαι. v. c. ut uno defungamur exemplo I, 8: ὡς οὐ δι' ἑτέραν τινὰ αἰτίαν γιγνομένου (habet γιγνόμενον) τοῦ

φέγγους ἢ διὰ τὴν τῶν ἄστρων φοράν (Tom. II. p. 347), et ita plus semel.

3. Pro θεωρήσωμεν A. (qui post δυνάμεθα addit εἰπεῖν), P. Sylb. Cas. Bag. (qui vertit: *speculabimur*) habent θεωρήσομεν. Mallem deinde δυναίμεθα. *Polit.* I, 2, 2: ἴδωμεν, κἂν εἴ τι πρὸς τὸ εἰδέναι περὶ αὐτῶν δυναίμεθα λαβεῖν βέλτιον τῶν νῦν ὑπολαμβανομένων. — κατὰ τὸν ὑφηγημένον τρόπον est *eo, quem instituimus modo.* cfr. *Ethic. Nicom.* II, 7. p. 1108, a: νῦν δὲ περὶ τῶν λοιπῶν λέγωμεν κατὰ τὸν ὑφηγημένον τρόπον, ubi vide Zell Tom. II. p. 75. *Polit.* I, 1. p. 1252, a: δῆλον δ' ἔσται τὸ λεγόμενον ἐπισκοποῦσιν κατὰ τὴν ὑφηγημένην μέθοδον, quam ibi Aristoteles explicat verbis: ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις τὸ σύνθετον μέχρι τῶν ἀσυνδέτων ἀνάγκη διαιρεῖν (ταῦτα γὰρ ἐλάχιστα μόρια τοῦ παντός), οὕτω ..... Vidi ibi not. Schneideri Tom. II. p. 6 laudantis *de generat. animal.* III, 9. p. 758, a: λεκτέον κατὰ τὴν ὑφηγημένην μέθοδον. Theophrastus *Hist. plant.* I, 2, 3. p. 9 simili sententia habet καθάπερ ὑφηγήσεται. Adde Göttling. ad Aristot. *Politic.* p. 278. 304. et *Meteor.* III, 1, 1: τὸν ὑφηγημένον ἤδη τρόπον. — ἀποδοῦναι omittit E. — Alexander nullam mentionem facit librorum de plantis, qui ab Aristotelis manu profecti, sua adhuc aetate exstitissent, et in commentariis ad librum de sensu et sensili, qua Aristotelis librum de plantis meminit, nullos tales libros aetate sua exstitisse aperte scribit, sed solius Theophrasti. Unde patet libros, qui nunc Aristotelis nomine circumferuntur, de plantis, ab Aristotele non esse profectos, qua de re et infra monebo et supra in Prolegomenis nonnulla disserui. καθόλου spectat ad libros historiae animalium, de generatione animalium, de partibus animalium: χωρίς autem ad illos libros, in quibus plurima tractat, quae soli homini accidunt, quemadmodum in iis, quae parva naturalia vocari solent. σχεδόν Olympiodoro spectare videtur ad libros de anima. At modestius illud σχεδόν saepe addit Aristoteles, ut *Rhetor.* I, 2. p. 1356, a: περὶ μὲν οὖν τῆς δυνάμεως αὐτῶν καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας εἴρηται σχεδὸν ἱκανῶς. cfr. Zell ad Arist. *Ethic. Nic.* II. p. 4.

Cap. II.

Priusquam ad expositionem causarum transgreditur, propter quas singula tam in supero loco quam in terrae vicinia fiant phaenomena, breviter repetit ea, quae in superioribus libris de elementorum natura tradiderat. Statim initio ἐπειδὴ exhibent codd. F. H. N. Pro ἐξ ὧν Vicomerc. coniecit ἐξ ἧς, qui dicit: „*Cum antea legeretur μία ἀρχὴ τῶν σωμάτων, ἐξ ἧς συνέστηκεν, facilis fuit relativi seu pronominis ἧς in pronomen ὧν, ut nunc legitur, lapsus, cum praesertim unus ex his locis esse potuerit, quos, libris Aristotelis tineis corrosis, male fuisse emendatos Strabo testatur.*“ At bene se habet ἐξ ὧν, quod omnes codd. praebent editique, favente etiam Bag. cum vertat: *ex quibus.* Non enim de ipso primo elemento, sed de corporibus superis in sphaeris orbe circumlatis, sole, luna et planetis sermo est. Unde etiam amplexus sum lectionem praestantissimi codicis E., qui pro ἐγκυκλίως exhibet ἐγκύκλω. Ald. ἐν κύκλῳ Cas. in marg. γρ. ἐν κύκλῳ. Qui enim iisdem de phaenomenis loqui Aristotelem arbitrabantur, quae I, 2 ἐγκύκλια vocaverat, idem vocabulum huic loco perperam intulere. H. praebet τέσσαρα et deinde τέσσαρας ἀρχάς. Idem cum cod. F. inverso ordine φαμὲν εἶναι. Pro τεττάρων N. habet τεσσάρων et deinde omnes codd. praeter E. πᾶσι τούτοις. In sqq. αὐτά A. Cam. Er. Cas. S. Bag. vertit *ipsa.* ἐγγύτατα recepi ex cod. E., quem secutus est Ald. κόσμος est idem, quod οὐρανός, secundum alteram illam vocabuli significationem, quam Aristoteles in loco supra nobis laudato (*de coelo* I, 9 med.) proponit; est enim quicquid extra terram excepta supera illa sphaera in mundo reperitur. Secundum *Plac. philos.* apud Plutarchum II, 1. Diogen. Laërt. VIII, 48. p. 525 (ed. Meibom.) *Anon. in vit. Pythag.* apud Phot. *Cod.* 249. p. 1316 (ed. Hoeschel), Pythagoras hoc vocabulo primus usus est propter stellati caeli magnificentiam ordinemque motuum, qui in eo observatur. At Aristotelis tempore in scholis tantum philosophorum frequentabatur vocabulum illud, cum Xenoph. *Memorab. Socr.* I, 4 dicat: ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος. Infinitum esse hunc κόσμον negavit mathematicis

rationibus usus Aristoteles, docuerunt inter alios Heraclides Ponticus et Seleucus (Stob. *Eclog. phys.* c. 22. p. 440). Alii discrimen statuebant inter *κόσμον* et *τὸ πᾶν*, illum finitum, hoc infinitum arbitrantes, inter quos fuit Diogenes Apolloniates cfr. Plut. l. l. Adde Balfour ad Cleomed. *Meteor.* I, 1. p. 252 sqq. ed. Bake. — Pro ὅλος E. habet ὅλην. — Pro *περὶ ὃν* quod exhibet Bekkerus cod. E. secutus, et iure quidem, cum *περὶ ὃν τὰ συμβαίνοντα* sint *ὅσα συμβαίνει ..... περὶ τὸν γειτνιῶντα μάλιστα τόπον τῇ φορᾷ τῶν ἄστρων*, quemadmodum supra dixerat, codd. F. H. N. exhibent *περὶ οὗ*, quod etiam Bag. legit, cum vertat: *de quo*, et cod. Morelli apud S. probavitque G. *περὶ ὧν* praebent Ald. Er. Vicomerc. Quam nos cum Bekkero recepimus lectionem habent Camot. P. Cas. qui in margine utramque lectionis varietatem enotavit, et in suis Mss. reperiere Olymp. cum dicat: *καὶ γὰρ τὰ οὐράνια σώματα ἅπερ ἐκ τοῦ πέμπτου στοιχείου γεγόνασι, μέρος εἰσὶ τοῦ κόσμου, περὶ ὃν τὰ συμβαίνοντα πάθη φαμὲν εἶναι λεπτέον, περὶ ὃ φησι τοῦ αὐτοῦ κόσμου. περὶ γὰρ τοῦτον συμβαίνουσι τὰ μέλλοντα λέγεσθαι πᾶσιν*, Philopon. fol. 78, b: *περὶ αὐτὸν δὲ λέγει τὸν περὶ τὴν γῆν κόσμον, τουτέστι τὸν ὑπὸ σελήνην, ἐν ᾧ πᾶσα γένεσις καὶ φθορά*, Alex. cuius similia sunt verba.

2. *ἐξ ἀνάγκης συνεχής* dixit, cum nullum sit vacuum in mundo. (*Phys. Auscult.* IV, 6—9) cfr. Schneider *Eclog. phys.* Tom. II. p. 115 et quae ipse monui *Meteorol. vet.* p. 18. not. 16. Quomodo corpus quoddam cum alio contiguum esse queat, ut inter utrumque *ἁφή* intercedat, docet Arist. *de generat. et interitu* I, 6. p. 323, a sq. ubi dicit: *φανερόν, ὅτι ταῦτα ἅπτεσθαι πέφυκεν ἀλλήλων, ὧν διῃρημένων μεγεθῶν ἅμα τὰ ἔσχατά ἐστιν, ὄντων κινητικῶν καὶ κινητῶν ὑπ' ἀλλήλων.* At cum ignis et caelum non sint eius modi, ut vicissim agant et patiantur, ut bene monet Vicomercatus, ad definitionem *συνεχείας* refugiamus necesse est, quam proposuit *Phys. Ausc.* V, 3. p. 226, b (quo in loco van Capellen ad Arist. *Quaest. mechan.* p. 203 pro *ἐφεξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν μόνον* .... scribendum censet *μόνον*). Adscribimus haec verba:

ἅπτεσθαι λέγεται, ὧν τὰ ἄκρα ἅμα — λέγω δ' εἶναι συνεχές, ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται καὶ ὥσπερ σημαίνει τοὔνομα, συνέχηται. cfr. *Phys. Auscult.* VI, 1. p. 231, a, ubi discrimen illud diserte exponitur hisce verbis: συνεχῆ μέν, ὧν τὰ ἔσχατα ἕν, ἁπτόμενα δ' ὧν ἅμα, ἐφεξῆς δ', ὧν μηδὲν μεταξὺ συγγενές. Contiguus igitur ita est mundus extremae caeli parti, *ut*, quemadmodum bene exponit Vicomercatus, *nihil inter utrumque medium sit, seu corpus, seu spatium corpore vacuum.* Causam autem, cur continuus necesse sit mundus supremo coelo mox addit in verbis ὥστε πᾶσαν αὐτοῦ τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν. Ut enim ipsius Aristotelis verbis utamur *Phys. auscult.* V, 4. p. 228, a: ἐπεὶ συνεχὴς πᾶσα κίνησις, τήν τε ἁπλῶς μίαν ἀνάγκη καὶ συνεχῆ εἶναι εἴπερ πᾶσα διαιρετή, καὶ εἰ συνεχής, μία. Caeterum cave, ne cum Vicomercato in hisce principium agnoscas astrologiae, quale a posterioribus propositum est, hoc: *ut omnes omnis materiei affectiones a superiorum motuum ordine pendeant.* Vereor enim, ne procul abfuerit Aristoteles, ut tantam hisce verbis vim inesse arbitratus sit, et magis etiam vereor, ne quae in hanc sententiam disseruit Ptolemaeus (*Tetrabibl.* I, 2) ipse unquam subscripserit. Pro ἄνω E. habet ἄνωθεν. — Deinde post αἰτίαν H. N. addunt εἶναι. τῆς κινήσεως referas ad τέλος, quod patet ex loco *Phys. Auscult.* IV, 4. p. 211, a ubi haec leguntur: καὶ τὸν οὐρανὸν μάλιστ' οἰόμεθα ἐν τόπῳ, ὅτι ἀεὶ ἐν κινήσει. Non abs re mihi videtur afferre definitionem loci, quam proposuit Aristoteles: τόπος ἐστὶ τὸ τοῦ περιέχοντος πέρας. cfr. *de coelo* IV, 3. p. 310, b. E. omittit πάντα post σώματα; inverso ordine πάντα δὲ τὰ σώματα ταῦτα A. Cam. Er. Vulgatum ordinem tuetur etiam Bag. Mox cod. F. πεπερασμένοις τόποις διέστηκεν. Ad verba περὶ αὐτόν ex antegressis supplendum est ὁ περὶ τὴν γῆν κόσμος, suppresso ὅλος: loquitur enim de parte mundi, terrae vicina, quem τὸν περὶ μέσῳ τόπον vocat (*de generat. et interit.* II, 9. p. 335, a), ἐν ᾧ ἡ γένεσις τυγχάνει οὖσα. Unde male Vicomerc. περὶ αὐτῶν scribendum esse censuit et ita legit G. qui tamen minime damnavit nostrum περὶ αὐτόν. Eorum igitur, quae hoc

